GREEK SERIES · VOLUME 48

The Peloponnesian War

Thucydides

ΙΣΤΟΡΙΩΝ

The Peloponnesian War

Part Three: Books VI–VIII

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 48 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Jones's Oxford Thucydides

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words the editor secludes are not printed; words he supplies
are printed without their brackets; ∗∗∗ marks a gap in the text.

CONTENTS

BOOK VI

I · The Settlement of Sicily 9
II · The Pretext of Egesta 17
III · Nicias Argues Against the Voyage 21
IV · Alcibiades Answers 31
V · Nicias Asks for a Greater Force 41
VI · The Assembly's Ardor 46
VII · The Hermae and the Mysteries 49
VIII · The Fleet Sails 52
IX · Hermocrates Warns Syracuse 58
X · Athenagoras Answers 65
XI · From Corcyra to Rhegium 73
XII · The Generals' Three Plans 79
XIII · Catana Joins Athens 84
XIV · The Salaminia 86
XV · Harmodius and Aristogeiton 88
XVI · Alcibiades Condemned 97
XVII · Hyccara and the Ruse at Catana 102
XVIII · The First Battle at Syracuse 108
XIX · Syracuse Reorganizes 116

BOOK VI

(continued)

XX · The Winter Before Camarina 119
XXI · Hermocrates at Camarina 122
XXII · Euphemus Answers 130
XXIII · Alcibiades Reaches Sparta 139
XXIV · Alcibiades' Speech at Sparta 143
XXV · Gylippus Appointed 152
XXVI · The Seizure of Epipolae 154
XXVII · The Siege Walls 159
XXVIII · Gylippus Sails 169

BOOK VII

I · Gylippus Reaches Syracuse 172
II · Nicias' Letter 184
III · Athens Sends Demosthenes 192
IV · Decelea and Plemmyrium 197
V · The Stakes and Mycalessus 206
VI · Demosthenes on the Way 218
VII · The Syracusan Victory in the Harbor 227
VIII · The Night Battle on Epipolae 236
IX · The Generals' Debate 246
X · The Eclipse and the Defeat 252
XI · The Harbor Closed 259
XII · Nicias' Exhortation 268
XIII · Gylippus and the Generals 276
XIV · The Battle in the Great Harbor 281
XV · The Retreat Prepared 290
XVI · The Retreat Begins 295

BOOK VII

(continued)

XVII · The Surrender of Demosthenes 301
XVIII · The Assinarus 311

BOOK VIII

I · Athens After Sicily 319
II · Envoys from Chios and the Satraps 325
III · The Blockade at Spiraeum 330
IV · Chios and Miletus Revolt 336
V · The First Treaty with the King 343
VI · The War in Ionia 344
VII · The Second Treaty 360
VIII · The Terms of the Second Treaty 369
IX · Lichas Rejects the Treaties 371
X · Alcibiades and Tissaphernes 382
XI · Pisander's Mission 388
XII · The Third Treaty 399
XIII · The Terms of the Third Treaty 403
XIV · Oropus and the Hellespont 406
XV · Oligarchy Spreads 410
XVI · The Four Hundred 416
XVII · The Army at Samos 425
XVIII · Alcibiades Recalled 433
XIX · Alcibiades Restrains the Army 443
XX · Eetionea 451
XXI · The Loss of Euboea 463
XXII · Cynossema 471
XXIII · Cyzicus and Antandrus 483

BOOK VI

I · THE SETTLEMENT OF SICILY

In the same winter the Athenians resolve to sail against Sicily again with a greater armament than Laches and Eurymedon led, and to conquer it if they can, most of them ignorant of the island's size and peoples. The voyage around it takes a merchant ship nearly eight days, and the strait parts it from the mainland by some twenty stades. Thucydides tells who settled it: the Cyclopes and Laestrygonians of legend, the Sicans, the Elymians of Eryx and Egesta, the Sicels from Italy, and the Phoenicians at its capes. Then come the Greek colonies, Naxos, Syracuse, Leontini, Catana, Megara, Gela, Acragas, Zancle, Himera, and Camarina, each with its founders and dates.

τοῦ δ' αὐτοῦ χειμῶνος Ἀθηναῖοι ἐβούλοντο αὖθις μείζονι 1.1
in-the and same winter Athenians wished again with-greater
παρασκευῇ τῆς μετὰ Λάχητος καὶ Εὐρυμέδοντος ἐπὶ
armament than-the with Laches and Eurymedon against
Σικελίαν πλεύσαντες καταστρέψασθαι, εἰ δύναιντο, ἄπειροι
Sicily having-sailed to-subdue if they-could inexperienced
οἱ πολλοὶ ὄντες τοῦ μεγέθους τῆς νήσου καὶ τῶν
the many being of-the size of-the island and of-the
ἐνοικούντων τοῦ πλήθους καὶ Ἑλλήνων καὶ βαρβάρων,
inhabitants of-the number both of-Greeks and barbarians
καὶ ὅτι οὐ πολλῷ τινὶ ὑποδεέστερον πόλεμον ἀνῃροῦντο
and that not much any less war they-were-taking-up
ἢ τὸν πρὸς Πελοποννησίους.
than the against Peloponnesians
Σικελίας γὰρ περίπλους μέν ἐστιν ὁλκάδι οὐ πολλῷ 1.2
of-Sicily for voyage-around indeed is for-a-merchant-ship not much
τινὶ ἔλασσον ἢ ὀκτὼ ἡμερῶν, καὶ τοσαύτη οὖσα ἐν
any less than of-eight days and so-great being by

εἰκοσισταδίῳ μάλιστα μέτρῳ τῆς θαλάσσης διείργεται τὸ
twenty-stade about measure of-the sea it-is-kept-from the
μὴ ἤπειρος εἶναι·
not mainland to-be

2.1 ᾠκίσθη δὲ ὧδε τὸ ἀρχαῖον, καὶ τοσάδε ἔθνη ἔσχε τὰ
was-settled and thus the of-old and so-many peoples it-held the
ξύμπαντα. παλαίτατοι μὲν λέγονται ἐν μέρει τινὶ τῆς
all-together most-ancient indeed are-said in part some of-the
χώρας Κύκλωπες καὶ Λαιστρυγόνες οἰκῆσαι, ὧν ἐγὼ
country Cyclopes and Laestrygonians to-have-dwelt of-whom I
οὔτε γένος ἔχω εἰπεῖν οὔτε ὁπόθεν ἐσῆλθον ἢ ὅποι
neither race can to-tell nor whence they-came-in or whither
ἀπεχώρησαν· ἀρκείτω δὲ ὡς ποιηταῖς τε εἴρηται καὶ
they-went-away let-it-suffice and as by-poets both has-been-told and
ὡς ἕκαστός πῃ γιγνώσκει περὶ αὐτῶν.
as each somehow knows about them

2.2 Σικανοὶ δὲ μετ᾽ αὐτοὺς πρῶτοι φαίνονται ἐνοικισάμενοι,
Sicanians and after them first appear having-settled
ὡς μὲν αὐτοί φασι, καὶ πρότεροι διὰ τὸ αὐτόχθονες
as indeed they-themselves say even earlier because-of the natives
εἶναι, ὡς δὲ ἡ ἀλήθεια εὑρίσκεται, Ἴβηρες ὄντες καὶ
to-be as but the truth is-found Iberians being and
ἀπὸ τοῦ Σικανοῦ ποταμοῦ τοῦ ἐν Ἰβηρίᾳ ὑπὸ Λιγύων
from — Sicanus river the in Iberia by Ligurians
ἀναστάντες. καὶ ἀπ᾽ αὐτῶν Σικανία τότε ἡ νῆσος
driven-out and from them Sicania then the island
ἐκαλεῖτο, πρότερον Τρινακρία καλουμένη· οἰκοῦσι δὲ ἔτι
was-called before Trinacria called they-dwell and still
καὶ νῦν τὰ πρὸς ἑσπέραν τὴν Σικελίαν.
even now the toward west — Sicily

Ἰλίου δὲ ἁλισκομένου τῶν Τρώων τινὲς διαφυγόντες Ἀχαιοὺς 2.3
Ilium and being-taken of-the Trojans some having-escaped Achaeans
πλοίοις ἀφικνοῦνται πρὸς τὴν Σικελίαν, καὶ ὅμοροι τοῖς
in-boats arrive at — Sicily and bordering-on the
Σικανοῖς οἰκήσαντες ξύμπαντες μὲν Ἔλυμοι ἐκλήθησαν,
Sicanians having-settled all-together indeed Elymians were-called
πόλεις δ' αὐτῶν Ἔρυξ τε καὶ Ἔγεστα. προσξυνῴκησαν δὲ
cities and of-them Eryx both and Egesta settled-with and
αὐτοῖς καὶ Φωκέων τινὲς τῶν ἀπὸ Τροίας τότε χειμῶνι ἐς
them also of-Phocians some of-those from Troy then by-storm to
Λιβύην πρῶτον, ἔπειτα ἐς Σικελίαν ἀπ' αὐτῆς κατενεχθέντες.
Libya first then to Sicily from it carried-down
Σικελοὶ δ' ἐξ Ἰταλίας (ἐνταῦθα γὰρ ᾤκουν) διέβησαν ἐς 2.4
Sicels and from Italy there for they-dwelt crossed to
Σικελίαν, φεύγοντες Ὀπικούς, ὡς μὲν εἰκὸς καὶ λέγεται,
Sicily fleeing Opicans as indeed likely and it-is-said
ἐπὶ σχεδιῶν, τηρήσαντες τὸν πορθμὸν κατιόντος τοῦ
on rafts having-watched-for the strait coming-down the
ἀνέμου, τάχα ἂν δὲ καὶ ἄλλως πως ἐσπλεύσαντες. εἰσὶ
wind perhaps — and also otherwise somehow having-sailed-in there-are
δὲ καὶ νῦν ἔτι ἐν τῇ Ἰταλίᾳ Σικελοί, καὶ ἡ χώρα ἀπὸ
and even now still in — Italy Sicels and the country from
Ἰταλοῦ βασιλέως τινὸς Σικελῶν, τοὔνομα τοῦτο ἔχοντος,
Italus king a of-Sicels the-name this having
οὕτως Ἰταλία ἐπωνομάσθη.
thus Italy was-named
ἐλθόντες δὲ ἐς τὴν Σικελίαν στρατὸς πολὺς τούς τε 2.5
having-come and to — Sicily army large the both
Σικανοὺς κρατοῦντες μάχῃ ἀνέστειλαν πρὸς τὰ μεσημβρινὰ
Sicanians conquering in-battle drove-back to the southern
καὶ ἑσπέρια αὐτῆς καὶ ἀντὶ Σικανίας Σικελίαν τὴν
and western of-it and instead-of Sicania Sicily the

νῆσον ἐποίησαν καλεῖσθαι, καὶ τὰ κράτιστα τῆς γῆς
island made to-be-called and the best of-the land
ᾤκησαν ἔχοντες, ἐπεὶ διέβησαν, ἔτη ἐγγὺς τριακόσια πρὶν
settled holding after they-crossed years nearly three-hundred before
Ἕλληνας ἐς Σικελίαν ἐλθεῖν· ἔτι δὲ καὶ νῦν τὰ μέσα
Greeks to Sicily to-come still and even now the middle
καὶ τὰ πρὸς βορρᾶν τῆς νήσου ἔχουσιν.
and the toward north of-the island they-hold

2.6 ᾤκουν δὲ καὶ Φοίνικες περὶ πᾶσαν μὲν τὴν Σικελίαν
dwelt and also Phoenicians around all indeed — Sicily
ἄκρας τε ἐπὶ τῇ θαλάσσῃ ἀπολαβόντες καὶ τὰ ἐπικείμενα
headlands both on the sea having-taken and the lying-off
νησίδια ἐμπορίας ἕνεκεν τῆς πρὸς τοὺς Σικελούς· ἐπειδὴ
islets of-trade for-sake the with the Sicels when
δὲ οἱ Ἕλληνες πολλοὶ κατὰ θάλασσαν ἐπεσέπλεον,
but the Greeks many by sea sailed-in-besides
ἐκλιπόντες τὰ πλείω Μοτύην καὶ Σολόεντα καὶ Πάνορμον
having-left the most Motye and Soloeis and Panormus
ἐγγὺς τῶν Ἐλύμων ξυνοικήσαντες ἐνέμοντο, ξυμμαχίᾳ τε
near the Elymians having-settled-together they-lived in-alliance both
πίσυνοι τῇ τῶν Ἐλύμων, καὶ ὅτι ἐντεῦθεν ἐλάχιστον
trusting the of-the Elymians and because from-there shortest
πλοῦν Καρχηδὼν Σικελίας ἀπέχει. βάρβαροι μὲν οὖν
voyage Carthage from-Sicily is-distant barbarians indeed then
τοσοῖδε Σικελίαν καὶ οὕτως ᾤκησαν.
so-many Sicily and thus settled

3.1 Ἑλλήνων δὲ πρῶτοι Χαλκιδῆς ἐξ Εὐβοίας πλεύσαντες
of-Greeks and first Chalcidians from Euboea having-sailed
μετὰ Θουκλέους οἰκιστοῦ Νάξον ᾤκισαν, καὶ Ἀπόλλωνος
with Thucles founder Naxos founded and of-Apollo
Ἀρχηγέτου βωμὸν ὅστις νῦν ἔξω τῆς πόλεώς ἐστιν
Founder altar which now outside the city is

ἱδρύσαντο, ἐφ᾽ ᾧ, ὅταν ἐκ Σικελίας θεωροὶ πλέωσι,
set-up on which whenever from Sicily envoys sail
πρῶτον θύουσιν.
first they-sacrifice
Συρακούσας δὲ τοῦ ἐχομένου ἔτους Ἀρχίας τῶν 3.2
Syracuse and in-the next year Archias of-the
Ἡρακλειδῶν ἐκ Κορίνθου ᾤκισε, Σικελοὺς ἐξελάσας
Heraclids from Corinth founded Sicels having-driven-out
πρῶτον ἐκ τῆς νήσου ἐν ᾗ νῦν οὐκέτι περικλυζομένῃ
first from the island on which now no-longer washed-around
ἡ πόλις ἡ ἐντός ἐστιν· ὕστερον δὲ χρόνῳ καὶ ἡ ἔξω
the city the inner is later and in-time also the outer
προστειχισθεῖσα πολυάνθρωπος ἐγένετο.
walled-on populous became
Θουκλῆς δὲ καὶ οἱ Χαλκιδῆς ἐκ Νάξου ὁρμηθέντες ἔτει 3.3
Thucles and and the Chalcidians from Naxos having-set-out in-year
πέμπτῳ μετὰ Συρακούσας οἰκισθείσας Λεοντίνους τε
fifth after Syracuse founded Leontini both
πολέμῳ τοὺς Σικελοὺς ἐξελάσαντες οἰκίζουσι, καὶ μετ᾽ αὐτοὺς
by-war the Sicels having-driven-out found and after them
Κατάνην· οἰκιστὴν δὲ αὐτοὶ Καταναῖοι ἐποιήσαντο Εὔαρχον.
Catana founder and themselves Catanaeans made Euarchus
κατὰ δὲ τὸν αὐτὸν χρόνον καὶ Λάμις ἐκ Μεγάρων 4.1
at and the same time also Lamis from Megara
ἀποικίαν ἄγων ἐς Σικελίαν ἀφίκετο, καὶ ὑπὲρ Παντακύου
colony leading to Sicily arrived and above Pantacyas
τε ποταμοῦ Τρώτιλόν τι ὄνομα χωρίον οἰκίσας, καὶ
both river Trotilus some by-name place having-settled and
ὕστερον αὐτόθεν τοῖς Χαλκιδεῦσιν ἐς Λεοντίνους ὀλίγον
later from-there with-the Chalcidians at Leontini little
χρόνον ξυμπολιτεύσας καὶ ὑπὸ αὐτῶν ἐκπεσὼν καὶ Θάψον
time having-shared-the-city and by them expelled and Thapsus

οἰκίσας αὐτὸς μὲν ἀποθνῄσκει, οἱ δ' ἄλλοι ἐκ τῆς
having-founded he-himself indeed dies the and others from —
Θάψου ἀναστάντες Ὕβλωνος βασιλέως Σικελοῦ προδόντος
Thapsus driven-out Hyblon king Sicel having-betrayed
τὴν χώραν καὶ καθηγησαμένου Μεγαρέας ᾤκισαν τοὺς
the land and having-guided Megarians founded the
Ὑβλαίους κληθέντας.
Hyblaean called

4.2 καὶ ἔτη οἰκήσαντες πέντε καὶ τεσσαράκοντα καὶ διακόσια
and years having-dwelt five and forty and two-hundred
ὑπὸ Γέλωνος τυράννου Συρακοσίων ἀνέστησαν ἐκ τῆς
by Gelon tyrant of-Syracusans were-driven-out from the
πόλεως καὶ χώρας. πρὶν δὲ ἀναστῆναι, ἔτεσιν ὕστερον
city and land before and to-be-driven-out by-years later
ἑκατὸν ἢ αὐτοὺς οἰκίσαι, Πάμιλλον πέμψαντες Σελινοῦντα
hundred than them to-found Pamillus having-sent Selinus
κτίζουσι, καὶ ἐκ Μεγάρων τῆς μητροπόλεως οὔσης αὐτοῖς
they-found and from Megara the mother-city being for-them
ἐπελθὼν ξυγκατῴκισεν.
having-come joined-in-founding

4.3 Γέλαν δὲ Ἀντίφημος ἐκ Ῥόδου καὶ Ἔντιμος ἐκ Κρήτης
Gela and Antiphemus from Rhodes and Entimus from Crete
ἐποίκους ἀγαγόντες κοινῇ ἔκτισαν, ἔτει πέμπτῳ καὶ
settlers having-led in-common founded in-year fifth and
τεσσαρακοστῷ μετὰ Συρακουσῶν οἴκισιν. καὶ τῇ μὲν
fortieth after of-Syracuse founding and to-the indeed
πόλει ἀπὸ τοῦ Γέλα ποταμοῦ τοὔνομα ἐγένετο, τὸ δὲ
city from — Gela river the-name came the and
χωρίον οὗ νῦν ἡ πόλις ἐστὶ καὶ ὃ πρῶτον ἐτειχίσθη
place where now the city is and which first was-walled
Λίνδιοι καλεῖται· νόμιμα δὲ Δωρικὰ ἐτέθη αὐτοῖς.
Lindii is-called customs and Dorian were-established for-them

ἔτεσι δὲ ἐγγύτατα ὀκτὼ καὶ ἑκατὸν μετὰ τὴν σφετέραν 4.4
in-years and nearest eight and hundred after the their-own
οἴκισιν Γελῷοι Ἀκράγαντα ᾤκισαν, τὴν μὲν πόλιν ἀπὸ τοῦ
founding Geloans Acragas founded the indeed city from —
Ἀκράγαντος ποταμοῦ ὀνομάσαντες, οἰκιστὰς δὲ ποιήσαντες
Acragas river having-named founders and having-made
Ἀριστόνουν καὶ Πυστίλον, νόμιμα δὲ τὰ Γελῴων δόντες.
Aristonous and Pystilus customs and the of-Geloans having-given
Ζάγκλη δὲ τὴν μὲν ἀρχὴν ἀπὸ Κύμης τῆς ἐν Ὀπικίᾳ 4.5
Zancle and the indeed beginning from Cyme the in Opicia
Χαλκιδικῆς πόλεως λῃστῶν ἀφικομένων ᾠκίσθη, ὕστερον δὲ
Chalcidian city pirates having-come was-settled later and
καὶ ἀπὸ Χαλκίδος καὶ τῆς ἄλλης Εὐβοίας πλῆθος ἐλθὸν
also from Chalcis and the rest Euboea multitude having-come
ξυγκατενείμαντο τὴν γῆν· καὶ οἰκισταὶ Περιήρης καὶ
shared-out the land and founders Perieres and
Κραταιμένης ἐγένοντο αὐτῆς, ὁ μὲν ἀπὸ Κύμης, ὁ
Crataemenes were of-it the-one indeed from Cyme the-other
δὲ ἀπὸ Χαλκίδος. ὄνομα δὲ τὸ μὲν πρῶτον Ζάγκλη ἦν
and from Chalcis name and the indeed first Zancle was
ὑπὸ τῶν Σικελῶν κληθεῖσα, ὅτι δρεπανοειδὲς τὴν ἰδέαν τὸ
by the Sicels called because sickle-shaped the form the
χωρίον ἐστί (τὸ δὲ δρέπανον οἱ Σικελοὶ ζάγκλον καλοῦσιν),
place is the and sickle the Sicels zanclon call
ὕστερον δ' αὐτοὶ μὲν ὑπὸ Σαμίων καὶ ἄλλων Ἰώνων
later and they indeed by Samians and other Ionians
ἐκπίπτουσιν, οἳ Μήδους φεύγοντες προσέβαλον Σικελίᾳ,
are-expelled who Medes fleeing put-in at-Sicily
τοὺς δὲ Σαμίους Ἀναξίλας Ῥηγίνων τύραννος οὐ πολλῷ 4.6
the and Samians Anaxilas of-Rhegians tyrant not much
ὕστερον ἐκβαλὼν καὶ τὴν πόλιν αὐτὸς ξυμμείκτων
later having-expelled and the city himself of-mixed

ἀνθρώπων οἰκίσας Μεσσήνην ἀπὸ τῆς ἑαυτοῦ τὸ ἀρχαῖον
people having-settled Messene after the his-own the of-old
πατρίδος ἀντωνόμασεν.
fatherland renamed

5.1 καὶ Ἱμέρα ἀπὸ Ζάγκλης ᾠκίσθη ὑπὸ Εὐκλείδου καὶ Σίμου
and Himera from Zancle was-settled by Eucleides and Simus
καὶ Σάκωνος, καὶ Χαλκιδῆς μὲν οἱ πλεῖστοι ἦλθον ἐς
and Sacon and Chalcidians indeed the most came to
τὴν ἀποικίαν, ξυνῴκισαν δὲ αὐτοῖς καὶ ἐκ Συρακουσῶν
the colony settled-with and them also from Syracuse
φυγάδες στάσει νικηθέντες, οἱ Μυλητίδαι καλούμενοι· καὶ
exiles in-faction defeated the Myletidae called and
φωνὴ μὲν μεταξὺ τῆς τε Χαλκιδέων καὶ Δωρίδος ἐκράθη,
dialect indeed between the both of-Chalcidians and Dorian was-mixed
νόμιμα δὲ τὰ Χαλκιδικὰ ἐκράτησεν.
customs but the Chalcidian prevailed

5.2 Ἄκραι δὲ καὶ Κασμέναι ὑπὸ Συρακοσίων ᾠκίσθησαν,
Acrae and and Casmenae by Syracusans were-founded
Ἄκραι μὲν ἑβδομήκοντα ἔτεσι μετὰ Συρακούσας, Κασμέναι
Acrae indeed seventy years after Syracuse Casmenae
δ' ἐγγὺς εἴκοσι μετὰ Ἄκρας.
and nearly twenty after Acrae

5.3 καὶ Καμάρινα τὸ πρῶτον ὑπὸ Συρακοσίων ᾠκίσθη, ἔτεσιν
and Camarina the first by Syracusans was-founded in-years
ἐγγύτατα πέντε καὶ τριάκοντα καὶ ἑκατὸν μετὰ Συρακουσῶν
nearest five and thirty and hundred after of-Syracuse
κτίσιν· οἰκισταὶ δὲ ἐγένοντο αὐτῆς Δάσκων καὶ Μενέκωλος.
founding founders and were of-it Dascon and Menecolus
ἀναστάτων δὲ Καμαριναίων γενομένων πολέμῳ ὑπὸ
driven-out and Camarinaeans having-been by-war by
Συρακοσίων δι' ἀπόστασιν, χρόνῳ Ἱπποκράτης ὕστερον
Syracusans because-of revolt in-time Hippocrates later

Γέλας τύραννος, λύτρα ἀνδρῶν Συρακοσίων αἰχμαλώτων
of-Gela tyrant ransom for-men Syracusan prisoners
λαβὼν τὴν γῆν τὴν Καμαριναίων, αὐτὸς οἰκιστὴς
having-taken the land the of-Camarinaeans himself founder
γενόμενος κατῴκισε Καμάριναν. καὶ αὖθις ὑπὸ Γέλωνος
having-become resettled Camarina and again by Gelon
ἀνάστατος γενομένη τὸ τρίτον κατῳκίσθη ὑπὸ Γελῴων.
depopulated having-become the third was-resettled by Geloans

II · THE PRETEXT OF EGESTA

Against so great an island Athens is eager to make war, aiming in truth to rule all Sicily and claiming to help its kin and allies. Egesta, at war over marriage rights and disputed land with Selinus, which Syracuse backs, reminds Athens of its alliance from the war of Laches. Its envoys warn that Syracuse, left unchecked, will join the Dorians of the Peloponnese, and they promise money for the war. Athens sends envoys to see whether the treasure exists. In the winter the Spartans and their allies invade the Argolid, settle Argive exiles at Orneae, and the Argives and Athenians besiege it, its garrison slips away by night, and they raze it. Athenian cavalry raid Macedonia from Methone, and the sixteenth year of the war ends.

τοσαῦτα ἔθνη Ἑλλήνων καὶ βαρβάρων Σικελίαν ᾤκει, καὶ 6.1
so-many peoples of-Greeks and barbarians Sicily inhabited and
ἐπὶ τοσήνδε οὖσαν αὐτὴν οἱ Ἀθηναῖοι στρατεύειν ὥρμηντο,
against so-great being it the Athenians to-march were-eager
ἐφιέμενοι μὲν τῇ ἀληθεστάτῃ προφάσει τῆς πάσης
aiming indeed by-the truest pretext of-the whole
ἄρξαι, βοηθεῖν δὲ ἅμα εὐπρεπῶς βουλόμενοι τοῖς
to-rule to-help and at-the-same-time speciously wishing the
ἑαυτῶν ξυγγενέσι καὶ τοῖς προσγεγενημένοις ξυμμάχοις.
their-own kinsmen and the acquired allies

6.2 μάλιστα δ' αὐτοὺς ἐξώρμησαν Ἐγεσταίων πρέσβεις
most and them urged-on of-Egestaeans envoys
παρόντες καὶ προθυμότερον ἐπικαλούμενοι. ὅμοροι γὰρ
being-present and more-eagerly calling-in bordering for
ὄντες τοῖς Σελινουντίοις ἐς πόλεμον καθέστασαν περί
being to-the Selinuntians into war they-had-entered about
τε γαμικῶν τινῶν καὶ περὶ γῆς ἀμφισβητήτου, καὶ οἱ
both marriage-matters some and about land disputed and the
Σελινούντιοι Συρακοσίους ἐπαγόμενοι ξυμμάχους κατεῖργον
Selinuntians Syracusans bringing-in allies were-pressing
αὐτοὺς τῷ πολέμῳ καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν· ὥστε
them in-the war both by land and by sea so-that
τὴν γενομένην ἐπὶ Λάχητος καὶ τοῦ προτέρου πολέμου
the made in-the-time-of Laches and the former war
Λεοντίνων οἱ Ἐγεσταῖοι ξυμμαχίαν ἀναμιμνήσκοντες τοὺς
of-Leontines the Egestaeans alliance reminding the
Ἀθηναίους ἐδέοντο σφίσι ναῦς πέμψαντας ἐπαμῦναι,
Athenians begged them ships having-sent to-help
λέγοντες ἄλλα τε πολλὰ καὶ κεφάλαιον, εἰ Συρακόσιοι
saying other both many-things and chief-point if Syracusans
Λεοντίνους τε ἀναστήσαντες ἀτιμώρητοι γενήσονται καὶ
Leontines both having-driven-out unpunished will-be and
τοὺς λοιποὺς ἔτι ξυμμάχους αὐτῶν διαφθείροντες αὐτοὶ
the remaining still allies of-them destroying themselves
τὴν ἅπασαν δύναμιν τῆς Σικελίας σχήσουσι, κίνδυνον
the whole power — of-Sicily will-hold danger
εἶναι μή ποτε μεγάλῃ παρασκευῇ Δωριῆς τε Δωριεῦσι
to-be lest ever with-great armament Dorians both to-Dorians
κατὰ τὸ ξυγγενὲς καὶ ἅμα ἄποικοι τοῖς ἐκπέμψασι
by the kinship and at-the-same-time colonists to-the having-sent-out
Πελοποννησίοις βοηθήσαντες καὶ τὴν ἐκείνων δύναμιν
Peloponnesians having-helped also the their power

ξυγκαθέλωσιν· σῶφρον δ' εἶναι μετὰ τῶν ὑπολοίπων ἔτι
they-help-destroy prudent and to-be with the remaining still
ξυμμάχων ἀντέχειν τοῖς Συρακοσίοις, ἄλλως τε καὶ
allies to-hold-out against-the Syracusans otherwise both and
χρήματα σφῶν παρεξόντων ἐς τὸν πόλεμον ἱκανά.
money them going-to-provide for the war sufficient
ὧν ἀκούοντες οἱ Ἀθηναῖοι ἐν ταῖς ἐκκλησίαις τῶν τε 6.3
which hearing the Athenians in the assemblies the both
Ἐγεσταίων πολλάκις λεγόντων καὶ τῶν ξυναγορευόντων
Egestaeans often speaking and those supporting
αὐτοῖς ἐψηφίσαντο πρέσβεις πέμψαι πρῶτον ἐς τὴν Ἔγεσταν
them voted envoys to-send first to — Egesta
περί τε τῶν χρημάτων σκεψομένους εἰ ὑπάρχει, ὥσπερ
about both the money going-to-see if it-exists as
φασίν, ἐν τῷ κοινῷ καὶ ἐν τοῖς ἱεροῖς, καὶ τὰ τοῦ πολέμου
they-say in the treasury and in the temples and the of-the war
ἅμα πρὸς τοὺς Σελινουντίους ἐν ὅτῳ ἐστὶν εἰσομένους.
at-the-same-time with the Selinuntians in what it-is going-to-learn
καὶ οἱ μὲν πρέσβεις τῶν Ἀθηναίων ἀπεστάλησαν ἐς τὴν 7.1
and the indeed envoys of-the Athenians were-sent to —
Σικελίαν· Λακεδαιμόνιοι δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ οἱ
Sicily Lacedaemonians and in-the same winter and the
ξύμμαχοι πλὴν Κορινθίων στρατεύσαντες ἐς τὴν Ἀργείαν
allies except Corinthians having-marched into — Argive-land
τῆς τε γῆς ἔτεμον οὐ πολλὴν καὶ σῖτον ἀνεκομίσαντό
of-the both land ravaged not much and grain carried-off
τινα ζεύγη κομίσαντες, καὶ ἐς Ὀρνεὰς κατοικίσαντες
some wagons having-brought and at Orneae having-settled
τοὺς Ἀργείων φυγάδας καὶ τῆς ἄλλης στρατιᾶς
the of-Argives exiles and of-the rest army
παρακαταλιπόντες αὐτοῖς ὀλίγους, καὶ σπεισάμενοί τινα
having-left-behind for-them few and having-made-truce some

χρόνον ὥστε μὴ ἀδικεῖν Ὀρνεάτας καὶ Ἀργείους τὴν
time so-that not to-harm Orneates and Argives the
ἀλλήλων, ἀπεχώρησαν τῷ στρατῷ ἐπ᾽ οἴκου.
of-each-other withdrew with-the army to home

7.2 ἐλθόντων δὲ Ἀθηναίων οὐ πολλῷ ὕστερον ναυσὶ τριάκοντα
having-come and Athenians not much later with-ships thirty
καὶ ἑξακοσίοις ὁπλίταις, οἱ Ἀργεῖοι μετὰ τῶν Ἀθηναίων
and six-hundred hoplites the Argives with the Athenians
πανστρατιᾷ ἐξελθόντες τοὺς μὲν ἐν Ὀρνεαῖς μίαν ἡμέραν
in-full-force having-gone-out those indeed in Orneae one day
ἐπολιόρκουν· ὑπὸ δὲ νύκτα αὐλισαμένου τοῦ στρατεύματος
besieged under and night having-camped the army
ἄπωθεν ἐκδιδράσκουσιν οἱ ἐκ τῶν Ὀρνεῶν. καὶ τῇ
far-off run-away those from — Orneae and on-the
ὑστεραίᾳ οἱ Ἀργεῖοι ὡς ᾔσθοντο, κατασκάψαντες τὰς Ὀρνεὰς
next-day the Argives when they-perceived having-razed — Orneae
ἀνεχώρησαν καὶ οἱ Ἀθηναῖοι ὕστερον ταῖς ναυσὶν ἐπ᾽ οἴκου.
withdrew and the Athenians later with-the ships to home

7.3 καὶ ἐς Μεθώνην τὴν ὅμορον Μακεδονίᾳ ἱππέας κατὰ
and to Methone the bordering to-Macedonia cavalry by
θάλασσαν κομίσαντες Ἀθηναῖοι σφῶν τε αὐτῶν καὶ
sea having-brought Athenians of-them both selves and
Μακεδόνων τοὺς παρὰ σφίσι φυγάδας ἐκακούργουν τὴν
of-Macedonians the with them exiles ravaged the
Περδίκκου.
of-Perdiccas

7.4 Λακεδαιμόνιοι δὲ πέμψαντες παρὰ Χαλκιδέας τοὺς ἐπὶ
Lacedaemonians and having-sent to Chalcidians the in
Θράκης, ἄγοντας πρὸς Ἀθηναίους δεχημέρους σπονδάς,
Thrace keeping with Athenians ten-day truces
ξυμπολεμεῖν ἐκέλευον Περδίκκᾳ· οἱ δ᾽ οὐκ ἤθελον. καὶ
to-join-in-war bade with-Perdiccas they and not were-willing and

ὁ χειμὼν ἐτελεύτα, καὶ ἕκτον καὶ δέκατον ἔτος ἐτελεύτα
the winter ended and sixth and tenth year ended
τῷ πολέμῳ τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.
for-the war this which Thucydides wrote

III · NICIAS ARGUES AGAINST THE VOYAGE

In the spring the envoys return from Egesta with sixty talents of silver and a misleading report of its wealth. The assembly votes sixty ships under Alcibiades, Nicias, and Lamachus as generals with full powers. At a second assembly five days later Nicias, chosen against his will, speaks against the voyage. Athens, he says, leaves enemies at home behind it, a peace on paper and many cities unreconciled, to win an empire too far off to hold. The Sicilians are no danger to Athens and are best held in awe from a distance. He warns against Alcibiades, a young man seeking glory and money from his command, and asks the presiding officer to put the vote again.

τοῦ δ' ἐπιγιγνομένου θέρους ἅμα ἦρι οἱ τῶν Ἀθηναίων 8.1
in-the and following summer together-with spring the of-the Athenians
πρέσβεις ἦκον ἐκ τῆς Σικελίας καὶ οἱ Ἐγεσταῖοι μετ' αὐτῶν
envoys came from — Sicily and the Egestaeans with them
ἄγοντες ἑξήκοντα τάλαντα ἀσήμου ἀργυρίου ὡς ἐς ἑξήκοντα
bringing sixty talents of-uncoined silver as for sixty
ναῦς μηνὸς μισθόν, ἃς ἔμελλον δεήσεσθαι πέμπειν.
ships of-a-month pay which they-were-going to-ask to-send
καὶ οἱ Ἀθηναῖοι ἐκκλησίαν ποιήσαντες καὶ ἀκούσαντες 8.2
and the Athenians assembly having-held and having-heard
τῶν τε Ἐγεσταίων καὶ τῶν σφετέρων πρέσβεων τά τε
the both Egestaeans and the their-own envoys the both
ἄλλα ἐπαγωγὰ καὶ οὐκ ἀληθῆ καὶ περὶ τῶν χρημάτων
other attractive and not true and about the money
ὡς εἴη ἑτοῖμα ἔν τε τοῖς ἱεροῖς πολλὰ καὶ ἐν τῷ
that it-was ready in both the temples much and in the

κοινῷ, ἐψηφίσαντο ναῦς ἑξήκοντα πέμπειν ἐς Σικελίαν καὶ
treasury voted ships sixty to-send to Sicily and
στρατηγοὺς αὐτοκράτορας Ἀλκιβιάδην τε τὸν Κλεινίου
generals with-full-powers Alcibiades both the son-of-Cleinias
καὶ Νικίαν τὸν Νικηράτου καὶ Λάμαχον τὸν Ξενοφάνους,
and Nicias the son-of-Niceratus and Lamachus the son-of-Xenophanes
βοηθοὺς μὲν Ἐγεσταίοις πρὸς Σελινουντίους, ξυγκατοικίσαι
helpers indeed to-Egestaeans against Selinuntians to-help-resettle
δὲ καὶ Λεοντίνους, ἤν τι περιγίγνηται αὐτοῖς τοῦ
and also Leontines if anything should-go-well for-them of-the
πολέμου, καὶ τἆλλα τὰ ἐν τῇ Σικελίᾳ πρᾶξαι ὅπῃ ἂν
war and the-rest the in — Sicily to-do however —
γιγνώσκωσιν ἄριστα Ἀθηναίοις.
they-judge best for-Athenians

8.3 μετὰ δὲ τοῦτο ἡμέρᾳ πέμπτῃ ἐκκλησία αὖθις ἐγίγνετο,
after and this on-day fifth assembly again was-held
καθ' ὅτι χρὴ τὴν παρασκευὴν ταῖς ναυσὶ τάχιστα
by what one-must the armament for-the ships most-quickly
γίγνεσθαι, καὶ τοῖς στρατηγοῖς, εἴ του προσδέοιντο,
to-be-made and for-the generals if anything they-should-need
ψηφισθῆναι ἐς τὸν ἔκπλουν.
to-be-voted for the voyage

8.4 καὶ ὁ Νικίας ἀκούσιος μὲν ἡρημένος ἄρχειν, νομίζων
and — Nicias unwilling indeed having-been-chosen to-command thinking
δὲ τὴν πόλιν οὐκ ὀρθῶς βεβουλεῦσθαι, ἀλλὰ προφάσει
but the city not rightly to-have-decided but on-pretext
βραχείᾳ καὶ εὐπρεπεῖ τῆς Σικελίας ἁπάσης, μεγάλου
slight and specious — of-Sicily all great
ἔργου, ἐφίεσθαι, παρελθὼν ἀποτρέψαι ἐβούλετο, καὶ
task to-aim-at having-come-forward to-turn-back wished and
παρῄνει τοῖς Ἀθηναίοις τοιάδε.
advised the Athenians as-follows

‘Ἡ μὲν ἐκκλησία περὶ παρασκευῆς τῆς ἡμετέρας ἥδε 9.1
the indeed assembly about armament the our this
ξυνελέγη, καθ’ ὅτι χρὴ ἐς Σικελίαν ἐκπλεῖν· ἐμοὶ μέντοι
was-gathered by what one-must to Sicily to-sail-out to-me however
δοκεῖ καὶ περὶ αὐτοῦ τούτου ἔτι χρῆναι σκέψασθαι, εἰ
it-seems also about the-very this still it-is-necessary to-consider whether
ἄμεινόν ἐστιν ἐκπέμπειν τὰς ναῦς, καὶ μὴ οὕτω βραχείᾳ
better it-is to-send-out the ships and not so with-short
βουλῇ περὶ μεγάλων πραγμάτων ἀνδράσιν ἀλλοφύλοις
deliberation about great matters to-men of-other-race
πειθομένους πόλεμον οὐ προσήκοντα ἄρασθαι.
obeying war not belonging to-take-up
καίτοι ἔγωγε καὶ τιμῶμαι ἐκ τοῦ τοιούτου καὶ ἧσσον 9.2
and-yet I-for-my-part both am-honored from the such and less
ἑτέρων περὶ τῷ ἐμαυτοῦ σώματι ὀρρωδῶ, νομίζων ὁμοίως
than-others about the my-own body fear thinking equally
ἀγαθὸν πολίτην εἶναι ὃς ἂν καὶ τοῦ σώματός τι καὶ
good citizen to-be who — also for-the body somewhat and
τῆς οὐσίας προνοῆται· μάλιστα γὰρ ἂν ὁ τοιοῦτος καὶ τὰ
the property takes-thought most for — the such also the
τῆς πόλεως δι’ ἑαυτὸν βούλοιτο ὀρθοῦσθαι. ὅμως δὲ οὔτε
of-the city for himself would-wish to-prosper nevertheless but neither
ἐν τῷ πρότερον χρόνῳ διὰ τὸ προτιμᾶσθαι εἶπον παρὰ
in the former time because-of the to-be-preferred I-spoke against
γνώμην οὔτε νῦν, ἀλλὰ ᾗ ἂν γιγνώσκω βέλτιστα, ἐρῶ.
judgment nor now but as — I-judge best I-will-speak
καὶ πρὸς μὲν τοὺς τρόπους τοὺς ὑμετέρους ἀσθενὴς 9.3
and against indeed the ways the your weak
ἄν μου ὁ λόγος εἴη, εἰ τά τε ὑπάρχοντα σῴζειν
— of-me the speech would-be if the both existing-things to-keep
παραινοίην καὶ μὴ τοῖς ἑτοίμοις περὶ τῶν ἀφανῶν καὶ
I-should-advise and not with-the ready-things about the unseen and

μελλόντων κινδυνεύειν· ὡς δὲ οὔτε ἐν καιρῷ σπεύδετε οὔτε
future to-risk that but neither in season you-hasten nor
ῥᾴδιά ἐστι κατασχεῖν ἐφ' ἃ ὥρμησθε, ταῦτα διδάξω.
easy it-is to-obtain for which you-are-eager these-things I-will-show

10.1 Φημὶ γὰρ ὑμᾶς πολεμίους πολλοὺς ἐνθάδε ὑπολιπόντας καὶ
I-say for you enemies many here leaving-behind and
ἑτέρους ἐπιθυμεῖν ἐκεῖσε πλεύσαντας δεῦρο ἐπαγαγέσθαι.
others to-desire there having-sailed hither to-bring

10.2 καὶ οἴεσθε ἴσως τὰς γενομένας ὑμῖν σπονδὰς ἔχειν τι
and you-think perhaps the made for-you treaty to-have anything
βέβαιον, αἳ ἡσυχαζόντων μὲν ὑμῶν ὀνόματι σπονδαὶ
secure which keeping-quiet indeed you in-name treaty
ἔσονται (οὕτω γὰρ ἐνθένδε τε ἄνδρες ἔπραξαν αὐτὰ
will-be so for from-here both men managed them
καὶ ἐκ τῶν ἐναντίων), σφαλέντων δέ που ἀξιόχρεῳ
and from the opponents having-failed but somewhere with-considerable
δυνάμει ταχεῖαν τὴν ἐπιχείρησιν ἡμῖν οἱ ἐχθροὶ ποιήσονται,
force quick the attack on-us the enemies will-make
οἷς πρῶτον μὲν διὰ ξυμφορῶν ἡ ξύμβασις καὶ ἐκ
for-whom first indeed through misfortunes the agreement and from
τοῦ αἰσχίονος ἢ ἡμῖν κατ' ἀνάγκην ἐγένετο, ἔπειτα ἐν
the more-disgraceful than for-us by necessity came-about then in
αὐτῇ ταύτῃ πολλὰ τὰ ἀμφισβητούμενα ἔχομεν.
the-very this many the disputed-points we-have

10.3 εἰσὶ δ' οἳ οὐδὲ ταύτην πω τὴν ὁμολογίαν ἐδέξαντο,
there-are and who not-even this yet the agreement accepted
καὶ οὐχ οἱ ἀσθενέστατοι· ἀλλ' οἱ μὲν ἄντικρυς
and not the weakest but the-ones indeed openly
πολεμοῦσιν, οἱ δὲ καὶ διὰ τὸ Λακεδαιμονίους ἔτι
make-war the-others and also because-of the Lacedaemonians still
ἡσυχάζειν δεχημέροις σπονδαῖς καὶ αὐτοὶ κατέχονται.
to-keep-quiet by-ten-day truces also themselves are-held-back

τάχα δ' ἂν ἴσως, εἰ δίχα ἡμῶν τὴν δύναμιν λάβοιεν, 10.4
perhaps and — maybe if divided of-us the force they-should-catch
ὅπερ νῦν σπεύδομεν, καὶ πάνυ ἂν ξυνεπιθοῖντο μετὰ
which-very now we-hasten also quite — would-attack-with with
Σικελιωτῶν, οὓς πρὸ πολλῶν ἂν ἐτιμήσαντο ξυμμάχους
Sicilian-Greeks whom before many — they-would-have-valued allies
γενέσθαι ἐν τῷ πρὶν χρόνῳ.
to-become in the former time
ὥστε χρὴ σκοπεῖν τινὰ αὐτὰ καὶ μὴ μετεώρῳ τε 10.5
so-that one-must to-consider one these-things and not with-unsettled both
τῇ πόλει ἀξιοῦν κινδυνεύειν καὶ ἀρχῆς ἄλλης ὀρέγεσθαι
the city to-think-fit to-run-risks and empire other to-reach-for
πρὶν ἣν ἔχομεν βεβαιωσώμεθα, εἰ Χαλκιδῆς γε οἱ ἐπὶ
before which we-have we-secure if Chalcidians at-least the in
Θρᾴκης ἔτη τοσαῦτα ἀφεστῶτες ἀφ' ἡμῶν ἔτι ἀχείρωτοί
Thrace years so-many having-revolted from us still unsubdued
εἰσι καὶ ἄλλοι τινὲς κατὰ τὰς ἠπείρους ἐνδοιαστῶς
are and others some along the mainlands doubtfully
ἀκροῶνται. ἡμεῖς δὲ Ἐγεσταίοις δὴ οὖσι ξυμμάχοις ὡς
obey we but to-Egestaeans indeed being allies as
ἀδικουμένοις ὀξέως βοηθοῦμεν· ὑφ' ὧν δ' αὐτοὶ πάλαι
being-wronged quickly we-help by whom but ourselves long-ago
ἀφεστώτων ἀδικούμεθα, ἔτι μέλλομεν ἀμύνεσθαι.
having-revolted we-are-wronged still we-delay to-avenge-ourselves
καίτοι τοὺς μὲν κατεργασάμενοι κἂν κατάσχοιμεν· τῶν 11.1
and-yet the-ones indeed having-subdued even we-could-hold of-the-others
δ' εἰ καὶ κρατήσαιμεν, διὰ πολλοῦ γε καὶ πολλῶν
and if even we-should-conquer through far at-least and many
ὄντων χαλεπῶς ἂν ἄρχειν δυναίμεθα. ἀνόητον δ' ἐπὶ
being with-difficulty — to-rule we-could foolish and against

τοιούτους ἰέναι ὧν κρατήσας τε μὴ κατασχήσει τις καὶ
such to-go whom having-conquered both not will-hold one and
μὴ κατορθώσας μὴ ἐν τῷ ὁμοίῳ καὶ πρὶν ἐπιχειρῆσαι ἔσται.
not having-succeeded not in the same and before to-attempt will-be

11.2 Σικελιῶται δ' ἄν μοι δοκοῦσιν, ὥς γε νῦν ἔχουσι,
Sicilian-Greeks and — to-me seem as at-least now they-are
καὶ ἔτι ἂν ἧσσον δεινοὶ ἡμῖν γενέσθαι, εἰ ἄρξειαν αὐτῶν
and still — less dangerous to-us to-become if should-rule them
Συρακόσιοι· ὅπερ οἱ Ἐγεσταῖοι μάλιστα ἡμᾶς ἐκφοβοῦσιν.
Syracusans which-very the Egestaeans most us frighten-with

11.3 νῦν μὲν γὰρ κἂν ἔλθοιεν ἴσως Λακεδαιμονίων ἕκαστοι
now indeed for even they-might-come perhaps of-Lacedaemonians each
χάριτι, ἐκείνως δ' οὐκ εἰκὸς ἀρχὴν ἐπὶ ἀρχὴν στρατεῦσαι·
for-favor in-that-way but not likely empire against empire to-march
ᾗ γὰρ ἂν τρόπῳ τὴν ἡμετέραν μετὰ Πελοποννησίων
in-what for — way the ours with Peloponnesians
ἀφέλωνται, εἰκὸς ὑπὸ τῶν αὐτῶν καὶ τὴν σφετέραν διὰ
they-take-away likely by the same also the their-own through
τοῦ αὐτοῦ καθαιρεθῆναι.
the same to-be-destroyed

11.4 ἡμᾶς δ' ἂν οἱ ἐκεῖ Ἕλληνες μάλιστα μὲν ἐκπεπληγμένοι
us and — the there Greeks most indeed struck-with-awe
εἶεν εἰ μὴ ἀφικοίμεθα, ἔπειτα δὲ καὶ εἰ δείξαντες τὴν
would-be if not we-should-come then and also if having-shown the
δύναμιν δι' ὀλίγου ἀπέλθοιμεν· τὰ γὰρ διὰ πλείστου
power after short we-should-depart the for at farthest
πάντες ἴσμεν θαυμαζόμενα καὶ τὰ πεῖραν ἥκιστα τῆς
all we-know being-admired and the test least of-the
δόξης δόντα. εἰ δὲ σφαλείημέν τι, τάχιστ' ἂν
reputation having-given if but we-should-fail at-all most-quickly —
ὑπεριδόντες μετὰ τῶν ἐνθάδε ἐπιθοῖντο.
having-despised with the here they-would-attack

ὅπερ νῦν ὑμεῖς ὦ Ἀθηναῖοι ἐς Λακεδαιμονίους καὶ 11.5
which-very now you O Athenians toward Lacedaemonians and
τοὺς ξυμμάχους πεπόνθατε· διὰ τὸ παρὰ γνώμην
the allies have-felt because-of the against expectation
αὐτῶν πρὸς ἃ ἐφοβεῖσθε τὸ πρῶτον περιγεγενῆσθαι,
them against what you-feared the first to-have-prevailed
καταφρονήσαντες ἤδη καὶ Σικελίας ἐφίεσθε.
having-despised already also Sicily you-aim-at
χρὴ δὲ μὴ πρὸς τὰς τύχας τῶν ἐναντίων ἐπαίρεσθαι, ἀλλὰ 11.6
one-must and not at the fortunes of-the opponents to-be-elated but
τὰς διανοίας κρατήσαντας θαρσεῖν, μηδὲ Λακεδαιμονίους
the plans having-mastered to-be-confident nor Lacedaemonians
ἄλλο τι ἡγήσασθαι ἢ διὰ τὸ αἰσχρὸν σκοπεῖν
other anything to-think than because-of the disgrace to-be-considering
ὅτῳ τρόπῳ ἔτι καὶ νῦν, ἢν δύνωνται, σφήλαντες ἡμᾶς
in-what way still even now if they-can having-tripped us
τὸ σφέτερον ἀπρεπὲς εὖ θήσονται, ὅσῳ καὶ περὶ
the their-own disgrace well they-will-set by-as-much also at
πλείστου καὶ διὰ πλείστου δόξαν ἀρετῆς μελετῶσιν.
most and through longest reputation for-valor they-cultivate
ὥστε οὐ περὶ τῶν ἐν Σικελίᾳ Ἐγεσταίων ἡμῖν, ἀνδρῶν 11.7
so-that not about the in Sicily Egestaeans for-us men
βαρβάρων, ὁ ἀγών, εἰ σωφρονοῦμεν, ἀλλ᾽ ὅπως πόλιν
barbarian the contest if we-are-wise but how city
δι᾽ ὀλιγαρχίας ἐπιβουλεύουσαν ὀξέως φυλαξόμεθα.
through oligarchy plotting keenly we-will-guard-against
Καὶ μεμνῆσθαι χρὴ ἡμᾶς ὅτι νεωστὶ ἀπὸ νόσου 12.1
and to-remember it-is-necessary us that lately from plague
μεγάλης καὶ πολέμου βραχύ τι λελωφήκαμεν, ὥστε καὶ
great and war briefly somewhat we-have-recovered so-that both
χρήμασι καὶ τοῖς σώμασιν ηὐξῆσθαι· καὶ ταῦτα ὑπὲρ ἡμῶν
in-money and the bodies to-have-grown and these for us

δίκαιον ἐνθάδε εἶναι ἀναλοῦν, καὶ μὴ ὑπὲρ ἀνδρῶν φυγάδων
right here to-be to-spend and not for men exiles
τώνδε ἐπικουρίας δεομένων, οἷς τό τε ψεύσασθαι καλῶς
these help needing for-whom the both to-lie well
χρήσιμον καὶ τῷ τοῦ πέλας κινδύνῳ, αὐτοὺς λόγους
useful and with-the of-the neighbor danger themselves words
μόνον παρασχομένους, ἢ κατορθώσαντας χάριν μὴ ἀξίαν
only having-supplied either having-succeeded gratitude not worthy
εἰδέναι ἢ πταίσαντάς που τοὺς φίλους ξυναπολέσαι.
to-know or having-stumbled somewhere the friends to-ruin-with

12.2 εἴ τέ τις ἄρχειν ἄσμενος αἱρεθεὶς παραινεῖ ὑμῖν
if and anyone to-command glad having-been-chosen advises you
ἐκπλεῖν, τὸ ἑαυτοῦ μόνον σκοπῶν, ἄλλως τε καὶ νεώτερος
to-sail-out the his-own only considering otherwise both and too-young
ὢν ἔτι ἐς τὸ ἄρχειν, ὅπως θαυμασθῇ μὲν ἀπὸ τῆς
being still for the to-command so-that he-may-be-admired indeed for the
ἱπποτροφίας, διὰ δὲ πολυτέλειαν καὶ ὠφεληθῇ τι
horse-breeding because-of and extravagance also may-profit something
ἐκ τῆς ἀρχῆς, μηδὲ τούτῳ ἐμπαράσχητε τῷ τῆς πόλεως
from the command nor to-him allow at-the of-the city
κινδύνῳ ἰδίᾳ ἐλλαμπρύνεσθαι, νομίσατε δὲ τοὺς τοιούτους
danger privately to-shine believe and the such
τὰ μὲν δημόσια ἀδικεῖν, τὰ δὲ ἴδια ἀναλοῦν, καὶ τὸ
the indeed public-things to-wrong the and private-things to-squander and the
πρᾶγμα μέγα εἶναι καὶ μὴ οἷον νεωτέρῳ βουλεύσασθαί
matter great to-be and not such-as for-a-younger-man to-plan
τε καὶ ὀξέως μεταχειρίσαι.
both and hastily to-handle

13.1 Ὃν ἐγὼ ὁρῶν νῦν ἐνθάδε τῷ αὐτῷ ἀνδρὶ
whom I seeing now here by-the same man
παρακελευστοὺς καθημένους φοβοῦμαι, καὶ τοῖς πρεσβυτέροις
summoned sitting am-afraid and to-the older-men

ἀντιπαρακελεύομαι μὴ καταισχυνθῆναι, εἴ τῳ τις
I-appeal-in-turn not to-be-shamed if by-anyone one
παρακάθηται τῶνδε, ὅπως μὴ δόξει, ἐὰν μὴ ψηφίζηται
sits-beside of-these so-that not he-will-seem if not he-votes
πολεμεῖν, μαλακὸς εἶναι, μηδ', ὅπερ ἂν αὐτοὶ πάθοιεν,
to-make-war cowardly to-be nor which-very — they-themselves would-feel
δυσέρωτας εἶναι τῶν ἀπόντων, γνόντας ὅτι ἐπιθυμίᾳ μὲν
lovesick to-be for-the absent knowing that by-desire indeed
ἐλάχιστα κατορθοῦνται, προνοίᾳ δὲ πλεῖστα, ἀλλ' ὑπὲρ τῆς
least are-achieved by-forethought and most but for the
πατρίδος ὡς μέγιστον δὴ τῶν πρὶν κίνδυνον ἀναρριπτούσης
fatherland as greatest indeed of-the before danger staking
ἀντιχειροτονεῖν, καὶ ψηφίζεσθαι τοὺς μὲν Σικελιώτας οἷσπερ
to-vote-against and to-vote the indeed Sicilian-Greeks which-very
νῦν ὅροις χρωμένους πρὸς ἡμᾶς, οὐ μεμπτοῖς, τῷ τε
now boundaries using toward us not blamable the both
Ἰονίῳ κόλπῳ παρὰ γῆν ἥν τις πλέῃ, καὶ τῷ Σικελικῷ διὰ
Ionian gulf along coast if one sails and the Sicilian through
πελάγους, τὰ αὑτῶν νεμομένους καθ' αὑτοὺς καὶ ξυμφέρεσθαι·
open-sea the their-own enjoying by themselves also to-settle-differences
τοῖς δ' Ἐγεσταίοις ἰδίᾳ εἰπεῖν, ἐπειδὴ ἄνευ Ἀθηναίων 13.2
to-the and Egestaeans separately to-say since without Athenians
καὶ ξυνῆψαν πρὸς Σελινουντίους τὸ πρῶτον πόλεμον, μετὰ
also they-joined with Selinuntians the first war with
σφῶν αὐτῶν καὶ καταλύεσθαι· καὶ τὸ λοιπὸν ξυμμάχους
them selves also to-end-it and the rest allies
μὴ ποιεῖσθαι ὥσπερ εἰώθαμεν, οἷς κακῶς μὲν πράξασιν
not to-make as we-are-wont whom badly indeed having-fared
ἀμυνοῦμεν, ὠφελίας δ' αὐτοὶ δεηθέντες οὐ τευξόμεθα.
we-will-defend help but ourselves having-needed not we-will-get

14.1 ‘Καὶ σύ, ὦ πρύτανι, ταῦτα, εἴπερ ἡγεῖ σοι προσήκειν
and you O prytanis these-things if-indeed you-think to-you to-belong
κήδεσθαί τε τῆς πόλεως καὶ βούλει γενέσθαι πολίτης
to-care both for-the city and you-wish to-be citizen
ἀγαθός, ἐπιψήφιζε καὶ γνώμας προτίθει αὖθις Ἀθηναίοις,
good put-it-to-the-vote and opinions set-forth again to-Athenians
νομίσας, εἰ ὀρρωδεῖς τὸ ἀναψηφίσαι, τὸ μὲν λύειν
having-reckoned if you-fear the to-put-to-vote-again the indeed to-break
τοὺς νόμους μὴ μετὰ τοσῶνδ’ ἂν μαρτύρων αἰτίαν σχεῖν,
the laws not with so-many — witnesses blame to-incur
τῆς δὲ πόλεως κακῶς βουλευσαμένης ἰατρὸς ἂν γενέσθαι,
of-the and city badly having-decided physician — to-become
καὶ τὸ καλῶς ἄρξαι τοῦτ’ εἶναι, ὃς ἂν τὴν πατρίδα
and the well to-hold-office this to-be who — the fatherland
ὠφελήσῃ ὡς πλεῖστα ἢ ἑκὼν εἶναι μηδὲν βλάψῃ.’
benefits as most or willingly to-be nothing harms

IV · ALCIBIADES ANSWERS

Most speakers urge the voyage and ask that the vote stand. Alcibiades, eager to command and opposed to Nicias, presses it hardest, hoping to take Sicily and Carthage and to mend his fortune. His extravagance in horses and his way of life make the many fear he aims at tyranny. He answers that his seven chariots at Olympia brought Athens glory, and that his youth and his folly built the Peloponnesian alliance that fought at Mantinea. The Sicilian cities are mixed crowds with no common cause. Athens must keep its word to its allies, since an empire is held by action, and a city used to activity would decay in rest.

ὁ μὲν Νικίας τοιαῦτα εἶπε, τῶν δὲ Ἀθηναίων παριόντες 15.1
— *indeed Nicias such-things said of-the and Athenians coming-forward*
οἱ μὲν πλεῖστοι στρατεύειν παρῄνουν καὶ τὰ ἐψηφισμένα
the indeed most to-march urged and the decreed
μὴ λύειν, οἱ δέ τινες καὶ ἀντέλεγον.
not to-undo the-others and some also spoke-against
ἐνῆγε δὲ προθυμότατα τὴν στρατείαν Ἀλκιβιάδης ὁ 15.2
urged and most-eagerly the expedition Alcibiades the
Κλεινίου, βουλόμενος τῷ τε Νικίᾳ ἐναντιοῦσθαι, ὢν καὶ
son-of-Cleinias wishing — both to-Nicias to-oppose being also
ἐς τἆλλα διάφορος τὰ πολιτικὰ καὶ ὅτι αὐτοῦ διαβόλως
in the-rest at-odds the political and because of-him slanderously
ἐμνήσθη, καὶ μάλιστα στρατηγῆσαί τε ἐπιθυμῶν
he-had-made-mention and most to-command both desiring
καὶ ἐλπίζων Σικελίαν τε δι᾽ αὐτοῦ καὶ Καρχηδόνα
and hoping Sicily both through him and Carthage
λήψεσθαι καὶ τὰ ἴδια ἅμα εὐτυχήσας χρήμασί τε
to-take and the private at-the-same-time having-succeeded in-money both
καὶ δόξῃ ὠφελήσειν.
and in-glory to-benefit

15.3 ὧν γὰρ ἐν ἀξιώματι ὑπὸ τῶν ἀστῶν, ταῖς ἐπιθυμίαις
being for in esteem by the citizens the desires
μείζοσιν ἢ κατὰ τὴν ὑπάρχουσαν οὐσίαν ἐχρῆτο ἔς
greater than according-to the existing property he-indulged in
τε τὰς ἱπποτροφίας καὶ τὰς ἄλλας δαπάνας· ὅπερ καὶ
both the horse-breeding and the other expenses which-very also
καθεῖλεν ὕστερον τὴν τῶν Ἀθηναίων πόλιν οὐχ ἥκιστα.
destroyed later the of-the Athenians city not least
15.4 φοβηθέντες γὰρ αὐτοῦ οἱ πολλοὶ τὸ μέγεθος τῆς τε
having-feared for of-him the many the greatness of-the both
κατὰ τὸ ἑαυτοῦ σῶμα παρανομίας ἐς τὴν δίαιταν καὶ
regarding the his-own body lawlessness in the way-of-life and
τῆς διανοίας ὧν καθ' ἓν ἕκαστον ἐν ὅτῳ γίγνοιτο
of-the purpose of-which in one each in which he-was-engaged
ἔπρασσεν, ὡς τυραννίδος ἐπιθυμοῦντι πολέμιοι καθέστασαν,
he-acted as tyranny to-one-desiring enemies became
καὶ δημοσίᾳ κράτιστα διαθέντι τὰ τοῦ πολέμου ἰδίᾳ
and publicly best having-managed the of-the war privately
ἕκαστοι τοῖς ἐπιτηδεύμασιν αὐτοῦ ἀχθεσθέντες, καὶ ἄλλοις
each at-the habits of-him vexed and to-others
ἐπιτρέψαντες, οὐ διὰ μακροῦ ἔσφηλαν τὴν πόλιν.
having-entrusted not through long ruined the city
15.5 τότε δ' οὖν παρελθὼν τοῖς Ἀθηναίοις παρῄνει
at-that-time and then having-come-forward the Athenians advised
τοιάδε.
as-follows

16.1 'Καὶ προσήκει μοι μᾶλλον ἑτέρων, ὦ Ἀθηναῖοι, ἄρχειν
both it-belongs to-me more than-others O Athenians to-command
(ἀνάγκη γὰρ ἐντεῦθεν ἄρξασθαι, ἐπειδή μου Νικίας
necessity for from-here to-begin since me Nicias
καθήψατο), καὶ ἄξιος ἅμα νομίζω εἶναι. ὧν γὰρ
attacked and worthy at-the-same-time I-think to-be which for

πέρι ἐπιβόητός εἰμι, τοῖς μὲν προγόνοις μου καὶ ἐμοὶ
about notorious I-am to-the indeed ancestors my and to-me
δόξαν φέρει ταῦτα, τῇ δὲ πατρίδι καὶ ὠφελίαν.
glory brings these-things to-the and fatherland also benefit
οἱ γὰρ Ἕλληνες καὶ ὑπὲρ δύναμιν μείζω ἡμῶν τὴν πόλιν 16.2
the for Greeks even beyond power greater our the city
ἐνόμισαν τῷ ἐμῷ διαπρεπεῖ τῆς Ὀλυμπίαζε θεωρίας,
thought by-the my splendor of-the to-Olympia embassy
πρότερον ἐλπίζοντες αὐτὴν καταπεπολεμῆσθαι, διότι
before hoping it to-have-been-worn-down-by-war because
ἅρματα μὲν ἑπτὰ καθῆκα, ὅσα οὐδείς πω ἰδιώτης
chariots indeed seven I-entered as-many-as nobody yet private-man
πρότερον, ἐνίκησα δὲ καὶ δεύτερος καὶ τέταρτος ἐγενόμην
before I-won and also second and fourth I-was
καὶ τἆλλα ἀξίως τῆς νίκης παρεσκευασάμην. νόμῳ μὲν
and the-rest worthily of-the victory I-provided by-custom indeed
γὰρ τιμὴ τὰ τοιαῦτα, ἐκ δὲ τοῦ δρωμένου καὶ δύναμις
for honor the such-things from and the done also power
ἅμα ὑπονοεῖται.
at-the-same-time is-inferred
καὶ ὅσα αὖ ἐν τῇ πόλει χορηγίαις ἢ ἄλλῳ τῳ 16.3
and whatever again in the city by-choregies or other some
λαμπρύνομαι, τοῖς μὲν ἀστοῖς φθονεῖται φύσει, πρὸς δὲ
I-shine to-the indeed citizens is-envied by-nature toward but
τοὺς ξένους καὶ αὕτη ἰσχὺς φαίνεται. καὶ οὐκ ἄχρηστος
the foreigners also this strength appears and not useless
ἥδ' ἡ ἄνοια, ὃς ἂν τοῖς ἰδίοις τέλεσι μὴ ἑαυτὸν μόνον
this the folly who — with-the own expenses not himself only
ἀλλὰ καὶ τὴν πόλιν ὠφελῇ.
but also the city benefits

16.4 οὐδέ γε ἄδικον ἐφ᾽ ἑαυτῷ μέγα φρονοῦντα μὴ ἴσον εἶναι,
nor at-least unjust on himself great thinking not equal to-be
ἐπεὶ καὶ ὁ κακῶς πράσσων πρὸς οὐδένα τῆς ξυμφορᾶς
since also the badly faring with nobody of-the misfortune
ἰσομοιρεῖ· ἀλλ᾽ ὥσπερ δυστυχοῦντες οὐ προσαγορευόμεθα,
shares-equally but as being-unfortunate not we-are-greeted
ἐν τῷ ὁμοίῳ τις ἀνεχέσθω καὶ ὑπὸ τῶν εὐπραγούντων
in the same one let-him-bear also by the prospering
ὑπερφρονούμενος, ἢ τὰ ἴσα νέμων τὰ ὁμοῖα ἀνταξιούτω.
being-scorned or the equal giving the like let-him-claim-in-return

16.5 οἶδα δὲ τοὺς τοιούτους, καὶ ὅσοι ἔν τινος λαμπρότητι
I-know and the such and as-many-as in some brilliance
προέσχον, ἐν μὲν τῷ καθ᾽ αὑτοὺς βίῳ λυπηροὺς ὄντας, τοῖς
excelled in indeed the in their-time life offensive being to-the
ὁμοίοις μὲν μάλιστα, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις ξυνόντας,
equals indeed most then and also to-the others associating
τῶν δὲ ἔπειτα ἀνθρώπων προσποίησίν τε ξυγγενείας τισὶ
of-the but after men claim both of-kinship to-some
καὶ μὴ οὖσαν καταλιπόντας, καὶ ἧς ἂν ὦσι πατρίδος,
even not being having-left and of-which — they-be fatherland
ταύτῃ αὔχησιν ὡς οὐ περὶ ἀλλοτρίων οὐδ᾽ ἁμαρτόντων,
to-this boast as not about strangers nor erring
ἀλλ᾽ ὡς περὶ σφετέρων τε καὶ καλὰ πραξάντων.
but as about their-own both and fine-things having-done

16.6 ὧν ἐγὼ ὀρεγόμενος καὶ διὰ ταῦτα τὰ ἴδια
which I reaching-for and because-of these the private-things
ἐπιβοώμενος τὰ δημόσια σκοπεῖτε εἴ του χεῖρον
being-decried the public consider whether than-anyone worse
μεταχειρίζω. Πελοποννήσου γὰρ τὰ δυνατώτατα ξυστήσας
I-handle of-Peloponnese for the most-powerful having-united
ἄνευ μεγάλου ὑμῖν κινδύνου καὶ δαπάνης Λακεδαιμονίους
without great for-you danger and expense Lacedaemonians

ἐς μίαν ἡμέραν κατέστησα ἐν Μαντινείᾳ περὶ τῶν
to one day I-brought at Mantinea for the
ἁπάντων ἀγωνίσασθαι· ἐξ οὗ καὶ περιγενόμενοι τῇ
all to-contend from which even having-prevailed in-the
μάχῃ οὐδέπω καὶ νῦν βεβαίως θαρσοῦσιν.
battle not-yet even now securely are-confident
‘Καὶ ταῦτα ἡ ἐμὴ νεότης καὶ ἄνοια παρὰ φύσιν 17.1
and these-things the my youth and folly beyond nature
δοκοῦσα εἶναι ἐς τὴν Πελοποννησίων δύναμιν λόγοις
seeming to-be with the of-Peloponnesians power in-words
τε πρέπουσιν ὡμίλησε καὶ ὀργῇ πίστιν παρασχομένη
both fitting dealt and by-passion confidence having-supplied
ἔπεισεν. καὶ νῦν μὴ πεφόβησθε αὐτήν, ἀλλ’ ἕως ἐγώ τε
persuaded and now not fear it but while I both
ἔτι ἀκμάζω μετ’ αὐτῆς καὶ ὁ Νικίας εὐτυχὴς δοκεῖ
still am-in-my-prime with it and — Nicias fortunate seems
εἶναι, ἀποχρήσασθε τῇ ἑκατέρου ἡμῶν ὠφελίᾳ.
to-be make-full-use-of the of-each of-us usefulness
καὶ τὸν ἐς τὴν Σικελίαν πλοῦν μὴ μεταγιγνώσκετε ὡς 17.2
and the to — Sicily voyage not reconsider as
ἐπὶ μεγάλην δύναμιν ἐσόμενον. ὄχλοις τε γὰρ ξυμμείκτοις
against great power going-to-be with-mobs both for mixed
πολυανδροῦσιν αἱ πόλεις καὶ ῥᾳδίας ἔχουσι τῶν πολιτῶν
are-populous the cities and easy they-have of-the citizens
τὰς μεταβολὰς καὶ ἐπιδοχάς.
the changes and admissions
καὶ οὐδεὶς δι’ αὐτὸ ὡς περὶ οἰκείας πατρίδος οὔτε 17.3
and nobody because-of it as for own fatherland neither
τὰ περὶ τὸ σῶμα ὅπλοις ἐξήρτυται οὔτε τὰ ἐν τῇ χώρᾳ
the about the body with-arms is-equipped nor the in the country
νομίμοις κατασκευαῖς· ὅτι δὲ ἕκαστος ἢ ἐκ τοῦ λέγων
with-regular buildings what but each either from the speaking

πείθειν οἴεται ἢ στασιάζων ἀπὸ τοῦ κοινοῦ λαβὼν
to-persuade thinks or by-faction from the common having-taken
ἄλλην γῆν, μὴ κατορθώσας, οἰκήσειν, ταῦτα ἑτοιμάζεται.
other land not having-succeeded to-inhabit these-things he-prepares

17.4 καὶ οὐκ εἰκὸς τὸν τοιοῦτον ὅμιλον οὔτε λόγου μιᾷ γνώμῃ
and not likely the such crowd neither speech with-one mind
ἀκροᾶσθαι οὔτε ἐς τὰ ἔργα κοινῶς τρέπεσθαι· ταχὺ δ' ἂν
to-hear nor to the actions in-common to-turn quickly but —
ὡς ἕκαστοι, εἴ τι καθ' ἡδονὴν λέγοιτο, προσχωροῖεν,
as each if anything to pleasure should-be-said they-would-come-over
ἄλλως τε καὶ εἰ στασιάζουσιν, ὥσπερ πυνθανόμεθα.
otherwise both and if they-are-in-faction as we-hear

17.5 καὶ μὴν οὐδ' ὁπλῖται οὔτ' ἐκείνοις ὅσοιπερ κομποῦνται,
and indeed not-even hoplites neither for-them as-many-as are-boasted
οὔτε οἱ ἄλλοι Ἕλληνες διεφάνησαν τοσοῦτοι ὄντες ὅσους
nor the other Greeks showed-themselves so-many being as-many-as
ἕκαστοι σφᾶς αὐτοὺς ἠρίθμουν, ἀλλὰ μέγιστον δὴ αὐτοὺς
each them selves counted but greatly indeed them
ἐψευσμένη ἡ Ἑλλὰς μόλις ἐν τῷδε τῷ πολέμῳ ἱκανῶς
having-misreckoned — Greece barely in this the war adequately
ὡπλίσθη.
was-armed

17.6 τά τε οὖν ἐκεῖ, ἐξ ὧν ἐγὼ ἀκοῇ αἰσθάνομαι, τοιαῦτα
the both then there from what I by-hearsay perceive such
καὶ ἔτι εὐπορώτερα ἔσται (βαρβάρους γὰρ πολλοὺς
and still easier will-be barbarians for many
ἕξομεν οἳ Συρακοσίων μίσει ξυνεπιθήσονται αὐτοῖς)
we-will-have who of-Syracusans from-hatred will-join-in-attacking them
καὶ τὰ ἐνθάδε οὐκ ἐπικωλύσει, ἢν ὑμεῖς ὀρθῶς βουλεύησθε.
and the here not will-hinder if you rightly deliberate

οἱ γὰρ πατέρες ἡμῶν τοὺς αὐτοὺς τούτους οὕσπερ νῦν 17.7
the for fathers of-us the same these whom-very now
φασὶ πολεμίους ὑπολείποντας ἂν ἡμᾶς πλεῖν καὶ προσέτι
they-say enemies leaving-behind — us to-sail and besides
τὸν Μῆδον ἐχθρὸν ἔχοντες τὴν ἀρχὴν ἐκτήσαντο, οὐκ
the Mede enemy having the empire won not
ἄλλῳ τινὶ ἢ τῇ περιουσίᾳ τοῦ ναυτικοῦ ἰσχύοντες.
by-other any than by-the superiority of-the navy being-strong
καὶ νῦν οὔτε ἀνέλπιστοί πω μᾶλλον Πελοποννήσιοι ἐς 17.8
and now neither hopeless yet more Peloponnesians toward
ἡμᾶς ἐγένοντο, εἴ τε καὶ πάνυ ἔρρωνται, τὸ μὲν ἐς τὴν
us became if and even very they-are-strong the indeed into the
γῆν ἡμῶν ἐσβάλλειν, κἂν μὴ ἐκπλεύσωμεν, ἱκανοί εἰσι,
land our to-invade even-if not we-sail-out capable they-are
τῷ δὲ ναυτικῷ οὐκ ἂν δύναιντο βλάπτειν· ὑπόλοιπον
with-the but navy not — they-could to-harm remaining
γὰρ ἡμῖν ἐστὶν ἀντίπαλον ναυτικόν.
for for-us is rival navy
ὥστε τί ἂν λέγοντες εἰκὸς ἢ αὐτοὶ ἀποκνοῖμεν ἢ πρὸς 18.1
so-that what — saying reasonable either ourselves would-we-hang-back or to
τοὺς ἐκεῖ ξυμμάχους σκηπτόμενοι μὴ βοηθοῖμεν; οἷς χρεών,
the there allies making-excuses not would-we-help whom it-is-right
ἐπειδή γε καὶ ξυνωμόσαμεν, ἐπαμύνειν, καὶ μὴ ἀντιτιθέναι
since at-least also we-swore to-help and not to-object
ὅτι οὐδὲ ἐκεῖνοι ἡμῖν. οὐ γὰρ ἵνα δεῦρο ἀντιβοηθῶσι
that nor they us not for so-that hither they-may-help-in-return
προσεθέμεθα αὐτούς, ἀλλ᾽ ἵνα τοῖς ἐκεῖ ἐχθροῖς ἡμῶν
we-took-on them but so-that to-the there enemies of-us
λυπηροὶ ὄντες δεῦρο κωλύωσιν αὐτοὺς ἐπιέναι.
troublesome being hither they-may-prevent them to-come-against

18.2 τήν τε ἀρχὴν οὕτως ἐκτησάμεθα καὶ ἡμεῖς καὶ ὅσοι
the both empire thus we-won both we and as-many-as
δὴ ἄλλοι ἦρξαν, παραγιγνόμενοι προθύμως τοῖς αἰεὶ
indeed others ruled coming-to-aid eagerly to-the ever
ἢ βαρβάροις ἢ Ἕλλησιν ἐπικαλουμένοις, ἐπεὶ εἴ γε
either barbarians or Greeks calling-in since if at-least
ἡσυχάζοιεν πάντες ἢ φυλοκρινοῖεν οἷς χρεὼν βοηθεῖν,
should-keep-quiet all or should-pick-by-race whom it-is-right to-help
βραχὺ ἄν τι προσκτώμενοι αὐτῇ περὶ αὐτῆς ἂν ταύτης
little — anything adding to-it for it — this
μᾶλλον κινδυνεύοιμεν. τὸν γὰρ προύχοντα οὐ μόνον ἐπιόντα
rather we-would-be-in-danger the for superior not only attacking
τις ἀμύνεται, ἀλλὰ καὶ ὅπως μὴ ἔπεισι προκαταλαμβάνει.
one wards-off but also so-that not he-attacks forestalls

18.3 καὶ οὐκ ἔστιν ἡμῖν ταμιεύεσθαι ἐς ὅσον βουλόμεθα
and not it-is-possible for-us to-portion-out to what-extent we-wish
ἄρχειν, ἀλλ᾽ ἀνάγκη, ἐπειδήπερ ἐν τῷδε καθέσταμεν,
to-rule but necessity since-indeed in this we-are-placed
τοῖς μὲν ἐπιβουλεύειν, τοὺς δὲ μὴ ἀνιέναι, διὰ
against-the-ones indeed to-plot the-others and not to-let-go because-of
τὸ ἀρχθῆναι ἂν ὑφ᾽ ἑτέρων αὐτοῖς κίνδυνον εἶναι, εἰ μὴ
the to-be-ruled — by others for-ourselves danger to-be if not
αὐτοὶ ἄλλων ἄρχοιμεν. καὶ οὐκ ἐκ τοῦ αὐτοῦ ἐπισκεπτέον
ourselves others we-should-rule and not from the same to-be-regarded
ὑμῖν τοῖς ἄλλοις τὸ ἥσυχον, εἰ μὴ καὶ τὰ ἐπιτηδεύματα
by-you as-by-the others the quietness if not also the habits
ἐς τὸ ὁμοῖον μεταλήψεσθε.
to the same you-will-change

18.4 Λογισάμενοι οὖν τάδε μᾶλλον αὐξήσειν, ἐπ᾽ ἐκεῖνα
having-reckoned then these-things more to-increase against those-things
ἢν ἴωμεν, ποιώμεθα τὸν πλοῦν, ἵνα Πελοποννησίων τε
if we-go let-us-make the voyage so-that of-Peloponnesians both

στορέσωμεν τὸ φρόνημα, εἰ δόξομεν ὑπεριδόντες τὴν ἐν τῷ
we-may-lay-low the pride if we-will-seem having-disdained the in the
παρόντι ἡσυχίαν καὶ ἐπὶ Σικελίαν πλεῦσαι· καὶ ἅμα
present quiet also against Sicily to-sail and at-the-same-time
ἢ τῆς Ἑλλάδος τῶν ἐκεῖ προσγενομένων πάσης τῷ
either — of-Greece the there having-been-added all in-the
εἰκότι ἄρξομεν, ἢ κακώσομέν γε Συρακοσίους, ἐν ᾧ
likelihood we-will-rule or we-will-harm at-least Syracusans in which
καὶ αὐτοὶ καὶ οἱ ξύμμαχοι ὠφεληsόμεθα.
both ourselves and the allies we-will-benefit
τὸ δὲ ἀσφαλές, καὶ μένειν, ἤν τι προχωρῇ, καὶ 18.5
the and safety both to-stay if anything succeeds and
ἀπελθεῖν, αἱ νῆες παρέξουσιν· ναυκράτορες γὰρ ἐσόμεθα
to-depart the ships will-provide masters-of-the-sea for we-will-be
καὶ ξυμπάντων Σικελιωτῶν.
even of-all Sicilian-Greeks
καὶ μὴ ὑμᾶς ἡ Νικίου τῶν λόγων ἀπραγμοσύνη καὶ 18.6
and not you the of-Nicias of-the speeches inactivity and
διάστασις τοῖς νέοις ἐς τοὺς πρεσβυτέρους ἀποτρέψῃ,
division for-the young against the older let-turn-aside
τῷ δὲ εἰωθότι κόσμῳ, ὥσπερ καὶ οἱ πατέρες ἡμῶν ἅμα
in-the but accustomed order as also the fathers of-us together
νέοι γεραιτέροις βουλεύοντες ἐς τάδε ἦραν αὐτά, καὶ
young with-older deliberating to these-things raised them and
νῦν τῷ αὐτῷ τρόπῳ πειρᾶσθε προαγαγεῖν τὴν πόλιν, καὶ
now in-the same way try to-advance the city and
νομίσατε νεότητα μὲν καὶ γῆρας ἄνευ ἀλλήλων μηδὲν
believe youth indeed and age without each-other nothing
δύνασθαι, ὁμοῦ δὲ τό τε φαῦλον καὶ τὸ μέσον καὶ τὸ πάνυ
to-be-able together but the both inferior and the middling and the quite
ἀκριβὲς ἂν ξυγκραθὲν μάλιστ' ἂν ἰσχύειν, καὶ τὴν πόλιν,
exact — mixed-together most — to-be-strong and the city

ἐὰν μὲν ἡσυχάζῃ, τρίψεσθαί τε αὐτὴν περὶ αὑτὴν ὥσπερ
if indeed it-keeps-quiet to-wear-out both it against itself as
καὶ ἄλλο τι, καὶ πάντων τὴν ἐπιστήμην ἐγγηράσεσθαι,
also other anything and of-all the skill to-grow-old
ἀγωνιζομένην δὲ αἰεὶ προσλήψεσθαί τε τὴν ἐμπειρίαν καὶ
contending but always to-gain both the experience and
τὸ ἀμύνεσθαι οὐ λόγῳ ἀλλ᾽ ἔργῳ μᾶλλον ξύνηθες ἔξειν.
the to-defend-itself not by-word but by-deed rather habitual to-have
18.7 παράπαν τε γιγνώσκω πόλιν μὴ ἀπράγμονα τάχιστ᾽
altogether and I-judge a-city not inactive most-quickly
ἄν μοι δοκεῖν ἀπραγμοσύνης μεταβολῇ διαφθαρῆναι, καὶ
— to-me to-seem of-inactivity by-change to-be-destroyed and
τῶν ἀνθρώπων ἀσφαλέστατα τούτους οἰκεῖν οἳ ἂν τοῖς
of-the men most-safely these to-live who — by-the
παροῦσιν ἤθεσι καὶ νόμοις, ἢν καὶ χείρω ᾖ, ἥκιστα
present customs and laws if even worse they-be least
διαφόρως πολιτεύωσιν.᾽
differently conduct-their-politics

V · NICIAS ASKS FOR A GREATER FORCE

The Egestaeans and the exiles of Leontini beg for help, and the Athenians are keener than before. Nicias, seeing he cannot dissuade them, tries to frighten them with the size of the force he will need. The cities they will fight, he says, are many, large, and independent, with ships, horses, and grain of their own, Selinus and Syracuse above all. Athens must send a great body of hoplites, archers, and slingers, a fleet to command the sea, grain ships, bakers, and money, because the Egestaean treasure is only promised. They will be founding a city among strangers and enemies, and if anyone thinks otherwise, he gives up the command.

τοιαῦτα μὲν ὁ Ἀλκιβιάδης εἶπεν· οἱ δ' Ἀθηναῖοι 19.1
such indeed — Alcibiades said the and Athenians
ἀκούσαντες ἐκείνου τε καὶ τῶν Ἐγεσταίων καὶ Λεοντίνων
having-heard him both and the Egestaeans and Leontine
φυγάδων, οἳ παρελθόντες ἐδέοντό τε καὶ τῶν ὁρκίων
exiles who having-come-forward begged both and the oaths
ὑπομιμνήσκοντες ἱκέτευον βοηθῆσαι σφίσι, πολλῷ μᾶλλον
reminding implored to-help them much more
ἢ πρότερον ὥρμηντο στρατεύειν.
than before were-eager to-march
καὶ ὁ Νικίας γνοὺς ὅτι ἀπὸ μὲν τῶν αὐτῶν λόγων 19.2
and — Nicias knowing that by indeed the same arguments
οὐκ ἂν ἔτι ἀποτρέψειε, παρασκευῆς δὲ πλήθει, εἰ πολλὴν
not — still he-could-deter of-armament but by-the-size if much
ἐπιτάξειε, τάχ' ἂν μεταστήσειεν αὐτούς, παρελθὼν
he-should-prescribe perhaps — he-might-change them having-come-forward
αὐτοῖς αὖθις ἔλεγε τοιάδε.
to-them again said as-follows

20.1 ‘Ἐπειδὴ πάντως ὁρῶ ὑμᾶς, ὦ Ἀθηναῖοι, ὡρμημένους
since by-all-means I-see you O Athenians eager
στρατεύειν, ξυνενέγκοι μὲν ταῦτα ὡς βουλόμεθα, ἐπὶ δὲ
to-march may-it-turn-out indeed these-things as we-wish on but
τῷ παρόντι ἃ γιγνώσκω σημανῶ.
the present what I-judge I-will-declare

20.2 ἐπὶ γὰρ πόλεις, ὡς ἐγὼ ἀκοῇ αἰσθάνομαι, μέλλομεν
against for cities as I by-hearsay perceive we-are-about
ἰέναι μεγάλας καὶ οὔθ’ ὑπηκόους ἀλλήλων οὔτε δεομένας
to-go great and neither subject to-each-other nor needing
μεταβολῆς, ᾗ ἂν ἐκ βιαίου τις δουλείας ἄσμενος ἐς
change by-which — from forced one slavery glad to
ῥᾴω μετάστασιν χωροίη, οὐδ’ ἂν τὴν ἀρχὴν τὴν ἡμετέραν
easier change would-pass nor — the empire the our
εἰκότως ἀντ’ ἐλευθερίας προσδεξαμένας, τό τε πλῆθος
likely instead-of freedom accepting the both number
ὡς ἐν μιᾷ νήσῳ πολλὰς τὰς Ἑλληνίδας.
as in one island many the Greek

20.3 πλὴν γὰρ Νάξου καὶ Κατάνης, ἃς ἐλπίζω ἡμῖν κατὰ
except for Naxos and Catana which I-hope to-us by
τὸ Λεοντίνων ξυγγενὲς προσέσεσθαι, ἄλλαι εἰσὶν ἑπτά,
the of-Leontines kinship to-be-added others are seven
καὶ παρεσκευασμέναι τοῖς πᾶσιν ὁμοιοτρόπως μάλιστα
and equipped with-the all in-like-manner most
τῇ ἡμετέρᾳ δυνάμει, καὶ οὐχ ἥκιστα ἐπὶ ἃς μᾶλλον
to-the our power and not least against which rather
πλέομεν, Σελινοῦς καὶ Συράκουσαι.
we-sail Selinus and Syracuse

20.4 πολλοὶ μὲν γὰρ ὁπλῖται ἔνεισι καὶ τοξόται καὶ
many indeed for hoplites are-in-them and archers and
ἀκοντισταί, πολλαὶ δὲ τριήρεις καὶ ὄχλος ὁ πληρώσων
javelin-men many and triremes and crowd the going-to-man

αὐτάς. χρήματά τ᾽ ἔχουσι τὰ μὲν ἴδια, τὰ δὲ καὶ
them money and they-have the-ones indeed private the-others and also
ἐν τοῖς ἱεροῖς ἐστὶ Σελινουντίοις, Συρακοσίοις δὲ καὶ ἀπὸ
in the temples is to-Selinuntians to-Syracusans and also from
βαρβάρων τινῶν ἀπαρχὴ ἐσφέρεται· ᾧ δὲ μάλιστα
barbarians some first-fruits is-brought-in in-which and most
ἡμῶν προύχουσιν, ἵππους τε πολλοὺς κέκτηνται καὶ σίτῳ
than-us they-excel horses both many they-possess and grain
οἰκείῳ καὶ οὐκ ἐπακτῷ χρῶνται.
own and not imported they-use

Πρὸς οὖν τοιαύτην δύναμιν οὐ ναυτικῆς καὶ φαύλου 21.1
against then such power not of-naval and slight
στρατιᾶς μόνον δεῖ, ἀλλὰ καὶ πεζὸν πολὺν ξυμπλεῖν,
force only there-is-need but also infantry much to-sail-with
εἴπερ βουλόμεθα ἄξιον τῆς διανοίας δρᾶν καὶ μὴ ὑπὸ ἱππέων
if-indeed we-wish worthy of-the purpose to-do and not by cavalry
πολλῶν εἴργεσθαι τῆς γῆς, ἄλλως τε καὶ εἰ ξυστῶσιν αἱ
many to-be-shut-out from-the land otherwise both and if they-combine the
πόλεις φοβηθεῖσαι καὶ μὴ ἀντιπαράσχωσιν ἡμῖν φίλοι τινὲς
cities having-taken-fright and not provide-in-turn for-us friends some
γενόμενοι ἄλλοι ἢ Ἐγεσταῖοι ᾧ ἀμυνούμεθα ἱππικόν
having-become others than Egestaeans with-which we-will-ward-off cavalry
(αἰσχρὸν δὲ βιασθέντας ἀπελθεῖν ἢ ὕστερον 21.2
shameful and being-forced to-depart or later
ἐπιμεταπέμπεσθαι, τὸ πρῶτον ἀσκέπτως βουλευσαμένους)·
to-send-for-more the first thoughtlessly having-planned
αὐτόθεν δὲ παρασκευῇ ἀξιόχρεῳ ἐπιέναι, γνόντας ὅτι
from-here but with-armament adequate to-go knowing that
πολύ τε ἀπὸ τῆς ἡμετέρας αὐτῶν μέλλομεν πλεῖν καὶ
far both from the our own we-are-about to-sail and
οὐκ ἐν τῷ ὁμοίῳ στρατευσόμενοι καὶ ὅτε ἐν τοῖς τῇδε
not in the same going-to-campaign and when among the here

ὑπηκόοις ξύμμαχοι ἤλθετε ἐπί τινα, ὅθεν ῥᾴδιαι αἱ
subjects allies you-went against someone whence easy the
κομιδαὶ ἐκ τῆς φιλίας ὧν προσέδει, ἀλλ᾽ ἐς ἀλλοτρίαν
supplies from the friendly of-what was-needed but to foreign
πᾶσαν ἀπαρτήσοντες, ἐξ ἧς μηνῶν οὐδὲ τεσσάρων
wholly going-to-remove from which in-months not-even four
τῶν χειμερινῶν ἄγγελον ῥᾴδιον ἐλθεῖν.
the wintry messenger easy to-come

22.1 ὁπλίτας τε οὖν πολλούς μοι δοκεῖ χρῆναι ἡμᾶς ἄγειν
hoplites both then many to-me it-seems it-is-necessary us to-take
καὶ ἡμῶν αὐτῶν καὶ τῶν ξυμμάχων, τῶν τε ὑπηκόων καὶ
both of-us selves and of-the allies the both subjects and
ἤν τινα ἐκ Πελοποννήσου δυνώμεθα ἢ πεῖσαι ἢ μισθῷ
if any from Peloponnese we-can either to-persuade or by-pay
προσαγαγέσθαι, καὶ τοξότας πολλοὺς καὶ σφενδονήτας,
to-bring-over and archers many and slingers
ὅπως πρὸς τὸ ἐκείνων ἱππικὸν ἀντέχωσι, ναυσί τε καὶ
so-that against the their cavalry they-may-hold-out in-ships both and
πολὺ περιεῖναι, ἵνα καὶ τὰ ἐπιτήδεια ῥᾷον ἐσκομιζώμεθα,
by-far to-be-superior so-that also the supplies more-easily we-may-bring-in
τόν δὲ καὶ αὐτόθεν σῖτον ἐν ὁλκάσι, πυροὺς καὶ
the and also from-here grain in merchant-ships wheat and
πεφρυγμένας κριθάς, ἄγειν, καὶ σιτοποιοὺς ἐκ τῶν μυλώνων
parched barley to-take and bakers from the mills
πρὸς μέρος ἠναγκασμένους ἐμμίσθους, ἵνα, ἤν που
by turn compelled paid so-that if somewhere
ὑπὸ ἀπλοίας ἀπολαμβανώμεθα, ἔχῃ ἡ στρατιὰ
by want-of-sailing-weather we-are-cut-off may-have the army
τὰ ἐπιτήδεια (πολλὴ γὰρ οὖσα οὐ πάσης ἔσται πόλεως
the supplies large for being not of-every it-will-be city
ὑποδέξασθαι), τά τε ἄλλα ὅσον δυνατὸν ἑτοιμάσασθαι,
to-receive the both other as-far-as possible to-prepare

καὶ μὴ ἐπὶ ἑτέροις γίγνεσθαι, μάλιστα δὲ χρήματα αὐτόθεν
and not on others to-be most and money from-here
ὡς πλεῖστα ἔχειν. τὰ δὲ παρ᾽ Ἐγεσταίων, ἃ λέγεται
as most to-have the and from Egestaeans which is-said
ἐκεῖ ἑτοῖμα, νομίσατε καὶ λόγῳ ἂν μάλιστα ἑτοῖμα εἶναι.
there ready believe also in-word — most ready to-be
ἢν γὰρ αὐτοὶ ἔλθωμεν ἐνθένδε μὴ ἀντίπαλον μόνον 23.1
if for ourselves we-go from-here not equal only
παρασκευασάμενοι, πλήν γε πρὸς τὸ μάχιμον αὐτῶν, τὸ
having-prepared except at-least against the fighting of-them the
ὁπλιτικόν, ἀλλὰ καὶ ὑπερβάλλοντες τοῖς πᾶσι, μόλις οὕτως
hoplite-force but also surpassing in-the all barely thus
οἷοί τε ἐσόμεθα τῶν μὲν κρατεῖν, τὰ δὲ καὶ διασῶσαι.
able — we-will-be the-ones indeed to-overcome the-others and also to-preserve
πόλιν τε νομίσαι χρὴ ἐν ἀλλοφύλοις καὶ πολεμίοις 23.2
a-city and to-think one-must among foreigners and enemies
οἰκιοῦντας ἰέναι, οὓς πρέπει τῇ πρώτῃ ἡμέρᾳ ᾗ
going-to-found to-go who ought on-the first day on-which
ἂν κατάσχωσιν εὐθὺς κρατεῖν τῆς γῆς, ἢ εἰδέναι ὅτι, ἢν
— they-land at-once to-master the land or to-know that if
σφάλλωνται, πάντα πολέμια ἕξουσιν.
they-fail all hostile they-will-have
ὅπερ ἐγὼ φοβούμενος, καὶ εἰδὼς πολλὰ μὲν ἡμᾶς 23.3
which-very I fearing and knowing many indeed us
δέον εὖ βουλεύσασθαι, ἔτι δὲ πλείω εὐτυχῆσαι
being-needful well to-plan still and more to-have-good-fortune
(χαλεπὸν δὲ ἀνθρώπους ὄντας), ὅτι ἐλάχιστα τῇ τύχῃ
hard and men being as least to-the fortune
παραδοὺς ἐμαυτὸν βούλομαι ἐκπλεῖν, παρασκευῇ δὲ
having-surrendered myself I-wish to-sail-out by-armament and
ἀπὸ τῶν εἰκότων ἀσφαλὴς ἐκπλεῦσαι.
from the likely safe to-sail-out

23.4 ταῦτα γὰρ τῇ τε ξυμπάσῃ πόλει βεβαιότατα ἡγοῦμαι
these-things for for-the both whole city most-secure I-consider
καὶ ἡμῖν τοῖς στρατευσομένοις σωτήρια. εἰ δέ τῳ
and for-us the going-to-campaign safe if but to-anyone
ἄλλως δοκεῖ, παρίημι αὐτῷ τὴν ἀρχήν.'
otherwise it-seems I-yield to-him the command

VI · THE ASSEMBLY'S ARDOR

Nicias' speech has the opposite effect. The Athenians think his advice good and the voyage now safe, and a passion to sail falls on everyone, the old expecting conquest, the young longing for foreign sights, and the many hoping for pay and an empire that will pay forever. Those who disagree keep silent for fear of seeming disloyal. Pressed to name the force, Nicias says he would consult his colleagues, but no fewer than a hundred triremes and five thousand hoplites. They vote the generals full powers, and the preparations go forward, the city now recovered from the plague and the long war.

24.1 ὁ μὲν Νικίας τοσαῦτα εἶπε νομίζων τοὺς Ἀθηναίους
— indeed Nicias so-much said thinking the Athenians
τῷ πλήθει τῶν πραγμάτων ἢ ἀποτρέψειν ἤ, εἰ
by-the magnitude of-the requirements either to-deter or if
ἀναγκάζοιτο στρατεύεσθαι, μάλιστ' ἂν οὕτως ἀσφαλῶς
he-should-be-compelled to-campaign most — thus safely
ἐκπλεῦσαι·
to-sail-out

24.2 οἱ δὲ τὸ μὲν ἐπιθυμοῦν τοῦ πλοῦ οὐκ ἐξῃρέθησαν ὑπὸ
they but the indeed desire of-the voyage not were-robbed-of by
τοῦ ὀχλώδους τῆς παρασκευῆς, πολὺ δὲ μᾶλλον ὥρμηντο,
the burdensomeness of-the armament much but more were-eager

καὶ τοὐναντίον περιέστη αὐτῷ· εὖ τε γὰρ παραινέσαι
and the-opposite turned-out for-him well both for to-have-advised
ἔδοξε καὶ ἀσφάλεια νῦν δὴ καὶ πολλὴ ἔσεσθαι.
he-seemed and safety now indeed also much to-be
καὶ ἔρως ἐνέπεσε τοῖς πᾶσιν ὁμοίως ἐκπλεῦσαι· τοῖς 24.3
and passion fell-upon the all alike to-sail-out to-the-ones
μὲν γὰρ πρεσβυτέροις ὡς ἢ καταστρεψομένοις ἐφ' ἃ
indeed for older as either going-to-subdue against what
ἔπλεον ἢ οὐδὲν ἂν σφαλεῖσαν μεγάλην δύναμιν, τοῖς
they-sailed or nothing — having-come-to-grief great force to-the-ones
δ' ἐν τῇ ἡλικίᾳ τῆς τε ἀπούσης πόθῳ ὄψεως καὶ θεωρίας,
and in the prime of-the both distant by-longing sight and spectacle
καὶ εὐέλπιδες ὄντες σωθήσεσθαι· ὁ δὲ πολὺς ὅμιλος
and hopeful being to-be-saved the and great crowd
καὶ στρατιώτης ἔν τε τῷ παρόντι ἀργύριον οἴσειν καὶ
and soldiery in both the present money to-get and
προσκτήσεσθαι δύναμιν ὅθεν ἀίδιον μισθοφορὰν ὑπάρξειν.
to-acquire power whence everlasting pay to-be-available
ὥστε διὰ τὴν ἄγαν τῶν πλεόνων ἐπιθυμίαν, εἴ τῳ 24.4
so-that because-of the excessive of-the majority desire if to-anyone
ἄρα καὶ μὴ ἤρεσκε, δεδιὼς μὴ ἀντιχειροτονῶν κακόνους
after-all also not it-pleased fearing lest voting-against ill-disposed
δόξειεν εἶναι τῇ πόλει ἡσυχίαν ἦγεν.
he-should-seem to-be to-the city quiet he-kept
καὶ τέλος παρελθών τις τῶν Ἀθηναίων καὶ παρακαλέσας 25.1
and finally having-come-forward one of-the Athenians and having-called-on
τὸν Νικίαν οὐκ ἔφη χρῆναι προφασίζεσθαι οὐδὲ
— Nicias not said it-was-necessary to-make-excuses nor
διαμέλλειν, ἀλλ' ἐναντίον ἁπάντων ἤδη λέγειν ἥντινα
to-delay but before all now to-say what
αὐτῷ παρασκευὴν Ἀθηναῖοι ψηφίσωνται.
for-him armament Athenians should-vote

25.2 ὁ δὲ ἄκων μὲν εἶπεν ὅτι καὶ μετὰ τῶν ξυναρχόντων καθ'
he and unwilling indeed said that also with the fellow-commanders at
ἡσυχίαν μᾶλλον βουλεύσοιτο, ὅσα μέντοι ἤδη δοκεῖν
leisure rather he-would-deliberate as-much-as however already to-seem
αὐτῷ, τριήρεσι μὲν οὐκ ἔλασσον ἢ ἑκατὸν πλευστέα εἶναι
to-him with-triremes indeed not less than hundred must-be-sailed to-be
(αὐτῶν δ' Ἀθηναίων ἔσεσθαι ὁπλιταγωγοὺς ὅσαι ἂν
of-them and Athenians to-be troop-carriers as-many-as —
δοκῶσι, καὶ ἄλλας ἐκ τῶν ξυμμάχων μεταπεμπτέας εἶναι),
seem-good and others from the allies to-be-sent-for to-be
ὁπλίταις δὲ τοῖς ξύμπασιν Ἀθηναίων καὶ τῶν ξυμμάχων
with-hoplites and the all of-Athenians and of-the allies
πεντακισχιλίων μὲν οὐκ ἐλάσσοσιν, ἢν δέ τι δύνωνται,
than-five-thousand indeed not fewer if and at-all they-can
καὶ πλέοσιν· τὴν δὲ ἄλλην παρασκευὴν ὡς κατὰ λόγον,
even more the and other armament as in proportion
καὶ τοξοτῶν τῶν αὐτόθεν καὶ ἐκ Κρήτης καὶ σφενδονητῶν,
both of-archers the from-here and from Crete and slingers
καὶ ἤν τι ἄλλο πρέπον δοκῇ εἶναι, ἑτοιμασάμενοι ἄξειν.
and if anything else suitable seems to-be having-prepared to-take
26.1 ἀκούσαντες δ' οἱ Ἀθηναῖοι ἐψηφίσαντο εὐθὺς αὐτοκράτορας
having-heard and the Athenians voted at-once with-full-powers
εἶναι καὶ περὶ στρατιᾶς πλήθους καὶ περὶ τοῦ παντὸς πλοῦ
to-be both about of-army number and about the whole voyage
τοὺς στρατηγοὺς πράσσειν ᾗ ἂν αὐτοῖς δοκῇ ἄριστα εἶναι.
the generals to-act as — to-them seems best to-be
26.2 καὶ μετὰ ταῦτα ἡ παρασκευὴ ἐγίγνετο, καὶ ἔς τε τοὺς
and after these-things the preparation went-on and to both the
ξυμμάχους ἔπεμπον καὶ αὐτόθεν καταλόγους ἐποιοῦντο,
allies they-sent and from-here muster-rolls they-made
ἄρτι δ' ἀνειλήφει ἡ πόλις ἑαυτὴν ἀπὸ τῆς νόσου καὶ τοῦ
just and had-recovered the city itself from the plague and the

ξυνεχοῦς πολέμου ἔς τε ἡλικίας πλῆθος ἐπιγεγενημένης
continuous war as-to both of-youth number grown-up
καὶ ἐς χρημάτων ἄθροισιν διὰ τὴν ἐκεχειρίαν, ὥστε
and as-to of-money accumulation because-of the truce so-that
ῥᾷον πάντα ἐπορίζετο. καὶ οἱ μὲν ἐν παρασκευῇ ἦσαν.
more-easily all was-provided and they indeed in preparation were

VII · THE HERMAE AND THE MYSTERIES

Meanwhile nearly all the stone Hermae in Athens are mutilated in one night. The deed is taken as an omen for the voyage and a sign of a plot against the democracy, and rewards are offered for information. Metics and servants report other mutilations and parodies of the Mysteries in private houses, and they accuse Alcibiades. His enemies, who resent his standing with the people, magnify the charge. He offers to stand trial before the fleet sails and asks to be put to death if found guilty. His enemies fear the army's goodwill toward him and have him sail, meaning to recall him for trial on a worse charge.

ἐν δὲ τούτῳ, ὅσοι Ἑρμαῖ ἦσαν λίθινοι ἐν τῇ πόλει 27.1
in and this as-many-as Hermae were of-stone in the city
τῇ Ἀθηναίων (εἰσὶ δὲ κατὰ τὸ ἐπιχώριον, ἡ τετράγωνος
the of-Athenians they-are and by the local-custom the square
ἐργασία, πολλοὶ καὶ ἐν ἰδίοις προθύροις καὶ ἐν ἱεροῖς),
workmanship many both in private doorways and in temples
μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν τὰ πρόσωπα.
in-one night the most were-mutilated the faces
καὶ τοὺς δράσαντας ἤδει οὐδείς, ἀλλὰ μεγάλοις μηνύτροις 27.2
and the having-done knew nobody but with-great rewards
δημοσίᾳ οὗτοί τε ἐζητοῦντο καὶ προσέτι ἐψηφίσαντο,
publicly these both were-sought and besides they-voted

καὶ εἴ τις ἄλλο τι οἶδεν ἀσέβημα γεγενημένον, μηνύειν
also if anyone other any knows impiety having-occurred to-inform
ἀδεῶς τὸν βουλόμενον καὶ ἀστῶν καὶ ξένων καὶ δούλων.
without-fear the wishing both of-citizens and foreigners and slaves
27.3 καὶ τὸ πρᾶγμα μειζόνως ἐλάμβανον· τοῦ τε γὰρ ἔκπλου
and the affair more-seriously they-took of-the both for voyage
οἰωνὸς ἐδόκει εἶναι καὶ ἐπὶ ξυνωμοσίᾳ ἅμα νεωτέρων
omen it-seemed to-be and for conspiracy at-the-same-time of-revolutionary
πραγμάτων καὶ δήμου καταλύσεως γεγενῆσθαι.
affairs and of-democracy overthrow to-have-happened
28.1 μηνύεται οὖν ἀπὸ μετοίκων τέ τινων καὶ ἀκολούθων
information-is-given then by resident-aliens both some and attendants
περὶ μὲν τῶν Ἑρμῶν οὐδέν, ἄλλων δὲ ἀγαλμάτων
about indeed the Hermae nothing of-other but statues
περικοπαί τινες πρότερον ὑπὸ νεωτέρων μετὰ παιδιᾶς καὶ
mutilations some before by young-men with play and
οἴνου γεγενημέναι, καὶ τὰ μυστήρια ἅμα ὡς ποιεῖται
wine having-occurred and the mysteries at-the-same-time that are-performed
ἐν οἰκίαις ἐφ᾽ ὕβρει· ὧν καὶ τὸν Ἀλκιβιάδην ἐπῃτιῶντο.
in houses for outrage of-which also — Alcibiades they-accused
28.2 καὶ αὐτὰ ὑπολαμβάνοντες οἱ μάλιστα τῷ Ἀλκιβιάδῃ
and them taking-up those most — at-Alcibiades
ἀχθόμενοι ἐμποδὼν ὄντι σφίσι μὴ αὐτοῖς τοῦ δήμου
vexed in-the-way being to-them not themselves of-the people
βεβαίως προεστάναι, καὶ νομίσαντες, εἰ αὐτὸν ἐξελάσειαν,
securely to-lead and thinking if him they-should-drive-out
πρῶτοι ἂν εἶναι, ἐμεγάλυνον καὶ ἐβόων ὡς ἐπὶ δήμου
first — to-be magnified and shouted that for of-democracy
καταλύσει τά τε μυστικὰ καὶ ἡ τῶν Ἑρμῶν περικοπὴ
overthrow the both mysteries and the of-the Hermae mutilation
γένοιτο καὶ οὐδὲν εἴη αὐτῶν ὅτι οὐ μετ᾽ ἐκείνου ἐπράχθη,
happened and nothing was of-them which not with him was-done

ἐπιλέγοντες τεκμήρια τὴν ἄλλην αὐτοῦ ἐς τὰ ἐπιτηδεύματα
adding as-proofs the other his in the habits
οὐ δημοτικὴν παρανομίαν.
not democratic lawlessness
ὁ δ' ἔν τε τῷ παρόντι πρὸς τὰ μηνύματα ἀπελογεῖτο 29.1
he and in both the present against the informations defended-himself
καὶ ἑτοῖμος ἦν πρὶν ἐκπλεῖν κρίνεσθαι, εἴ τι τούτων
and ready was before to-sail-out to-be-tried if anything of-these
εἰργασμένος ἦν (ἤδη γὰρ καὶ τὰ τῆς παρασκευῆς
having-done he-was already for also the of-the armament
ἐπεπόριστο), καὶ εἰ μὲν τούτων τι εἴργαστο, δίκην
had-been-provided and if indeed of-these anything he-had-done penalty
δοῦναι, εἰ δ' ἀπολυθείη, ἄρχειν.
to-pay if but he-should-be-acquitted to-command
καὶ ἐπεμαρτύρετο μὴ ἀπόντος πέρι αὐτοῦ διαβολὰς 29.2
and he-protested not absent about him slanders
ἀποδέχεσθαι, ἀλλ' ἤδη ἀποκτείνειν, εἰ ἀδικεῖ, καὶ ὅτι
to-accept but now to-kill if he-does-wrong and that
σωφρονέστερον εἴη μὴ μετὰ τοιαύτης αἰτίας, πρὶν
wiser it-would-be not with such charge before
διαγνῶσι, πέμπειν αὐτὸν ἐπὶ τοσούτῳ στρατεύματι.
they-decide to-send him over so-great army
οἱ δ' ἐχθροὶ δεδιότες τό τε στράτευμα μὴ εὔνουν ἔχῃ, 29.3
the but enemies fearing the both army lest well-disposed it-have
ἢν ἤδη ἀγωνίζηται, ὅ τε δῆμος μὴ μαλακίζηται θεραπεύων
if now he-is-tried the and people lest go-soft courting
ὅτι δι' ἐκεῖνον οἵ τ' Ἀργεῖοι ξυνεστράτευον καὶ
because because-of him the both Argives were-campaigning-with and
τῶν Μαντινέων τινές, ἀπέτρεπον καὶ ἀπέσπευδον, ἄλλους
of-the Mantineans some tried-to-avert and tried-to-prevent other
ῥήτορας ἐνιέντες οἳ ἔλεγον νῦν μὲν πλεῖν αὐτὸν καὶ μὴ
speakers putting-up who said now indeed to-sail him and not

κατασχεῖν τὴν ἀναγωγήν, ἐλθόντα δὲ κρίνεσθαι ἐν ἡμέραις
to-hold-back the departure having-come and to-be-tried in days
ῥηταῖς, βουλόμενοι ἐκ μείζονος διαβολῆς, ἣν ἔμελλον
fixed wishing from greater slander which they-intended
ῥᾷον αὐτοῦ ἀπόντος πορισεῖν, μετάπεμπτον κομισθέντα
more-easily he being-absent to-procure summoned having-been-brought
αὐτὸν ἀγωνίσασθαι. καὶ ἔδοξε πλεῖν τὸν Ἀλκιβιάδην.
him to-stand-trial and it-was-decided to-sail — Alcibiades

VIII · THE FLEET SAILS

At midsummer the fleet puts out. The allies and the grain ships are to meet at Corcyra, while the Athenians go down to the Piraeus at dawn with the whole city to see them off, and hope mixes with grief at the farewells. It is the costliest and finest armament any one Greek city had ever sent out, for the trierarchs and the state vie in its fitting. The trumpet calls for silence, the whole force prays and pours libations after a herald, and the ships race as far as Aegina. At Syracuse the reports of the voyage come from many sides and are long disbelieved; in the assembly Hermocrates rises, sure he knows the truth.

30.1 μετὰ δὲ ταῦτα θέρους μεσοῦντος ἤδη ἡ ἀναγωγὴ ἐγίγνετο
after and these-things summer being-at-its-height already the departure took-place
ἐς τὴν Σικελίαν. τῶν μὲν οὖν ξυμμάχων τοῖς πλείστοις καὶ
for — Sicily of-the indeed then allies to-the most and
ταῖς σιταγωγοῖς ὁλκάσι καὶ τοῖς πλοίοις καὶ ὅση ἄλλη
to-the grain-carrying merchant-ships and to-the boats and whatever other
παρασκευὴ ξυνείπετο πρότερον εἴρητο ἐς Κέρκυραν
armament followed before it-had-been-ordered at Corcyra
ξυλλέγεσθαι ὡς ἐκεῖθεν ἁθρόοις ἐπὶ ἄκραν Ἰαπυγίαν τὸν
to-assemble as from-there in-a-body to cape Iapygia the
Ἰόνιον διαβαλοῦσιν· αὐτοὶ δ' Ἀθηναῖοι καὶ εἴ τινες τῶν
Ionian going-to-cross themselves and Athenians and if any of-the

ξυμμάχων παρῆσαν, ἐς τὸν Πειραιᾶ καταβάντες ἐν ἡμέρᾳ
allies were-present to the Piraeus having-gone-down on day
ῥητῇ ἅμα ἕῳ ἐπλήρουν τὰς ναῦς ὡς ἀναξόμενοι.
appointed together-with dawn manned the ships as going-to-put-out
ξυγκατέβη δὲ καὶ ὁ ἄλλος ὅμιλος ἅπας ὡς εἰπεῖν ὁ 30.2
went-down-with and also the other crowd whole so to-speak the
ἐν τῇ πόλει καὶ ἀστῶν καὶ ξένων, οἱ μὲν ἐπιχώριοι
in the city both of-citizens and foreigners the indeed natives
τοὺς σφετέρους αὐτῶν ἕκαστοι προπέμποντες, οἱ μὲν
the their-own of-them each escorting the-ones indeed
ἑταίρους, οἱ δὲ ξυγγενεῖς, οἱ δὲ υἱεῖς, καὶ μετ᾽
comrades the-others and kinsmen the-others and sons and with
ἐλπίδος τε ἅμα ἰόντες καὶ ὀλοφυρμῶν, τὰ μὲν
hope both at-the-same-time going and laments the-things indeed
ὡς κτήσοιντο, τοὺς δ᾽ εἴ ποτε ὄψοιντο, ἐνθυμούμενοι
that they-would-win the-others and if ever they-would-see considering
ὅσον πλοῦν ἐκ τῆς σφετέρας ἀπεστέλλοντο.
how-long voyage from the their-own they-were-being-sent
καὶ ἐν τῷ παρόντι καιρῷ, ὡς ἤδη ἔμελλον μετὰ κινδύνων 31.1
and in the present moment when already they-were-about with dangers
ἀλλήλους ἀπολιπεῖν, μᾶλλον αὐτοὺς ἐσῄει τὰ δεινὰ ἢ ὅτε
each-other to-leave more them came-over the terrors than when
ἐψηφίζοντο πλεῖν· ὅμως δὲ τῇ παρούσῃ ῥώμῃ, διὰ
they-were-voting to-sail nevertheless but by-the present strength because-of
τὸ πλῆθος ἑκάστων ὧν ἑώρων, τῇ ὄψει ἀνεθάρσουν.
the abundance of-each-thing which they-saw with-the sight they-took-heart
οἱ δὲ ξένοι καὶ ὁ ἄλλος ὄχλος κατὰ θέαν ἦκεν ὡς ἐπ᾽
the and foreigners and the other crowd for spectacle came as on
ἀξιόχρεων καὶ ἄπιστον διάνοιαν. παρασκευὴ γὰρ αὕτη πρώτη
worthy and incredible design armament for this first

ἐκπλεύσασα μιᾶς πόλεως δυνάμει Ἑλληνικῇ πολυτελεστάτη
having-sailed-out of-one city by-force Greek most-costly
δὴ καὶ εὐπρεπεστάτη τῶν ἐς ἐκεῖνον τὸν χρόνον ἐγένετο.
indeed and most-splendid of-those to that the time was
31.2 ἀριθμῷ δὲ νεῶν καὶ ὁπλιτῶν καὶ ἡ ἐς Ἐπίδαυρον μετὰ
in-number but of-ships and hoplites also the to Epidaurus with
Περικλέους καὶ ἡ αὐτὴ ἐς Ποτείδαιαν μετὰ Ἄγνωνος οὐκ
Pericles and the same to Potidaea with Hagnon not
ἐλάσσων ἦν· τετράκις γὰρ χίλιοι ὁπλῖται αὐτῶν Ἀθηναίων
smaller was four-times for thousand hoplites of-the-very Athenians
καὶ τριακόσιοι ἱππῆς καὶ τριήρεις ἑκατόν, καὶ Λεσβίων καὶ
and three-hundred cavalry and triremes hundred and of-Lesbians and
Χίων πεντήκοντα, καὶ ξύμμαχοι ἔτι πολλοὶ ξυνέπλευσαν.
Chians fifty and allies besides many sailed-with
31.3 ἀλλὰ ἐπί τε βραχεῖ πλῷ ὡρμήθησαν καὶ παρασκευῇ
but for both short voyage they-set-out and with-preparation
φαύλῃ, οὗτος δὲ ὁ στόλος ὡς χρόνιός τε ἐσόμενος
poor this but the expedition as long both going-to-be
καὶ κατ᾽ ἀμφότερα, οὗ ἂν δέῃ, καὶ ναυσὶ καὶ πεζῷ
and for both where — need-be both with-ships and infantry
ἅμα ἐξαρτυθείς, τὸ μὲν ναυτικὸν μεγάλαις δαπάναις
at-the-same-time equipped the indeed navy at-great expense
τῶν τε τριηράρχων καὶ τῆς πόλεως ἐκπονηθέν, τοῦ
of-the both trierarchs and the city worked-up the
μὲν δημοσίου δραχμὴν τῆς ἡμέρας τῷ ναύτῃ ἑκάστῳ
indeed treasury a-drachma of-the day to-the sailor each
διδόντος καὶ ναῦς παρασχόντος κενὰς ἑξήκοντα μὲν
giving and ships having-provided empty sixty indeed
ταχείας, τεσσαράκοντα δὲ ὁπλιταγωγοὺς καὶ ὑπηρεσίας
fast forty and troop-carriers and crews
ταύταις τὰς κρατίστας, τῶν δὲ τριηράρχων ἐπιφοράς τε
for-these the best the and trierarchs bonuses both

πρὸς τῷ ἐκ δημοσίου μισθῷ διδόντων τοῖς θρανίταις τῶν
besides the from treasury pay giving to-the upper-rowers of-the
ναυτῶν καὶ ταῖς ὑπηρεσίαις καὶ τἆλλα σημείοις καὶ
sailors and to-the crews and the-rest with-figureheads and
κατασκευαῖς πολυτελέσι χρησαμένων, καὶ ἐς τὰ μακρότατα
fittings costly having-used and to the furthest
προθυμηθέντος ἑνὸς ἑκάστου ὅπως αὐτῷ τινὶ εὐπρεπείᾳ τε
having-striven one each so-that for-him in-some splendor both
ἡ ναῦς μάλιστα προέξει καὶ τῷ ταχυναυτεῖν, τὸ δὲ πεζὸν
the ship most will-excel and in-the to-sail-fast the and infantry
καταλόγοις τε χρηστοῖς ἐκκριθὲν καὶ ὅπλων καὶ τῶν περὶ
by-musters both good picked and of-arms and of-the about
τὸ σῶμα σκευῶν μεγάλῃ σπουδῇ πρὸς ἀλλήλους ἁμιλληθέν.
the body equipment with-great zeal against each-other having-vied
ξυνέβη δὲ πρός τε σφᾶς αὐτοὺς ἅμα ἔριν γενέσθαι, 31.4
it-happened and among both them selves at-the-same-time rivalry to-arise
ᾧ τις ἕκαστος προσετάχθη, καὶ ἐς τοὺς ἄλλους
in-what one each was-assigned and toward the other
Ἕλληνας ἐπίδειξιν μᾶλλον εἰκασθῆναι τῆς δυνάμεως καὶ
Greeks display rather to-be-taken-for of-the power and
ἐξουσίας ἢ ἐπὶ πολεμίους παρασκευήν.
resources than against enemies armament
εἰ γάρ τις ἐλογίσατο τήν τε τῆς πόλεως ἀνάλωσιν 31.5
if for anyone had-reckoned the both of-the city expenditure
δημοσίαν καὶ τῶν στρατευομένων τὴν ἰδίαν, τῆς μὲν
public and of-the campaigning the private of-the indeed
πόλεως ὅσα τε ἤδη προετετελέκει καὶ ἃ ἔχοντας τοὺς
city what both already it-had-spent and which having the
στρατηγοὺς ἀπέστελλε, τῶν δὲ ἰδιωτῶν ἅ τε περὶ τὸ
generals it-was-sending of-the and private-men what both on the
σῶμά τις καὶ τριήραρχος ἐς τὴν ναῦν ἀνηλώκει καὶ ὅσα
*person one and trierarch on the ship had-spent and as-much-as

ἔτι ἔμελλεν ἀναλώσειν, χωρὶς δ' ἃ εἰκὸς ἦν καὶ ἄνευ
still he-was-going to-spend apart and what likely was even without
τοῦ ἐκ τοῦ δημοσίου μισθοῦ πάντα τινὰ παρασκευάσασθαι
the from the public pay every one to-provide
ἐφόδιον ὡς ἐπὶ χρόνιον στρατείαν, καὶ ὅσα ἐπὶ μεταβολῇ
travel-money as for long expedition and whatever for trade
τις ἢ στρατιώτης ἢ ἔμπορος ἔχων ἔπλει, πολλὰ ἂν
one either soldier or merchant having sailed many —
τάλαντα ηὑρέθη ἐκ τῆς πόλεως τὰ πάντα ἐξαγόμενα.
talents would-have-been-found from the city the all being-taken-out

31.6 καὶ ὁ στόλος οὐχ ἧσσον τόλμης τε θάμβει καὶ ὄψεως
and the expedition not less of-daring both by-amazement and of-sight
λαμπρότητι περιβόητος ἐγένετο ἢ στρατιᾶς πρὸς οὓς
by-splendor famous became than of-force against whom
ἐπῆσαν ὑπερβολῇ, καὶ ὅτι μέγιστος ἤδη διάπλους ἀπὸ
they-went by-superiority and because longest already voyage from
τῆς οἰκείας καὶ ἐπὶ μεγίστῃ ἐλπίδι τῶν μελλόντων πρὸς
the home and with greatest hope of-the future against
τὰ ὑπάρχοντα ἐπεχειρήθη.
the existing was-attempted

32.1 ἐπειδὴ δὲ αἱ νῆες πλήρεις ἦσαν καὶ ἐσέκειτο πάντα
when and the ships manned were and had-been-loaded all
ἤδη ὅσα ἔχοντες ἔμελλον ἀνάξεσθαι, τῇ μὲν
already as-much-as having they-were-going to-put-out by-the indeed
σάλπιγγι σιωπὴ ὑπεσημάνθη, εὐχὰς δὲ τὰς νομιζομένας
trumpet silence was-signaled prayers and the customary
πρὸ τῆς ἀναγωγῆς οὐ κατὰ ναῦν ἑκάστην, ξύμπαντες
before the departure not by ship each all-together
δὲ ὑπὸ κήρυκος ἐποιοῦντο, κρατῆράς τε κεράσαντες
but under herald they-made mixing-bowls both having-mixed

παρ᾽ ἅπαν τὸ στράτευμα καὶ ἐκπώμασι χρυσοῖς τε καὶ
along all the army and from-cups gold both and
ἀργυροῖς οἵ τε ἐπιβάται καὶ οἱ ἄρχοντες σπένδοντες.
silver the both marines and the officers pouring-libations
ξυνεπηύχοντο δὲ καὶ ὁ ἄλλος ὅμιλος ὁ ἐκ τῆς γῆς 32.2
joined-in-prayer and also the other crowd the from the land
τῶν τε πολιτῶν καὶ εἴ τις ἄλλος εὔνους παρῆν
of-the both citizens and if anyone other well-disposed was-present
σφίσιν. παιανίσαντες δὲ καὶ τελεώσαντες τὰς σπονδὰς
to-them having-sung-the-paean and also having-completed the libations
ἀνήγοντο, καὶ ἐπὶ κέρως τὸ πρῶτον ἐκπλεύσαντες
put-out and in column the first having-sailed-out
ἅμιλλαν ἤδη μέχρι Αἰγίνης ἐποιοῦντο. καὶ οἱ μὲν ἐς
race already as-far-as Aegina made and they indeed to
τὴν Κέρκυραν, ἔνθαπερ καὶ τὸ ἄλλο στράτευμα τῶν
— Corcyra where-indeed also the other army of-the
ξυμμάχων ξυνελέγετο, ἠπείγοντο ἀφικέσθαι.
allies was-assembling hastened to-arrive
ἐς δὲ τὰς Συρακούσας ἠγγέλλετο μὲν πολλαχόθεν τὰ περὶ 32.3
to and — Syracuse were-reported indeed from-many-sides the about
τοῦ ἐπίπλου, οὐ μέντοι ἐπιστεύετο ἐπὶ πολὺν χρόνον οὐδέν,
the expedition not however was-believed for long time at-all
ἀλλὰ καὶ γενομένης ἐκκλησίας ἐλέχθησαν τοιοίδε λόγοι ἀπό
but even having-been-held assembly were-spoken such speeches by
τε ἄλλων, τῶν μὲν πιστευόντων τὰ περὶ τῆς στρατείας
both others the-ones indeed believing the about the expedition
τῆς τῶν Ἀθηναίων, τῶν δὲ τὰ ἐναντία λεγόντων, καὶ
the of-the Athenians the-others and the opposite saying and
Ἑρμοκράτης ὁ Ἕρμωνος παρελθὼν αὐτοῖς, ὡς σαφῶς
Hermocrates the son-of-Hermon having-come-forward to-them as clearly
οἰόμενος εἰδέναι τὰ περὶ αὐτῶν, ἔλεγε καὶ παρῄνει τοιάδε.
thinking to-know the about them said and advised as-follows

Hermocrates tells the Syracusans that the invasion is real, though they may not believe it. The Athenians come with a great force on the pretext of Egesta and Leontini, but they want Sicily and Syracuse above all. Syracuse should not fear but prepare, rally the Sicels, and send to Carthage, which has long feared Athens, and to Italy, Sparta, and Corinth. Better still, the Sicilians should sail with their whole fleet to Taras and the Iapygian cape and meet the Athenians at the crossing. Men, he argues, judge by what is reported, and an enemy who sees resistance coming fears it more, so boldness would deter them. They are surely already on their way and all but here.

33.1 ‘Ἄπιστα μὲν ἴσως, ὥσπερ καὶ ἄλλοι τινές, δόξω ὑμῖν
incredible indeed perhaps as also others some I-will-seem to-you
περὶ τοῦ ἐπίπλου τῆς ἀληθείας λέγειν, καὶ γιγνώσκω
about the expedition the truth to-speak and I-know
ὅτι οἱ τὰ μὴ πιστὰ δοκοῦντα εἶναι ἢ λέγοντες
that those the not credible seeming to-be either saying
ἢ ἀπαγγέλλοντες οὐ μόνον οὐ πείθουσιν, ἀλλὰ καὶ
or reporting not only not persuade but also
ἄφρονες δοκοῦσιν εἶναι· ὅμως δὲ οὐ καταφοβηθεὶς
senseless seem to-be nevertheless but not frightened
ἐπισχήσω κινδυνευούσης τῆς πόλεως, πείθων γε ἐμαυτὸν
I-will-hold-back being-in-danger the city persuading at-least myself
σαφέστερόν τι ἑτέρου εἰδὼς λέγειν.
more-clearly somewhat than-another knowing to-speak

33.2 Ἀθηναῖοι γὰρ ἐφ’ ὑμᾶς, ὃ πάνυ θαυμάζετε, πολλῇ
Athenians for against you which very-much you-wonder-at with-large
στρατιᾷ ὥρμηνται καὶ ναυτικῇ καὶ πεζῇ, πρόφασιν μὲν
force have-set-out both naval and land on-pretext indeed
Ἐγεσταίων ξυμμαχίᾳ καὶ Λεοντίνων κατοικίσει, τὸ δὲ
of-Egestaeans alliance and of-Leontines resettlement the but

ἀληθὲς Σικελίας ἐπιθυμίᾳ, μάλιστα δὲ τῆς ἡμετέρας πόλεως,
truth of-Sicily from-desire most and the our city
ἡγούμενοι, εἰ ταύτην σχοῖεν, ῥᾳδίως καὶ τἆλλα ἕξειν.
thinking if this they-should-take easily also the-rest to-have
ὡς οὖν ἐν τάχει παρεσομένων, ὁρᾶτε ἀπὸ τῶν ὑπαρχόντων 33.3
as then in haste going-to-be-present consider from the existing
ὅτῳ τρόπῳ κάλλιστα ἀμυνεῖσθε αὐτούς, καὶ μήτε
in-what way best you-will-defend-against them and neither
καταφρονήσαντες ἄφαρκτοι ληφθήσεσθε μήτε ἀπιστήσαντες
having-despised unguarded you-will-be-caught nor having-disbelieved
τοῦ ξύμπαντος ἀμελήσετε.
of-the whole you-will-neglect
εἰ δέ τῳ καὶ πιστά, τὴν τόλμαν αὐτῶν καὶ δύναμιν 33.4
if and to-anyone even credible the daring of-them and power
μὴ ἐκπλαγῇ. οὔτε γὰρ βλάπτειν ἡμᾶς πλείω οἷοί τ᾽
not let-him-be-dismayed neither for to-harm us more able —
ἔσονται ἢ πάσχειν, οὔθ᾽ ὅτι μεγάλῳ στόλῳ ἐπέρχονται,
they-will-be than to-suffer nor because with-great expedition they-come
ἀνωφελεῖς, ἀλλὰ πρός τε τοὺς ἄλλους Σικελιώτας πολὺ
useless but with both the other Sicilian-Greeks much
ἄμεινον (μᾶλλον γὰρ ἐθελήσουσιν ἐκπλαγέντες ἡμῖν
better rather for they-will-be-willing struck-with-alarm with-us
ξυμμαχεῖν), καὶ ἢν ἄρα ἢ κατεργασώμεθα αὐτοὺς ἢ
to-ally and if after-all either we-subdue them or
ἀπράκτους ὧν ἐφίενται ἀπώσωμεν (οὐ γὰρ δὴ μὴ
unsuccessful of-what they-aim-at we-drive-off not for indeed lest
τύχωσί γε ὧν προσδέχονται φοβοῦμαι), κάλλιστον δὴ
they-get at-least what they-expect I-fear finest indeed
ἔργον ἡμῖν ξυμβήσεται, καὶ οὐκ ἀνέλπιστον ἔμοιγε.
deed for-us will-result and not unhoped-for to-me-at-least

33.5 ὀλίγοι γὰρ δὴ στόλοι μεγάλοι ἢ Ἑλλήνων ἢ
few for indeed expeditions great either of-Greeks or
βαρβάρων πολὺ ἀπὸ τῆς ἑαυτῶν ἀπάραντες κατώρθωσαν.
of-barbarians far from the their-own having-set-out succeeded
οὔτε γὰρ πλείους τῶν ἐνοικούντων καὶ ἀστυγειτόνων
neither for more than-the inhabitants and neighbors
ἔρχονται (πάντα γὰρ ὑπὸ δέους ξυνίσταται), ἤν τε δι᾽
they-come all-things for from fear combine if and because-of
ἀπορίαν τῶν ἐπιτηδείων ἐν ἀλλοτρίᾳ γῇ σφαλῶσι, τοῖς
lack of-the supplies in foreign land they-fail to-the
ἐπιβουλευθεῖσιν ὄνομα, κἂν περὶ σφίσιν αὐτοῖς τὰ πλείω
plotted-against name even-if by them selves the most
πταίσωσιν, ὅμως καταλείπουσιν.
they-stumble nevertheless they-leave

33.6 ὅπερ καὶ Ἀθηναῖοι αὐτοὶ οὗτοι, τοῦ Μήδου παρὰ λόγον
which-very also Athenians themselves these the Mede beyond expectation
πολλὰ σφαλέντος, ἐπὶ τῷ ὀνόματι ὡς ἐπ᾽ Ἀθήνας ᾔει
much having-failed on the name as against Athens he-was-going
ηὐξήθησαν, καὶ ἡμῖν οὐκ ἀνέλπιστον τὸ τοιοῦτο ξυμβῆναι.
grew and for-us not unhoped-for the such to-happen

34.1 Θαρσοῦντες οὖν τά τε αὐτοῦ παρασκευαζώμεθα καὶ ἐς
being-confident then the both here let-us-prepare and to
τοὺς Σικελοὺς πέμποντες τοὺς μὲν μᾶλλον βεβαιωσώμεθα,
the Sicels sending the-ones indeed more let-us-secure
τοῖς δὲ φιλίαν καὶ ξυμμαχίαν πειρώμεθα ποιεῖσθαι,
with-the-others and friendship and alliance let-us-try to-make
ἔς τε τὴν ἄλλην Σικελίαν πέμπωμεν πρέσβεις δηλοῦντες
to both the rest Sicily let-us-send envoys showing
ὡς κοινὸς ὁ κίνδυνος, καὶ ἐς τὴν Ἰταλίαν, ὅπως ἢ
that common the danger and to — Italy so-that either
ξυμμαχίαν ποιώμεθα ἡμῖν ἢ μὴ δέχωνται Ἀθηναίους.
alliance we-may-make with-us or not they-receive Athenians

δοκεῖ δέ μοι καὶ ἐς Καρχηδόνα ἄμεινον εἶναι πέμψαι· οὐ 34.2
it-seems and to-me also to Carthage better to-be to-send not
γὰρ ἀνέλπιστον αὐτοῖς, ἀλλ᾽ αἰεὶ διὰ φόβου εἰσὶ μή
for unexpected to-them but always through fear they-are lest
ποτε Ἀθηναῖοι αὐτοῖς ἐπὶ τὴν πόλιν ἔλθωσιν, ὥστε τάχ᾽
ever Athenians to-them against the city come so-that perhaps
ἂν ἴσως νομίσαντες, εἰ τάδε προήσονται, κἂν σφεῖς ἐν
— maybe having-thought if these-things they-give-up even they in
πόνῳ εἶναι, ἐθελήσειαν ἡμῖν ἤτοι κρύφα γε ἢ φανερῶς
trouble to-be they-would-be-willing us either secretly at-least or openly
ἢ ἐξ ἑνός γέ του τρόπου ἀμῦναι. δυνατοὶ δὲ εἰσὶ
or from one at-least some way to-help able and they-are
μάλιστα τῶν νῦν, βουληθέντες· χρυσὸν γὰρ καὶ ἄργυρον
most of-those now having-wished gold for and silver
πλεῖστον κέκτηνται, ὅθεν ὅ τε πόλεμος καὶ τἆλλα εὐπορεῖ.
most they-possess whence the both war and the-rest prospers
πέμπωμεν δὲ καὶ ἐς τὴν Λακεδαίμονα καὶ ἐς Κόρινθον 34.3
let-us-send and also to — Lacedaemon and to Corinth
δεόμενοι δεῦρο κατὰ τάχος βοηθεῖν καὶ τὸν ἐκεῖ πόλεμον
asking hither with speed to-help and the there war
κινεῖν.
to-stir
ὃ δὲ μάλιστα ἐγώ τε νομίζω ἐπίκαιρον ὑμεῖς τε διὰ 34.4
what and most I both think timely you and because-of
τὸ ξύνηθες ἥσυχον ἥκιστ᾽ ἂν ὀξέως πείθοισθε, ὅμως
the habitual quiet least — quickly would-be-persuaded nevertheless
εἰρήσεται. Σικελιῶται γὰρ εἰ ἐθέλοιμεν ξύμπαντες, εἰ
it-will-be-said Sicilian-Greeks for if we-should-be-willing all-together if
δὲ μή, ὅτι πλεῖστοι μεθ᾽ ἡμῶν, καθελκύσαντες ἅπαν τὸ
but not as many-as-possible with us having-launched all the
ὑπάρχον ναυτικὸν μετὰ δυοῖν μηνοῖν τροφῆς ἀπαντῆσαι
existing navy with two months' provisions to-meet

Ἀθηναίοις ἐς Τάραντα καὶ ἄκραν Ἰαπυγίαν, καὶ δῆλον
Athenians at Taras and cape Iapygia and clear
ποιῆσαι αὐτοῖς ὅτι οὐ περὶ τῆς Σικελίας πρότερον ἔσται
to-make to-them that not about — Sicily sooner will-be
ὁ ἀγὼν ἢ τοῦ ἐκείνους περαιωθῆναι τὸν Ἰόνιον, μάλιστ᾽
the contest than the them to-cross the Ionian most
ἂν αὐτοὺς ἐκπλήξαιμεν καὶ ἐς λογισμὸν καταστήσαιμεν
— them we-would-dismay and into reckoning we-would-bring
ὅτι ὁρμώμεθα μὲν ἐκ φιλίας χώρας φύλακες (ὑποδέχεται
that we-set-out indeed from friendly country as-guards receives
γὰρ ἡμᾶς Τάρας), τὸ δὲ πέλαγος αὐτοῖς πολὺ περαιοῦσθαι
for us Taras the but sea for-them wide to-cross
μετὰ πάσης τῆς παρασκευῆς, χαλεπὸν δὲ διὰ πλοῦ
with all the armament hard and because-of voyage's
μῆκος ἐν τάξει μεῖναι, καὶ ἡμῖν ἂν εὐεπίθετος εἴη,
length in order to-remain and for-us — easy-to-attack it-would-be
βραδεῖά τε καὶ κατ᾽ ὀλίγον προσπίπτουσα.
slow both and by little approaching
34.5 εἰ δ᾽ αὖ τῷ ταχυναυτοῦντι ἁθροωτέρῳ κουφίσαντες
if but again with-the fast-sailing more-compact having-lightened
προσβάλοιεν, εἰ μὲν κώπαις χρήσαιντο, ἐπιθοίμεθ᾽ ἂν
they-should-attack if indeed oars they-should-use we-would-attack —
κεκμηκόσιν, εἰ δὲ μὴ δοκοίη, ἔστι καὶ ὑποχωρῆσαι
tired if but not it-should-seem-good it-is-possible also to-retire
ἡμῖν ἐς Τάραντα· οἱ δὲ μετ᾽ ὀλίγων ἐφοδίων ὡς ἐπὶ
for-us to Taras they and with few supplies as for
ναυμαχίᾳ περαιωθέντες ἀποροῖεν ἂν κατὰ χωρία ἐρῆμα,
sea-battle having-crossed would-be-at-a-loss — in places deserted
καὶ ἢ μένοντες πολιορκοῖντο ἂν ἢ πειρώμενοι παραπλεῖν
and either remaining would-be-besieged — or trying to-coast-along
τήν τε ἄλλην παρασκευὴν ἀπολείποιεν ἂν καὶ τὰ τῶν
the both other armament would-leave-behind — and the of-the

πόλεων οὐκ ἂν βέβαια ἔχοντες, εἰ ὑποδέξοιντο,
cities not — sure having whether they-would-receive-them
ἀθυμοῖεν.
would-lose-heart
ὥστ' ἔγωγε τούτῳ τῷ λογισμῷ ἡγοῦμαι ἀποκληομένους 34.6
so-that I-for-my-part by-this the reckoning think being-shut-off
αὐτοὺς οὐδ' ἂν ἀπᾶραι ἀπὸ Κερκύρας, ἀλλ' ἢ
them not-even — to-set-out from Corcyra but either
διαβουλευσαμένους καὶ κατασκοπαῖς χρωμένους, ὁπόσοι
having-deliberated and reconnaissance using how-many
τ' ἐσμὲν καὶ ἐν ᾧ χωρίῳ, ἐξωσθῆναι ἂν τῇ ὥρᾳ ἐς
both we-are and in what place to-be-pushed — by-the season into
χειμῶνα, ἢ καταπλαγέντας τῷ ἀδοκήτῳ καταλῦσαι ἂν τὸν
winter or dismayed by-the unexpected to-abandon — the
πλοῦν, ἄλλως τε καὶ τοῦ ἐμπειροτάτου τῶν στρατηγῶν,
voyage otherwise both and the most-experienced of-the generals
ὡς ἐγὼ ἀκούω, ἄκοντος ἡγουμένου καὶ ἀσμένου ἂν
as I hear unwilling commanding and gladly —
πρόφασιν λαβόντος, εἴ τι ἀξιόχρεων ἀφ' ἡμῶν ὀφθείη.
pretext taking if anything considerable from us should-be-seen
ἀγγελλοίμεθα δ' ἂν εὖ οἶδ' ὅτι ἐπὶ τὸ πλέον· τῶν 34.7
we-would-be-reported and — well I-know that toward the more of-the
δ' ἀνθρώπων πρὸς τὰ λεγόμενα καὶ αἱ γνῶμαι ἵστανται,
and men by the things-said also the judgments are-fixed
καὶ τοὺς προεπιχειροῦντας ἢ τοῖς γε ἐπιχειροῦσι
and those attacking-first or to-those at-least attacking
προδηλοῦντας ὅτι ἀμυνοῦνται μᾶλλον πεφόβηνται,
showing-beforehand that they-will-resist more they-fear
ἰσοκινδύνους ἡγούμενοι.
equal-in-danger thinking

34.8 ὅπερ ἂν νῦν Ἀθηναῖοι πάθοιεν. ἐπέρχονται γὰρ ἡμῖν
which-very — now Athenians would-feel they-come-against for us
ὡς οὐκ ἀμυνουμένοις, δικαίως κατεγνωκότες ὅτι αὐτοὺς
as not going-to-resist justly having-judged because them
οὐ μετὰ Λακεδαιμονίων ἐφθείρομεν· εἰ δ' ἴδοιεν
not with Lacedaemonians we-were-destroying if but they-should-see
παρὰ γνώμην τολμήσαντας, τῷ ἀδοκήτῳ μᾶλλον ἂν
against expectation having-dared by-the unexpected more —
καταπλαγεῖεν ἢ τῇ ἀπὸ τοῦ ἀληθοῦς δυνάμει.
they-would-be-dismayed than by-the from the true power

34.9 'Πείθεσθε οὖν μάλιστα μὲν ταῦτα τολμήσαντες, εἰ δὲ
be-persuaded then most indeed these-things having-dared if but
μή, ὅτι τάχιστα τἆλλα ἐς τὸν πόλεμον ἑτοιμάζειν, καὶ
not as quickly-as-possible the-rest for the war to-prepare and
παραστῆναι παντὶ τὸ μὲν καταφρονεῖν τοὺς ἐπιόντας
to-occur to-everyone the indeed to-despise the attackers
ἐν τῶν ἔργων τῇ ἀλκῇ δείκνυσθαι, τὸ δ' ἤδη τὰς
in of-the deeds the strength to-be-shown the and now the
μετὰ φόβου παρασκευὰς ἀσφαλεστάτας νομίσαντας ὡς
with fear preparations safest having-considered as
ἐπὶ κινδύνου πράσσειν χρησιμώτατον ἂν ξυμβῆναι. οἱ δὲ
in danger to-act most-useful — to-turn-out the and
ἄνδρες καὶ ἐπέρχονται καὶ ἐν πλῷ εὖ οἶδ' ὅτι ἤδη
men both are-coming and on voyage well I-know that already
εἰσὶ καὶ ὅσον οὔπω πάρεισιν.'
they-are and all-but not-yet are-here

The Syracusan people are divided, most disbelieving or scornful, and only a few alarmed. Athenagoras, the leader of the democrats, speaks next. Anyone who does not wish the Athenians mad enough to come and fall into Syracuse's hands is a coward or disloyal, he says, and the reports are invented by a few young oligarchs to frighten the people and seize power. Athens would not leave a war at home for so great a new one, and Syracuse could destroy it with its cavalry if it came. He defends democracy as the rule of the whole city and warns the oligarchs that he will punish them. One of the generals ends the debate, ordering them to prepare without abuse.

καὶ ὁ μὲν Ἑρμοκράτης τοσαῦτα εἶπεν· τῶν δὲ Συρακοσίων 35.1
and — indeed Hermocrates so-much said of-the and Syracusans
ὁ δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι ἦσαν, οἱ μὲν ὡς
the people in much with each-other strife were the-ones indeed that
οὐδενὶ ἂν τρόπῳ ἔλθοιεν οἱ Ἀθηναῖοι οὐδ' ἀληθῆ ἐστὶν ἃ
in-no — way would-come the Athenians nor true is what
λέγει, τοῖς δέ, εἰ καὶ ἔλθοιεν, τί ἂν δράσειαν αὐτοὺς
he-says to-the-others and if even they-should-come what — could-they-do them
ὅτι οὐκ ἂν μεῖζον ἀντιπάθοιεν. ἄλλοι δὲ καὶ πάνυ
that not — greater they-would-suffer-in-return others and also utterly
καταφρονοῦντες ἐς γέλωτα ἔτρεπον τὸ πρᾶγμα. ὀλίγον δ'
despising to laughter turned the matter few and
ἦν τὸ πιστεῦον τῷ Ἑρμοκράτει καὶ φοβούμενον τὸ μέλλον.
was the believing — Hermocrates and fearing the future
παρελθὼν δ' αὐτοῖς Ἀθηναγόρας, ὃς δήμου τε 35.2
having-come-forward and to-them Athenagoras who of-people both
προστάτης ἦν καὶ ἐν τῷ παρόντι πιθανώτατος τοῖς
leader was and in the present most-persuasive to-the
πολλοῖς, ἔλεγε τοιάδε.
many said as-follows

36.1 Τοὺς μὲν Ἀθηναίους ὅστις μὴ βούλεται οὕτω κακῶς
the indeed Athenians whoever not wishes so badly
φρονῆσαι καὶ ὑποχειρίους ἡμῖν γενέσθαι ἐνθάδε ἐλθόντας, ἢ
to-think and subject to-us to-become here having-come either
δειλός ἐστιν ἢ τῇ πόλει οὐκ εὔνους· τοὺς δὲ ἀγγέλλοντας
coward is or to-the city not well-disposed the and reporting
τὰ τοιαῦτα καὶ περιφόβους ὑμᾶς ποιοῦντας τῆς μὲν τόλμης
the such-things and terrified you making at-the indeed daring
οὐ θαυμάζω, τῆς δὲ ἀξυνεσίας, εἰ μὴ οἴονται ἔνδηλοι εἶναι.
not I-wonder at-the but stupidity if not they-think obvious to-be
36.2 οἱ γὰρ δεδιότες ἰδίᾳ τι βούλονται τὴν πόλιν ἐς
those for fearing privately something wish the city into
ἔκπληξιν καθιστάναι, ὅπως τῷ κοινῷ φόβῳ τὸν σφέτερον
alarm to-put so-that by-the common fear the their-own
ἐπηλυγάζωνται. καὶ νῦν αὗται αἱ ἀγγελίαι τοῦτο δύνανται·
they-may-cloak and now these the reports this mean
οὐκ ἀπὸ ταὐτομάτου, ἐκ δὲ ἀνδρῶν οἵπερ αἰεὶ τάδε
not from chance from but men who-indeed always these-things
κινοῦσι ξύγκεινται.
stir are-composed
36.3 ὑμεῖς δὲ ἢν εὖ βουλεύησθε, οὐκ ἐξ ὧν οὗτοι ἀγγέλλουσι
you but if well you-deliberate not from what these report
σκοποῦντες λογιεῖσθε τὰ εἰκότα, ἀλλ' ἐξ ὧν ἂν ἄνθρωποι
examining will-reckon the likely but from what — men
δεινοὶ καὶ πολλῶν ἔμπειροι, ὥσπερ ἐγὼ Ἀθηναίους ἀξιῶ,
clever and of-much experienced as I Athenians deem
δράσειαν.
would-do
36.4 οὐ γὰρ αὐτοὺς εἰκὸς Πελοποννησίους τε ὑπολιπόντας
not for them likely Peloponnesians both leaving-behind
καὶ τὸν ἐκεῖ πόλεμον μήπω βεβαίως καταλελυμένους ἐπ'
and the there war not-yet securely having-ended to

ἄλλον πόλεμον οὐκ ἐλάσσω ἑκόντας ἐλθεῖν, ἐπεὶ ἔγωγε
another war not lesser willingly to-come since I-for-my-part
ἀγαπᾶν οἶομαι αὐτοὺς ὅτι οὐχ ἡμεῖς ἐπ᾽ ἐκείνους
to-be-content I-think them that not we against them
ἐρχόμεθα, πόλεις τοσαῦται καὶ οὕτω μεγάλαι.
come cities so-many and so great
εἰ δὲ δή, ὥσπερ λέγονται, ἔλθοιεν, ἱκανωτέραν ἡγοῦμαι 37.1
if and indeed as they-are-said they-should-come more-capable I-think
Σικελίαν Πελοποννήσου διαπολεμῆσαι ὅσῳ κατὰ πάντα
Sicily than-Peloponnese to-fight-it-out inasmuch-as in all
ἄμεινον ἐξήρτυται, τὴν δὲ ἡμετέραν πόλιν αὐτὴν τῆς
better it-is-equipped the and our city itself than-the
νῦν στρατιᾶς, ὥς φασιν, ἐπιούσης, καὶ εἰ δὶς τοσαύτη
now army as they-say coming and if twice so-great
ἔλθοι, πολὺ κρείσσω εἶναι, οἷς γ᾽ ἐπίσταμαι οὔθ᾽
should-come much stronger to-be with-whom at-least I-know neither
ἵππους ἀκολουθήσοντας, οὐδ᾽ αὐτόθεν πορισθησομένους εἰ
horses going-to-follow nor from-there going-to-be-provided if
μὴ ὀλίγους τινὰς παρ᾽ Ἐγεσταίων, οὔθ᾽ ὁπλίτας ἰσοπληθεῖς
not few some from Egestaeans nor hoplites equal-in-number
τοῖς ἡμετέροις ἐπὶ νεῶν γε ἐλθόντας (μέγα γὰρ τὸ
to-the ours on ships at-least having-come great for the
καὶ αὐταῖς ταῖς ναυσὶ κούφαις τοσοῦτον πλοῦν δεῦρο
even with-the-very the ships light so-long voyage hither
κομισθῆναι), τήν τε ἄλλην παρασκευὴν ὅσην δεῖ
to-be-brought the both other armament as-much-as is-needed
ἐπὶ πόλιν τοσήνδε πορισθῆναι, οὐκ ὀλίγην οὖσαν.
against city so-great to-be-provided not little being
ὥστε, παρὰ τοσοῦτον γιγνώσκω, μόλις ἄν μοι δοκοῦσιν, εἰ 37.2
so-that by so-much I-judge hardly — to-me they-seem if
πόλιν ἑτέραν τοσαύτην ὅσαι Συράκουσαί εἰσιν ἔλθοιεν
city another as-great as Syracuse is they-should-come

ἔχοντες καὶ ὅμορον οἰκίσαντες τὸν πόλεμον ποιοῖντο, οὐκ
having and bordering having-settled the war should-make not
ἂν παντάπασι διαφθαρῆναι, ἦ πού γε δὴ ἐν πάσῃ
— utterly to-be-destroyed surely I-suppose at-least indeed in all
πολεμίᾳ Σικελίᾳ (ξυστήσεται γάρ) στρατοπέδῳ τε ἐκ νεῶν
hostile Sicily it-will-combine for in-a-camp both from ships
ἱδρυθέντι καὶ ἐκ σκηνιδίων καὶ ἀναγκαίας παρασκευῆς
set-up and from huts and bare preparation
οὐκ ἐπὶ πολὺ ὑπὸ τῶν ἡμετέρων ἱππέων ἐξιόντες. τό
not for far by the our cavalry going-out the
τε ξύμπαν οὐδ' ἂν κρατῆσαι αὐτοὺς τῆς γῆς ἡγοῦμαι·
and whole not-even — to-master them the land I-think
τοσούτῳ τὴν ἡμετέραν παρασκευὴν κρείσσω νομίζω.
by-so-much the our armament stronger I-consider

38.1 Ἀλλὰ ταῦτα, ὥσπερ ἐγὼ λέγω, οἵ τε Ἀθηναῖοι
but these-things as I say the both Athenians
γιγνώσκοντες τὰ σφέτερα αὐτῶν εὖ οἶδ' ὅτι σῴζουσι, καὶ
knowing the their-own of-them well I-know that are-keeping and
ἐνθένδε ἄνδρες οὔτε ὄντα οὔτε ἂν γενόμενα λογοποιοῦσιν,
from-here men neither being nor — would-happen make-up-stories

38.2 οὓς ἐγὼ οὐ νῦν πρῶτον, ἀλλ' αἰεὶ ἐπίσταμαι ἤτοι λόγοις
whom I not now first but always know either by-words
γε τοιοῖσδε καὶ ἔτι τούτων κακουργοτέροις ἢ ἔργοις
at-least such and still than-these more-mischievous or by-deeds
βουλομένους καταπλήξαντας τὸ ὑμέτερον πλῆθος αὐτοὺς
wishing having-cowed the your multitude themselves
τῆς πόλεως ἄρχειν. καὶ δέδοικα μέντοι μήποτε πολλὰ
the city to-rule and I-fear however lest-ever many-times
πειρῶντες καὶ κατορθώσωσιν· ἡμεῖς δὲ κακοί, πρὶν ἐν τῷ
trying even they-succeed we and bad before in the
παθεῖν ὦμεν, προφυλάξασθαί τε καὶ αἰσθόμενοι ἐπεξελθεῖν.
to-suffer we-are to-guard-against both and having-perceived to-proceed-against

τοιγάρτοι δι᾽ αὐτὰ ἡ πόλις ἡμῶν ὀλιγάκις μὲν 38.3
therefore because-of these-things the city our seldom indeed
ἡσυχάζει, στάσεις δὲ πολλὰς καὶ ἀγῶνας οὐ πρὸς τοὺς
is-at-rest factions and many and struggles not against the
πολεμίους πλέονας ἢ πρὸς αὑτὴν ἀναιρεῖται, τυραννίδας
enemies more than against itself takes-on tyrannies
δὲ ἔστιν ὅτε καὶ δυναστείας ἀδίκους.
and there-is when also juntas unjust
ὧν ἐγὼ πειράσομαι, ἤν γε ὑμεῖς ἐθέλητε ἕπεσθαι, 38.4
of-which I will-try if at-least you are-willing to-follow
μήποτε ἐφ᾽ ἡμῶν τι περιδεῖν γενέσθαι, ὑμᾶς μὲν
never in our-time anything to-allow to-happen you indeed
τοὺς πολλοὺς πείθων, τοὺς δὲ τὰ τοιαῦτα μηχανωμένους
the many persuading those and the such-things contriving
κολάζων, μὴ μόνον αὐτοφώρους (χαλεπὸν γὰρ ἐπιτυγχάνειν),
punishing not only in-the-act hard for to-catch
ἀλλὰ καὶ ὧν βούλονται μέν, δύνανται δ᾽ οὔ (τὸν γὰρ
but also for-what they-wish indeed they-can but not the for
ἐχθρὸν οὐχ ὧν δρᾷ μόνον, ἀλλὰ καὶ τῆς διανοίας
enemy not for-what he-does only but also for-the intention
προαμύνεσθαι χρή, εἴπερ καὶ μὴ προφυλαξάμενός τις
to-forestall one-must if-indeed also not having-guarded-first one
προπείσεται), τοὺς δ᾽ αὖ ὀλίγους τὰ μὲν ἐλέγχων,
will-suffer-first the and again few partly indeed exposing
τὰ δὲ φυλάσσων, τὰ δὲ καὶ διδάσκων· μάλιστα γὰρ
partly and watching partly and also teaching most for
δοκῶ ἄν μοι οὕτως ἀποτρέπειν τῆς κακουργίας.
I-seem — to-me thus to-deter from-the mischief
καὶ δῆτα, ὦ πολλάκις ἐσκεψάμην, τί καὶ βούλεσθε, ὦ 38.5
and indeed what often I-have-considered what really do-you-want O
νεώτεροι; πότερον ἄρχειν ἤδη; ἀλλ᾽ οὐκ ἔννομον· ὁ δὲ
younger-men whether to-rule already but not lawful the and

νόμος ἐκ τοῦ μὴ δύνασθαι ὑμᾶς μᾶλλον ἢ δυναμένους
law from the not to-be-able you rather than being-able
ἐτέθη ἀτιμάζειν. ἀλλὰ δὴ μὴ μετὰ πολλῶν ἰσονομεῖσθαι;
was-made to-disqualify but indeed not with many to-have-equal-rights
καὶ πῶς δίκαιον τοὺς αὐτοὺς μὴ τῶν αὐτῶν ἀξιοῦσθαι;
and how just the same not of-the same to-be-deemed-worthy
39.1 φήσει τις δημοκρατίαν οὔτε ξυνετὸν οὔτ' ἴσον εἶναι, τοὺς
will-say someone democracy neither intelligent nor fair to-be those
δ' ἔχοντας τὰ χρήματα καὶ ἄρχειν ἄριστα βελτίστους. ἐγὼ
and having the money also to-rule best best-men I
δέ φημι πρῶτα μὲν δῆμον ξύμπαν ὠνομάσθαι, ὀλιγαρχίαν
but say first indeed people the-whole to-be-named oligarchy
δὲ μέρος, ἔπειτα φύλακας μὲν ἀρίστους εἶναι χρημάτων τοὺς
and part then guardians indeed best to-be of-money the
πλουσίους, βουλεῦσαι δ' ἂν βέλτιστα τοὺς ξυνετούς, κρῖναι
rich to-counsel and — best the intelligent to-judge
δ' ἂν ἀκούσαντας ἄριστα τοὺς πολλούς, καὶ ταῦτα ὁμοίως
and — having-heard best the many and these alike
καὶ κατὰ μέρη καὶ ξύμπαντα ἐν δημοκρατίᾳ ἰσομοιρεῖν.
both by parts and all-together in democracy to-have-equal-share
39.2 ὀλιγαρχία δὲ τῶν μὲν κινδύνων τοῖς πολλοῖς μεταδίδωσι,
oligarchy but of-the indeed dangers to-the many gives-a-share
τῶν δ' ὠφελίμων οὐ πλεονεκτεῖ μόνον, ἀλλὰ καὶ
of-the and profits not takes-the-larger-share only but even
ξύμπαντ' ἀφελομένη ἔχει· ἃ ὑμῶν οἵ τε δυνάμενοι καὶ
all having-taken-away holds which of-you the both powerful and
οἱ νέοι προθυμοῦνται, ἀδύνατα ἐν μεγάλῃ πόλει κατασχεῖν.
the young are-eager-for impossible in great city to-obtain
40.1 'Ἀλλ' ἔτι καὶ νῦν, ὦ πάντων ἀξυνετώτατοι, εἰ μὴ μανθάνετε
but still even now O of-all most-foolish if not you-understand
κακὰ σπεύδοντες, ἢ ἀμαθέστατοί ἐστε ὧν ἐγὼ οἶδα
evil-things pursuing either most-ignorant you-are of-whom I know

Ἑλλήνων, ἢ ἀδικώτατοι, εἰ εἰδότες τολμᾶτε. ἀλλ᾽ ἤτοι
of-Greeks or most-unjust if knowing you-dare but either
μαθόντες γε ἢ μεταγνόντες τὸ τῆς πόλεως ξύμπασι
having-learned at-least or having-changed-your-minds the of-the city for-all
κοινὸν αὔξετε, ἡγησάμενοι τοῦτο μὲν ἂν καὶ ἴσον καὶ πλέον
common increase having-considered this indeed — both equally and more
οἱ ἀγαθοὶ ὑμῶν μετασχεῖν, εἰ δ᾽ ἄλλα βουλήσεσθε, καὶ τοῦ
the good of-you to-share if but other-things you-will-wish even of-the
παντὸς κινδυνεῦσαι στερηθῆναι· καὶ τῶν τοιῶνδε ἀγγελιῶν
whole to-risk to-be-deprived and of-the such reports
ὡς πρὸς αἰσθανομένους καὶ μὴ ἐπιτρέψοντας ἀπαλλάγητε.
as to perceiving and not going-to-allow be-rid
ἡ γὰρ πόλις ἥδε, καὶ εἰ ἔρχονται Ἀθηναῖοι, ἀμυνεῖται 40.2
the for city this even if come Athenians will-repel
αὐτοὺς ἀξίως αὑτῆς, καὶ στρατηγοί εἰσιν ἡμῖν οἳ σκέψονται
them worthily of-itself and generals there-are for-us who will-look-into
αὐτά· καὶ εἰ μή τι αὐτῶν ἀληθές ἐστιν, ὥσπερ οὐκ
these-things and if not any of-them true is as not
οἴομαι, οὐ πρὸς τὰς ὑμετέρας ἀγγελίας καταπλαγεῖσα καὶ
I-think not at the your reports dismayed and
ἑλομένη ὑμᾶς ἄρχοντας αὐθαίρετον δουλείαν ἐπιβαλεῖται,
having-chosen you rulers self-chosen slavery will-take-on
αὐτὴ δ᾽ ἐφ᾽ αὑτῆς σκοποῦσα τούς τε λόγους ἀφ᾽ ὑμῶν
itself but by itself examining the both words from you
ὡς ἔργα δυναμένους κρινεῖ καὶ τὴν ὑπάρχουσαν ἐλευθερίαν
as deeds meaning will-judge and the existing freedom
οὐχὶ ἐκ τοῦ ἀκούειν ἀφαιρεθήσεται, ἐκ δὲ τοῦ ἔργῳ
not from the to-hear will-be-deprived-of from but the in-deed
φυλασσομένη μὴ ἐπιτρέπειν πειράσεται σῴζειν.᾽
guarding not to-permit will-try to-preserve

41.1 τοιαῦτα δὲ Ἀθηναγόρας εἶπεν. τῶν δὲ στρατηγῶν εἷς
such and Athenagoras said of-the and generals one
ἀναστὰς ἄλλον μὲν οὐδένα ἔτι εἴασε παρελθεῖν, αὐτὸς
having-stood-up other indeed no-one still allowed to-come-forward himself
δὲ πρὸς τὰ παρόντα ἔλεξε τοιάδε.
and on the present-matters spoke as-follows

41.2 ‘Διαβολὰς μὲν οὐ σῶφρον οὔτε λέγειν τινὰς ἐς ἀλλήλους
slanders indeed not sensible either to-utter some against each-other
οὔτε τοὺς ἀκούοντας ἀποδέχεσθαι, πρὸς δὲ τὰ ἐσαγγελλόμενα
nor the hearers to-accept to but the things-reported
μᾶλλον ὁρᾶν, ὅπως εἷς τε ἕκαστος καὶ ἡ ξύμπασα πόλις
rather to-look so-that one both each and the whole city
καλῶς τοὺς ἐπιόντας παρασκευασόμεθα ἀμύνεσθαι.
well the attackers we-will-be-ready to-repel

41.3 καὶ ἢν ἄρα μηδὲν δεήσῃ, οὐδεμία βλάβη τοῦ τε τὸ
and if after-all nothing there-be-need no harm the both the
κοινὸν κοσμηθῆναι καὶ ἵπποις καὶ ὅπλοις
state to-be-furnished both with-horses and arms

41.4 καὶ τοῖς ἄλλοις οἷς ὁ πόλεμος ἀγάλλεται (τὴν
and with-the other-things in-which the war glories the
δ’ ἐπιμέλειαν καὶ ἐξέτασιν αὐτῶν ἡμεῖς ἕξομεν), καὶ
and care and inspection of-them we will-have and
τῶν πρὸς τὰς πόλεις διαπομπῶν ἅμα ἔς τε
of-the to the cities missions at-the-same-time for both
κατασκοπὴν καὶ ἤν τι ἄλλο φαίνηται ἐπιτήδειον. τὰ
reconnaissance and if anything else appears suitable the
δὲ καὶ ἐπιμεμελήμεθα ἤδη, καὶ ὅτι ἂν αἰσθώμεθα ἐς
and also we-have-taken-care-of already and whatever — we-perceive to
ὑμᾶς οἴσομεν.’ καὶ οἱ μὲν Συρακόσιοι τοσαῦτα εἰπόντος
you we-will-report and the indeed Syracusans so-much having-spoken
τοῦ στρατηγοῦ διελύθησαν ἐκ τοῦ ξυλλόγου.
the general dispersed from the meeting

The Athenians and their allies, now all at Corcyra, review the fleet and divide it into three squadrons, one under each general, sending three ships ahead to learn which cities will receive them. The armament numbers a hundred and thirty-four triremes and two Rhodian penteconters, five thousand one hundred hoplites, and archers, slingers, and light troops, with grain ships following. In Italy the cities refuse them market or entry, and Rhegium will only keep neutral. At Syracuse clear news of the fleet ends the disbelief, and the city prepares. The scout ships return with news that Egesta holds only thirty talents, its men having fooled the envoys with borrowed silver plate, and the generals take counsel.

οἱ δ᾽ Ἀθηναῖοι ἤδη ἐν τῇ Κερκύρᾳ αὐτοί τε καὶ οἱ 42.1
the and Athenians already at — Corcyra themselves both and the
ξύμμαχοι ἅπαντες ἦσαν. καὶ πρῶτον μὲν ἐπεξέτασιν τοῦ
allies all were and first indeed review of-the
στρατεύματος καὶ ξύνταξιν, ὥσπερ ἔμελλον ὁρμιεῖσθαί τε
army and disposition how they-were-going to-anchor both
καὶ στρατοπεδεύεσθαι, οἱ στρατηγοὶ ἐποιήσαντο, καὶ τρία
and to-encamp the generals made and three
μέρη νείμαντες ἓν ἑκάστῳ ἐκλήρωσαν, ἵνα μήτε ἅμα
parts having-divided one to-each allotted so-that neither together
πλέοντες ἀπορῶσιν ὕδατος καὶ λιμένων καὶ τῶν ἐπιτηδείων
sailing they-lack water and harbors and the supplies
ἐν ταῖς καταγωγαῖς, πρός τε τἆλλα εὐκοσμότεροι καὶ ῥᾴους
at the landings for and the-rest more-orderly and easier
ἄρχειν ὦσι, κατὰ τέλη στρατηγῷ προστεταγμένοι·
to-command they-may-be by divisions to-a-general assigned
ἔπειτα δὲ προύπεμψαν καὶ ἐς τὴν Ἰταλίαν καὶ Σικελίαν 42.2
then and they-sent-ahead also to — Italy and Sicily
τρεῖς ναῦς εἰσομένας αἵτινες σφᾶς τῶν πόλεων δέξονται.
three ships going-to-learn which them of-the cities will-receive

καὶ εἴρητο αὐταῖς προαπαντᾶν, ὅπως ἐπιστάμενοι
and it-had-been-ordered to-them to-meet-in-advance so-that knowing
καταπλέωσιν.
they-might-put-in

43.1 μετὰ δὲ ταῦτα τοσῇδε ἤδη τῇ παρασκευῇ Ἀθηναῖοι ἄραντες
after and these-things with-such now the armament Athenians having-set-out
ἐκ τῆς Κερκύρας ἐς τὴν Σικελίαν ἐπεραιοῦντο, τριήρεσι μὲν
from — Corcyra to — Sicily crossed with-triremes indeed
ταῖς πάσαις τέσσαρσι καὶ τριάκοντα καὶ ἑκατόν, καὶ δυοῖν
the all four and thirty and hundred and two
Ῥοδίοιν πεντηκοντόροιν (τούτων Ἀττικαὶ μὲν ἦσαν ἑκατόν,
Rhodian fifty-oared of-these Attic indeed were hundred
ὧν αἱ μὲν ἑξήκοντα ταχεῖαι, αἱ δ' ἄλλαι στρατιώτιδες,
of-which the-ones indeed sixty fast the and others troop-ships
τὸ δὲ ἄλλο ναυτικὸν Χίων καὶ τῶν ἄλλων ξυμμάχων),
the and other navy of-Chians and of-the other allies
ὁπλίταις δὲ τοῖς ξύμπασιν ἑκατὸν καὶ πεντακισχιλίοις
with-hoplites and the all hundred and five-thousand
(καὶ τούτων Ἀθηναίων μὲν αὐτῶν ἦσαν πεντακόσιοι μὲν
and of-these Athenians indeed themselves were five-hundred indeed
καὶ χίλιοι ἐκ καταλόγου, ἑπτακόσιοι δὲ θῆτες ἐπιβάται
and thousand from muster-roll seven-hundred and thetes marines
τῶν νεῶν, ξύμμαχοι δὲ οἱ ἄλλοι ξυνεστράτευον, οἱ
of-the ships allies and the others campaigned-with the-ones
μὲν τῶν ὑπηκόων, οἱ δ' Ἀργείων πεντακόσιοι καὶ
indeed of-the subjects the-others and of-Argives five-hundred and
Μαντινέων καὶ μισθοφόρων πεντήκοντα καὶ διακόσιοι),
of-Mantineans and mercenaries fifty and two-hundred
τοξόταις δὲ τοῖς πᾶσιν ὀγδοήκοντα καὶ τετρακοσίοις (καὶ
with-archers and the all eighty and four-hundred and
τούτων Κρῆτες οἱ ὀγδοήκοντα ἦσαν) καὶ σφενδονήταις
of-these Cretans the eighty were and with-slingers

Ῥοδίων ἑπτακοσίοις, καὶ Μεγαρεῦσι ψιλοῖς φυγάσιν εἴκοσι
of-Rhodians seven-hundred and Megarian light-armed exiles twenty
καὶ ἑκατόν, καὶ ἱππαγωγῷ μιᾷ τριάκοντα ἀγούσῃ ἱππέας.
and hundred and horse-transport one thirty carrying cavalry
τοσαύτη ἡ πρώτη παρασκευὴ πρὸς τὸν πόλεμον διέπλει. 44.1
so-great the first armament for the war sailed-across
τούτοις δὲ τὰ ἐπιτήδεια ἄγουσαι ὁλκάδες μὲν τριάκοντα
for-these and the supplies carrying merchant-ships indeed thirty
σιταγωγοί, καὶ τοὺς σιτοποιοὺς ἔχουσαι καὶ λιθολόγους
grain-carriers and the bakers having and stonemasons
καὶ τέκτονας καὶ ὅσα ἐς τειχισμὸν ἐργαλεῖα, πλοῖα δὲ
and carpenters and whatever for wall-building tools boats and
ἑκατόν, ἃ ἐξ ἀνάγκης μετὰ τῶν ὁλκάδων ξυνέπλει·
hundred which by necessity with the merchant-ships sailed-along
πολλὰ δὲ καὶ ἄλλα πλοῖα καὶ ὁλκάδες ἑκούσιοι
many and also other boats and merchant-ships voluntary
ξυνηκολούθουν τῇ στρατιᾷ ἐμπορίας ἕνεκα· ἃ τότε
followed the army of-trade for-the-sake which then
πάντα ἐκ τῆς Κερκύρας ξυνδιέβαλλε τὸν Ἰόνιον κόλπον.
all from — Corcyra crossed-together the Ionian gulf
καὶ προσβαλοῦσα ἡ πᾶσα παρασκευὴ πρός τε ἄκραν 44.2
and having-touched the whole armament at both cape
Ἰαπυγίαν καὶ πρὸς Τάραντα καὶ ὡς ἕκαστοι ηὐπόρησαν,
Iapygia and at Taras and as each found-means
παρεκομίζοντο τὴν Ἰταλίαν, τῶν μὲν πόλεων οὐ
coasted-along — Italy the indeed cities not
δεχομένων αὐτοὺς ἀγορᾷ οὐδὲ ἄστει, ὕδατι δὲ καὶ
receiving them with-market nor town with-water but and
ὅρμῳ, Τάραντος δὲ καὶ Λοκρῶν οὐδὲ τούτοις, ἕως
anchorage Taras and and Locrians not-even with-these until
ἀφίκοντο ἐς Ῥήγιον τῆς Ἰταλίας ἀκρωτήριον.
they-arrived at Rhegium — of-Italy promontory

44.3 καὶ ἐνταῦθα ἤδη ἠθροίζοντο, καὶ ἔξω τῆς πόλεως, ὡς
and there now they-gathered and outside the city since
αὐτοὺς ἔσω οὐκ ἐδέχοντο, στρατόπεδόν τε κατεσκευάσαντο
them inside not they-received camp both they-set-up
ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ, οὗ αὐτοῖς καὶ ἀγορὰν
in the — of-Artemis precinct where for-them also market
παρεῖχον, καὶ τὰς ναῦς ἀνελκύσαντες ἡσύχασαν. καὶ πρὸς
they-provided and the ships having-hauled-up they-rested and with
τοὺς Ῥηγίνους λόγους ἐποιήσαντο, ἀξιοῦντες Χαλκιδέας
the Rhegians talks made claiming Chalcidians
ὄντας Χαλκιδεῦσιν οὖσι Λεοντίνοις βοηθεῖν· οἱ δὲ οὐδὲ
being to-Chalcidians being Leontines to-help they but not
μεθ' ἑτέρων ἔφασαν ἔσεσθαι, ἀλλ' ὅτι ἂν καὶ τοῖς
with either-side said to-be but whatever — also to-the
ἄλλοις Ἰταλιώταις ξυνδοκῇ, τοῦτο ποιήσειν.
other Italiots seems-good this to-do

44.4 οἱ δὲ πρὸς τὰ ἐν τῇ Σικελίᾳ πράγματα ἐσκόπουν ὅτῳ
they and with-regard-to the in — Sicily affairs considered in-what
τρόπῳ ἄριστα προσοίσονται· καὶ τὰς πρόπλους ναῦς ἐκ τῆς
way best they-would-deal and the advance ships from —
Ἐγέστης ἅμα προσέμενον, βουλόμενοι εἰδέναι περὶ τῶν
Egesta at-the-same-time awaited wishing to-know about the
χρημάτων εἰ ἔστιν ἃ ἔλεγον ἐν ταῖς Ἀθήναις οἱ ἄγγελοι.
money whether it-exists which said in — Athens the messengers

45.1 τοῖς δὲ Συρακοσίοις ἐν τούτῳ πολλαχόθεν τε ἤδη καὶ ἀπὸ
to-the and Syracusans in this from-many-sides both now and from
τῶν κατασκόπων σαφῆ ἠγγέλλετο ὅτι ἐν Ῥηγίῳ αἱ νῆές
the scouts clear-news was-reported that at Rhegium the ships
εἰσι, καὶ ὡς ἐπὶ τούτοις παρεσκευάζοντο πάσῃ τῇ γνώμῃ καὶ
are and as for these-things they-prepared with-all the mind and
οὐκέτι ἠπίστουν. καὶ ἔς τε τοὺς Σικελοὺς περιέπεμπον, ἔνθα
no-longer disbelieved and to both the Sicels they-sent-round here

μὲν φύλακας, πρὸς δὲ τοὺς πρέσβεις, καὶ ἐς τὰ περιπόλια
indeed guards to and the-others envoys and to the guard-posts
τὰ ἐν τῇ χώρᾳ φρουρὰς ἐσεκόμιζον, τά τε ἐν τῇ πόλει
the in the country garrisons they-brought-in the both in the city
ὅπλων ἐξετάσει καὶ ἵππων ἐσκόπουν εἰ ἐντελῆ ἐστί, καὶ
of-arms by-inspection and of-horses they-examined whether complete it-is and
τἆλλα ὡς ἐπὶ ταχεῖ πολέμῳ καὶ ὅσον οὐ παρόντι καθίσταντο.
the-rest as for swift war and all-but not present they-set-in-order
αἱ δ' ἐκ τῆς Ἐγέστης τρεῖς νῆες αἱ πρόπλοι 46.1
the and from — Egesta three ships the advance
παραγίγνονται τοῖς Ἀθηναίοις ἐς τὸ Ῥήγιον, ἀγγέλλουσαι
come to-the Athenians at — Rhegium reporting
ὅτι τἆλλα μὲν οὐκ ἔστι χρήματα ἃ ὑπέσχοντο,
that the-rest indeed not is money which they-promised
τριάκοντα δὲ τάλαντα μόνα φαίνεται.
thirty but talents only appear
καὶ οἱ στρατηγοὶ εὐθὺς ἐν ἀθυμίᾳ ἦσαν, ὅτι αὐτοῖς τοῦτό 46.2
and the generals at-once in dismay were because for-them this
τε πρῶτον ἀντεκεκρούκει καὶ οἱ Ῥηγῖνοι οὐκ ἐθελήσαντες
both first had-gone-against and the Rhegians not having-been-willing
ξυστρατεύειν, οὓς πρῶτον ἤρξαντο πείθειν καὶ εἰκὸς
to-join-the-campaign whom first they-began to-persuade and likely
ἦν μάλιστα, Λεοντίνων τε ξυγγενεῖς ὄντας καὶ σφίσιν
it-was most of-Leontines both kinsmen being and to-them
αἰεὶ ἐπιτηδείους. καὶ τῷ μὲν Νικίᾳ προσδεχομένῳ ἦν τὰ
always friendly and — indeed to-Nicias expecting was the
παρὰ τῶν Ἐγεσταίων, τοῖν δὲ ἑτέροιν καὶ ἀλογώτερα.
from the Egestaeans to-the but other-two also more-unaccountable
οἱ δὲ Ἐγεσταῖοι τοιόνδε τι ἐξετεχνήσαντο τότε ὅτε 46.3
the and Egestaeans such something contrived then when
οἱ πρῶτοι πρέσβεις τῶν Ἀθηναίων ἦλθον αὐτοῖς ἐς τὴν
the first envoys of-the Athenians came to-them for the

κατασκοπὴν τῶν χρημάτων. ἔς τε τὸ ἐν Ἔρυκι ἱερὸν
inspection of-the money into both the in Eryx temple
τῆς Ἀφροδίτης ἀγαγόντες αὐτοὺς ἐπέδειξαν τὰ ἀναθήματα,
— of-Aphrodite having-led them they-showed the offerings
φιάλας τε καὶ οἰνοχόας καὶ θυμιατήρια καὶ ἄλλην
bowls both and wine-jugs and censers and other
κατασκευὴν οὐκ ὀλίγην, ἃ ὄντα ἀργυρᾶ πολλῷ πλείω
furniture not little which being silver much greater
τὴν ὄψιν ἀπ᾽ ὀλίγης δυνάμεως χρημάτων παρείχετο· καὶ
the show from little value of-money presented and
ἰδίᾳ ξενίσεις ποιούμενοι τῶν τριηριτῶν τά τε ἐξ αὐτῆς
privately entertainments making of-the trireme-crews the both from the-very
Ἐγέστης ἐκπώματα καὶ χρυσᾶ καὶ ἀργυρᾶ ξυλλέξαντες καὶ
Egesta cups both gold and silver having-collected and
τὰ ἐκ τῶν ἐγγὺς πόλεων καὶ Φοινικικῶν καὶ Ἑλληνίδων
the from the nearby cities both Phoenician and Greek
αἰτησάμενοι ἐσέφερον ἐς τὰς ἑστιάσεις ὡς οἰκεῖα ἕκαστοι.
having-borrowed they-brought to the banquets as own each
46.4 καὶ πάντων ὡς ἐπὶ τὸ πολὺ τοῖς αὐτοῖς χρωμένων καὶ
and all as for the most the same using and
πανταχοῦ πολλῶν φαινομένων μεγάλην τὴν ἔκπληξιν τοῖς
everywhere many appearing great the amazement to-the
ἐκ τῶν τριήρων Ἀθηναίοις παρεῖχε, καὶ ἀφικόμενοι ἐς
from the triremes Athenians caused and having-arrived at
τὰς Ἀθήνας διεθρόησαν ὡς χρήματα πολλὰ ἴδοιεν.
— Athens spread-word that money much they-had-seen
46.5 καὶ οἱ μὲν αὐτοί τε ἀπατηθέντες καὶ τοὺς ἄλλους τότε
and they indeed themselves both deceived and the others then
πείσαντες, ἐπειδὴ διῆλθεν ὁ λόγος ὅτι οὐκ εἴη ἐν τῇ Ἐγέστῃ
having-persuaded when spread the word that not was in — Egesta

τὰ χρήματα, πολλὴν τὴν αἰτίαν εἶχον ὑπὸ τῶν στρατιωτῶν·
the money much the blame had from the soldiers
οἱ δὲ στρατηγοὶ πρὸς τὰ παρόντα ἐβουλεύοντο.
the and generals on the present-matters deliberated

XII · THE GENERALS' THREE PLANS

Nicias wants to sail for Selinus, settle its quarrel with Egesta, show the fleet to the cities, and go home. Alcibiades wants to win over the cities by diplomacy, beginning with Messene, before attacking Syracuse and Selinus. Lamachus wants to strike Syracuse at once, while it is unready and afraid, and to base the fleet at Megara. He then votes with Alcibiades. Alcibiades sails to Messene and is refused. Naxos receives them, but Catana does not. From the Terias they sail toward Syracuse in column and send ten ships ahead into the Great Harbor, which proclaim that Athens has come to restore Leontini and reconnoiter the city, harbors, and country; then they return to Catana.

καὶ Νικίου μὲν ἦν γνώμη πλεῖν ἐπὶ Σελινοῦντα πάσῃ 47.1
and of-Nicias indeed was opinion to-sail against Selinus with-all
τῇ στρατιᾷ, ἐφ' ὅπερ μάλιστα ἐπέμφθησαν, καὶ ἢν
the force against which-very chiefly they-were-sent and if
μὲν παρέχωσι χρήματα παντὶ τῷ στρατεύματι Ἐγεσταῖοι,
indeed provide money for-all the army Egestaeans
πρὸς ταῦτα βουλεύεσθαι, εἰ δὲ μή, ταῖς ἑξήκοντα
with-regard-to these-things to-deliberate if but not for-the sixty
ναυσίν, ὅσασπερ ᾐτήσαντο, ἀξιοῦν διδόναι αὐτοὺς τροφήν,
ships as-many-as they-had-asked to-require to-give them maintenance
καὶ παραμείναντας Σελινουντίους ἢ βίᾳ ἢ ξυμβάσει
and having-stayed Selinuntians either by-force or by-agreement
διαλλάξαι αὐτοῖς, καὶ οὕτω παραπλεύσαντας τὰς ἄλλας
to-reconcile with-them and so having-coasted-past the other
πόλεις καὶ ἐπιδείξαντας μὲν τὴν δύναμιν τῆς Ἀθηναίων
cities and having-shown indeed the power of-the of-Athenians

πόλεως, δηλώσαντας δὲ τὴν ἐς τοὺς φίλους καὶ
city having-displayed and the toward the friends and
ξυμμάχους προθυμίαν, ἀποπλεῖν οἴκαδε, ἢν μή τι δι᾽
allies zeal to-sail-away home if not anything in
ὀλίγου καὶ ἀπὸ τοῦ ἀδοκήτου ἢ Λεοντίνους οἷοί τε ὦσιν
short and from the unexpected either Leontines able — they-be
ὠφελῆσαι ἢ τῶν ἄλλων τινὰ πόλεων προσαγαγέσθαι, καὶ
to-help or of-the other some cities to-win-over and
τῇ πόλει δαπανῶντας τὰ οἰκεῖα μὴ κινδυνεύειν.
with-the city spending the own not to-run-risks

48.1 Ἀλκιβιάδης δὲ οὐκ ἔφη χρῆναι τοσαύτῃ δυνάμει
Alcibiades but not said it-was-necessary with-so-great force
ἐκπλεύσαντας αἰσχρῶς καὶ ἀπράκτους ἀπελθεῖν, ἀλλ᾽
having-sailed-out shamefully and unsuccessful to-go-away but
ἔς τε τὰς πόλεις ἐπικηρυκεύεσθαι πλὴν Σελινοῦντος
to both the cities to-send-heralds except Selinus
καὶ Συρακουσῶν τὰς ἄλλας, καὶ πειρᾶσθαι καὶ τοὺς
and Syracuse the others and to-try also the
Σικελοὺς τοὺς μὲν ἀφιστάναι ἀπὸ τῶν Συρακοσίων,
Sicels the-ones indeed to-detach from the Syracusans
τοὺς δὲ φίλους ποιεῖσθαι, ἵνα σῖτον καὶ στρατιὰν
the-others and friends to-make so-that grain and troops
ἔχωσι, πρῶτον δὲ πείθειν Μεσσηνίους (ἐν πόρῳ γὰρ
they-might-have first and to-persuade Messenians in passage for
μάλιστα καὶ προσβολῇ εἶναι αὐτοὺς τῆς Σικελίας, καὶ
most and approach to-be them — of-Sicily and
λιμένα καὶ ἐφόρμησιν τῇ στρατιᾷ ἱκανωτάτην ἔσεσθαι)·
harbor and base for-the force most-adequate to-be
προσαγαγομένους δὲ τὰς πόλεις, εἰδότας μεθ᾽ ὧν τις
having-won-over and the cities knowing with whom one
πολεμήσει, οὕτως ἤδη Συρακούσαις καὶ Σελινοῦντι
will-fight thus already Syracuse and Selinus

ἐπιχειρεῖν, ἢν μὴ οἱ μὲν Ἐγεσταίοις ξυμβαίνωσιν,
to-attack if not the-ones indeed with-Egestaeans come-to-terms
οἱ δὲ Λεοντίνους ἐῶσι κατοικίζειν.
the-others and Leontines allow to-resettle
Λάμαχος δὲ ἄντικρυς ἔφη χρῆναι πλεῖν ἐπὶ Συρακούσας 49.1
Lamachus but outright said it-was-necessary to-sail against Syracuse
καὶ πρὸς τῇ πόλει ὡς τάχιστα τὴν μάχην ποιεῖσθαι,
and at the city as quickly-as-possible the battle to-make
ἕως ἔτι ἀπαράσκευοί τε εἰσὶ καὶ μάλιστα ἐκπεπληγμένοι.
while still unprepared both they-are and most dismayed
τὸ γὰρ πρῶτον πᾶν στράτευμα δεινότατον εἶναι· ἢν δὲ 49.2
the for first every army most-terrible to-be if but
χρονίσῃ πρὶν ἐς ὄψιν ἐλθεῖν, τῇ γνώμῃ ἀναθαρσοῦντας
it-delays before into sight to-come in-the mind regaining-courage
ἀνθρώπους καὶ τῇ ὄψει καταφρονεῖν μᾶλλον. αἰφνίδιοι
men also at-the sight to-despise rather suddenly
δὲ ἢν προσπέσωσιν, ἕως ἔτι περιδεεῖς προσδέχονται,
but if they-should-attack while still in-dread they-await
μάλιστ᾽ ἂν σφεῖς περιγενέσθαι καὶ κατὰ πάντα ἂν αὐτοὺς
most — they to-prevail and in all — them
ἐκφοβῆσαι, τῇ τε ὄψει (πλεῖστοι γὰρ ἂν νῦν φανῆναι)
to-terrify by-the both sight most-numerous for — now to-appear
καὶ τῇ προσδοκίᾳ ὧν πείσονται, μάλιστα δ᾽ ἂν τῷ
and by-the expectation of-what they-will-suffer most and — by-the
αὐτίκα κινδύνῳ τῆς μάχης.
immediate danger of-the battle
εἰκὸς δὲ εἶναι καὶ ἐν τοῖς ἀγροῖς πολλοὺς ἀποληφθῆναι 49.3
likely and to-be also in the fields many to-be-cut-off
ἔξω διὰ τὸ ἀπιστεῖν σφᾶς μὴ ἥξειν, καὶ ἐσκομιζομένων
outside because-of the to-disbelieve them not to-come and carrying-in

αὐτῶν τὴν στρατιὰν οὐκ ἀπορήσειν χρημάτων, ἢν πρὸς
they the army not to-lack money if before
τῇ πόλει κρατοῦσα καθέζηται.
the city victorious it-encamps

49.4 τούς τε ἄλλους Σικελιώτας οὕτως ἤδη μᾶλλον καὶ ἐκείνοις
the both other Sicilian-Greeks thus now rather also with-them
οὐ ξυμμαχήσειν καὶ σφίσι προσιέναι καὶ οὐ διαμελλήσειν
not to-ally and to-them to-come-over and not to-delay
περισκοποῦντας ὁπότεροι κρατήσουσιν. ναύσταθμον δὲ
looking-round which-side will-win naval-base and
ἐπαναχωρήσαντας καὶ ἐφορμηθέντας Μέγαρα ἔφη
having-withdrawn and having-taken-station Megara he-said
χρῆναι ποιεῖσθαι, ἃ ἦν ἐρῆμα, ἀπέχοντα Συρακουσῶν
it-was-necessary to-make which was deserted distant from-Syracuse
οὔτε πλοῦν πολὺν οὔτε ὁδόν.
neither voyage long nor road

50.1 Λάμαχος μὲν ταῦτα εἰπὼν ὅμως προσέθετο καὶ
Lamachus indeed these-things having-said nevertheless gave-adherence also
αὐτὸς τῇ Ἀλκιβιάδου γνώμῃ. μετὰ δὲ τοῦτο Ἀλκιβιάδης
himself to-the of-Alcibiades opinion after and this Alcibiades
τῇ αὑτοῦ νηὶ διαπλεύσας ἐς Μεσσήνην καὶ λόγους
in-the his-own ship having-sailed-across to Messene and talks
ποιησάμενος περὶ ξυμμαχίας πρὸς αὐτούς, ὡς οὐκ ἔπειθεν,
having-made about alliance with them when not he-persuaded
ἀλλ᾽ ἀπεκρίναντο πόλει μὲν ἂν οὐ δέξασθαι, ἀγορὰν δ᾽
but they-answered in-city indeed — not to-receive market but
ἔξω παρέξειν, ἀπέπλει ἐς τὸ Ῥήγιον.
outside to-provide sailed-away to — Rhegium

50.2 καὶ εὐθὺς ξυμπληρώσαντες ἑξήκοντα ναῦς ἐκ πασῶν
and at-once having-manned sixty ships from all
οἱ στρατηγοὶ καὶ τὰ ἐπιτήδεια λαβόντες παρέπλεον ἐς
the generals and the supplies having-taken coasted to

Νάξον, τὴν ἄλλην στρατιὰν ἐν Ῥηγίῳ καταλιπόντες καὶ
Naxos the other force at Rhegium having-left and
ἕνα σφῶν αὐτῶν.
one of-them selves
Ναξίων δὲ δεξαμένων τῇ πόλει παρέπλεον ἐς Κατάνην. 50.3
Naxians and having-received in-the city they-coasted to Catana
καὶ ὡς αὐτοὺς οἱ Καταναῖοι οὐκ ἐδέχοντο (ἐνῆσαν γὰρ
and as them the Catanaeans not received there-were-inside for
αὐτόθι ἄνδρες τὰ Συρακοσίων βουλόμενοι),
there men the of-Syracusans wishing
ἐκομίσθησαν ἐπὶ τὸν Τηρίαν ποταμόν, καὶ αὐλισάμενοι 50.4
they-went to — Terias river and having-camped
τῇ ὑστεραίᾳ ἐπὶ Συρακούσας ἔπλεον ἐπὶ κέρως ἔχοντες
on-the next-day toward Syracuse sailed in column having
τὰς ἄλλας ναῦς· δέκα δὲ τῶν νεῶν προύπεμψαν ἐς τὸν
the other ships ten but of-the ships they-sent-ahead into the
μέγαν λιμένα πλεῦσαί τε καὶ κατασκέψασθαι εἴ τι
great harbor to-sail both and to-reconnoiter whether any
ναυτικόν ἐστι καθειλκυσμένον, καὶ κηρῦξαι ἀπὸ τῶν νεῶν
navy is launched and to-proclaim from the ships
προσπλεύσαντας ὅτι Ἀθηναῖοι ἥκουσι Λεοντίνους ἐς τὴν
having-sailed-up that Athenians have-come Leontines to the
ἑαυτῶν κατοικιοῦντες κατὰ ξυμμαχίαν καὶ ξυγγένειαν· τοὺς
their-own going-to-restore by alliance and kinship the
οὖν ὄντας ἐν Συρακούσαις Λεοντίνων ὡς παρὰ φίλους
then being in Syracuse of-Leontines as to friends
καὶ εὐεργέτας Ἀθηναίους ἀδεῶς ἀπιέναι.
and benefactors Athenians without-fear to-go-away

50.5 ἐπεὶ δ' ἐκηρύχθη καὶ κατεσκέψαντο τήν τε πόλιν καὶ
when and it-was-proclaimed and they-had-reconnoitered the both city and
τοὺς λιμένας καὶ τὰ περὶ τὴν χώραν ἐξ ἧς αὐτοῖς
the harbors and the about the country from which for-them
ὁρμωμένοις πολεμητέα ἦν, ἀπέπλευσαν πάλιν ἐς Κατάνην.
setting-out war-was-to-be-made was they-sailed-away back to Catana

XIII · CATANA JOINS ATHENS

While the generals address the Catanaean assembly, Athenian soldiers break down a postern gate and come into the market. The friends of Syracuse flee in fear, and Catana votes an alliance and receives the army. The Athenians bring the whole force there from Rhegium. Hearing that Camarina might join them and that Syracuse is manning a fleet, they sail first to Syracuse, find no fleet being manned, and go on to Camarina, which will receive only a single ship, as its oaths require. On the way back they land on Syracusan territory and plunder it, and Syracusan cavalry kill some of the scattered light troops. The fleet returns to Catana.

51.1 καὶ ἐκκλησίας γενομένης τὴν μὲν στρατιὰν οὐκ ἐδέχοντο
and assembly having-been-held the indeed army not received
οἱ Καταναῖοι, τοὺς δὲ στρατηγοὺς ἐσελθόντας ἐκέλευον, εἴ
the Catanaeans the but generals having-entered they-bade if
τι βούλονται, εἰπεῖν. καὶ λέγοντος τοῦ Ἀλκιβιάδου, καὶ
anything they-wish to-say and speaking — Alcibiades and
τῶν ἐν τῇ πόλει πρὸς τὴν ἐκκλησίαν τετραμμένων, οἱ
those in the city to the assembly having-turned the
στρατιῶται πυλίδα τινὰ ἐνῳκοδομημένην κακῶς ἔλαθον
soldiers postern a built-in badly escaped-notice
διελόντες, καὶ ἐσελθόντες ἠγόραζον ἐς τὴν πόλιν.
having-broken-down and having-entered were-marketing in the city

τῶν δὲ Καταναίων οἱ μὲν τὰ τῶν Συρακοσίων 51.2
of-the and Catanaeans the-ones indeed the of-the Syracusans
φρονοῦντες, ὡς εἶδον τὸ στράτευμα ἔνδον, εὐθὺς περιδεεῖς
favoring when they-saw the army inside at-once terrified
γενόμενοι ὑπεξῆλθον οὐ πολλοί τινες, οἱ δὲ ἄλλοι
having-become slipped-out not many some the and others
ἐψηφίσαντό τε ξυμμαχίαν τοῖς Ἀθηναίοις καὶ τὸ ἄλλο
voted both alliance with-the Athenians and the other
στράτευμα ἐκέλευον ἐκ Ῥηγίου κομίζειν.
army bade from Rhegium to-bring
μετὰ δὲ τοῦτο διαπλεύσαντες οἱ Ἀθηναῖοι ἐς τὸ Ῥήγιον, 51.3
after and this having-sailed-across the Athenians to — Rhegium
πάσῃ ἤδη τῇ στρατιᾷ ἄραντες ἐς τὴν Κατάνην, ἐπειδὴ
with-all now the force having-set-out to — Catana when
ἀφίκοντο, κατεσκευάζοντο τὸ στρατόπεδον.
they-arrived set-up the camp
ἐσηγγέλλετο δὲ αὐτοῖς ἔκ τε Καμαρίνης ὡς, εἰ ἔλθοιεν, 52.1
it-was-reported and to-them from both Camarina that if they-should-come
προσχωροῖεν ἄν, καὶ ὅτι Συρακόσιοι πληροῦσι ναυτικόν.
they-would-come-over — and that Syracusans are-manning a-navy
ἁπάσῃ οὖν τῇ στρατιᾷ παρέπλευσαν πρῶτον μὲν ἐπὶ
with-all then the force they-coasted first indeed to
Συρακούσας· καὶ ὡς οὐδὲν ηὗρον ναυτικὸν πληρούμενον,
Syracuse and when no they-found navy being-manned
παρεκομίζοντο αὖθις ἐπὶ Καμαρίνης, καὶ σχόντες ἐς τὸν
they-coasted again toward Camarina and having-put-in to the
αἰγιαλὸν ἐπεκηρυκεύοντο. οἱ δ' οὐκ ἐδέχοντο, λέγοντες
beach sent-a-herald they but not received saying
σφίσι τὰ ὅρκια εἶναι μιᾷ νηὶ καταπλεόντων Ἀθηναίων
for-them the oaths to-be with-one ship putting-in Athenians
δέχεσθαι, ἢν μὴ αὐτοὶ πλείους μεταπέμπωσιν.
to-receive if not themselves more send-for

52.2 ἄπρακτοι δὲ γενόμενοι ἀπέπλεον· καὶ ἀποβάντες κατά
unsuccessful and having-been they-sailed-away and having-landed at
τι τῆς Συρακοσίας καὶ ἁρπαγὴν ποιησάμενοι, καὶ τῶν
some-point — of-Syracusan-land and plunder having-made and the
Συρακοσίων ἱππέων βοηθησάντων καὶ τῶν ψιλῶν τινὰς
Syracusan cavalry having-come-to-help and of-the light-armed some
ἐσκεδασμένους διαφθειράντων, ἀπεκομίσθησαν ἐς Κατάνην.
scattered having-destroyed returned to Catana

XIV · THE SALAMINIA

At Catana they find the state trireme Salaminia, come from Athens to bring Alcibiades home for trial, with others of the army charged with profaning the Mysteries or mutilating the Hermae. Since the fleet sailed, the Athenians have pursued the inquiry, believing every informer, good or bad, and arresting worthy citizens on the word of rogues. The people know by report how harsh the tyranny of Pisistratus and his sons became at its end, and that it was ended by the Spartans, not by themselves or Harmodius. They are always afraid and suspicious of everything.

53.1 καὶ καταλαμβάνουσι τὴν Σαλαμινίαν ναῦν ἐκ τῶν Ἀθηνῶν
and they-find the Salaminia ship from — Athens
ἥκουσαν ἐπί τε Ἀλκιβιάδην ὡς κελεύσοντας ἀποπλεῖν ἐς
having-come for both Alcibiades as going-to-order to-sail-back for
ἀπολογίαν ὧν ἡ πόλις ἐνεκάλει, καὶ ἐπ᾽ ἄλλους τινὰς
defense of-what the city charged and for others some
τῶν στρατιωτῶν τῶν μετ᾽ αὐτοῦ μεμηνυμένων περὶ τῶν
of-the soldiers the with him informed-against about the
μυστηρίων ὡς ἀσεβούντων, τῶν δὲ καὶ περὶ τῶν Ἑρμῶν.
mysteries as committing-impiety others and also about the Hermae

οἱ γὰρ Ἀθηναῖοι, ἐπειδὴ ἡ στρατιὰ ἀπέπλευσεν, οὐδὲν ἧσσον 53.2
the for Athenians after the force sailed nothing less
ζήτησιν ἐποιοῦντο τῶν περὶ τὰ μυστήρια καὶ τῶν περὶ τοὺς
inquiry made into-the about the mysteries and the about the
Ἑρμᾶς δρασθέντων, καὶ οὐ δοκιμάζοντες τοὺς μηνυτάς, ἀλλὰ
Hermae things-done and not testing the informers but
πάντα ὑπόπτως ἀποδεχόμενοι, διὰ πονηρῶν ἀνθρώπων
all suspiciously accepting because-of of-base men
πίστιν πάνυ χρηστοὺς τῶν πολιτῶν ξυλλαμβάνοντες
credit quite worthy of-the citizens arresting
κατέδουν, χρησιμώτερον ἡγούμενοι εἶναι βασανίσαι τὸ
imprisoned more-useful thinking to-be to-examine the
πρᾶγμα καὶ εὑρεῖν ἢ διὰ μηνυτοῦ πονηρίαν τινὰ καὶ
matter and to-discover than because-of informer's baseness anyone even
χρηστὸν δοκοῦντα εἶναι αἰτιαθέντα ἀνέλεγκτον διαφυγεῖν.
worthy seeming to-be accused unexamined to-escape
ἐπιστάμενος γὰρ ὁ δῆμος ἀκοῇ τὴν Πεισιστράτου καὶ 53.3
knowing for the people by-hearsay the of-Pisistratus and
τῶν παίδων τυραννίδα χαλεπὴν τελευτῶσαν γενομένην
of-the sons tyranny harsh at-the-end having-become
καὶ προσέτι οὐδ' ὑφ' ἑαυτῶν καὶ Ἁρμοδίου καταλυθεῖσαν,
and besides not by themselves and Harmodius overthrown
ἀλλ' ὑπὸ τῶν Λακεδαιμονίων, ἐφοβεῖτο αἰεὶ καὶ πάντα
but by the Lacedaemonians was-afraid always and all
ὑπόπτως ἐλάμβανεν.
suspiciously took

Thucydides tells the story at length to correct the Athenians' own account: Hippias, not Hipparchus, succeeded Pisistratus as the eldest son, as the altar inscription and the Acropolis stele show. The deed of Aristogeiton and Harmodius was born of a love affair. Hipparchus courts the young Harmodius and is refused, and in revenge he insults Harmodius' sister by turning her away from a procession. The lovers plot to strike at the Panathenaea and, thinking themselves betrayed, kill Hipparchus at the Leocorium. Harmodius is cut down on the spot, and Aristogeiton is caught later. Hippias, now more fearful, rules more harshly, until the Spartans and the Alcmaeonids expel him, and he marches with the Persians to Marathon as an old man.

54.1 τὸ γὰρ Ἀριστογείτονος καὶ Ἁρμοδίου τόλμημα δι'
the for of-Aristogeiton and Harmodius daring-deed because-of
ἐρωτικὴν ξυντυχίαν ἐπεχειρήθη, ἣν ἐγὼ ἐπὶ πλέον
amorous chance was-undertaken which I at more-length
διηγησάμενος ἀποφανῶ οὔτε τοὺς ἄλλους οὔτε αὐτοὺς
having-narrated will-show neither the others nor themselves
Ἀθηναίους περὶ τῶν σφετέρων τυράννων οὐδὲ περὶ τοῦ
Athenians about the their-own tyrants nor about the
γενομένου ἀκριβὲς οὐδὲν λέγοντας.
event accurate nothing saying

54.2 Πεισιστράτου γὰρ γηραιοῦ τελευτήσαντος ἐν τῇ τυραννίδι
Pisistratus for aged having-died in the tyranny
οὐχ Ἵππαρχος, ὥσπερ οἱ πολλοὶ οἴονται, ἀλλ' Ἱππίας
not Hipparchus as the many think but Hippias
πρεσβύτατος ὢν ἔσχε τὴν ἀρχήν. γενομένου δὲ Ἁρμοδίου
eldest being held the rule being and Harmodius
ὥρᾳ ἡλικίας λαμπροῦ Ἀριστογείτων ἀνὴρ τῶν ἀστῶν,
in-bloom of-youth splendid Aristogeiton man of-the townsmen
μέσος πολίτης, ἐραστὴς ὢν εἶχεν αὐτόν.
middling citizen lover being had him

πειραθεὶς δὲ ὁ Ἁρμόδιος ὑπὸ Ἱππάρχου τοῦ 54.3
having-been-solicited and — Harmodius by Hipparchus the
Πεισιστράτου καὶ οὐ πεισθεὶς καταγορεύει τῷ Ἀριστογείτονι.
son-of-Pisistratus and not having-yielded tells — to-Aristogeiton
ὁ δὲ ἐρωτικῶς περιαλγήσας καὶ φοβηθεὶς τὴν Ἱππάρχου
he and as-a-lover deeply-pained and having-feared the of-Hipparchus
δύναμιν μὴ βίᾳ προσαγάγηται αὐτόν, ἐπιβουλεύει εὐθὺς ὡς
power lest by-force he-might-win-over him plots at-once as
ἀπὸ τῆς ὑπαρχούσης ἀξιώσεως κατάλυσιν τῇ τυραννίδι.
from the existing standing overthrow for-the tyranny
καὶ ἐν τούτῳ ὁ Ἵππαρχος ὡς αὖθις πειράσας οὐδὲν 54.4
and in this — Hipparchus when again having-tried no
μᾶλλον ἔπειθε τὸν Ἁρμόδιον, βίαιον μὲν οὐδὲν ἐβούλετο
more persuaded — Harmodius violent indeed nothing wished
δρᾶν, ἐν τρόπῳ δέ τινι ἀφανεῖ ὡς οὐ διὰ τοῦτο δὴ
to-do in way but some obscure as not because-of this indeed
παρεσκευάζετο προπηλακιῶν αὐτόν.
he-was-preparing going-to-insult him
οὐδὲ γὰρ τὴν ἄλλην ἀρχὴν ἐπαχθὴς ἦν ἐς τοὺς 54.5
nor for the other rule oppressive was toward the
πολλούς, ἀλλ᾽ ἀνεπιφθόνως κατεστήσατο· καὶ ἐπετήδευσαν
many but inoffensively he-had-established-it and practiced
ἐπὶ πλεῖστον δὴ τύραννοι οὗτοι ἀρετὴν καὶ ξύνεσιν, καὶ
for most indeed tyrants these virtue and intelligence and
Ἀθηναίους εἰκοστὴν μόνον πρασσόμενοι τῶν γιγνομένων
Athenians a-twentieth only exacting of-the produce
τήν τε πόλιν αὐτῶν καλῶς διεκόσμησαν καὶ τοὺς
the both city of-them well adorned and the
πολέμους διέφερον καὶ ἐς τὰ ἱερὰ ἔθυον.
wars carried-on and for the temples sacrificed

54.6 τὰ δὲ ἄλλα αὐτὴ ἡ πόλις τοῖς πρὶν κειμένοις νόμοις
the and rest itself the city the before established laws
ἐχρῆτο, πλὴν καθ' ὅσον αἰεί τινα ἐπεμέλοντο σφῶν
used except in so-far-as always someone they-took-care of-them
αὐτῶν ἐν ταῖς ἀρχαῖς εἶναι. καὶ ἄλλοι τε αὐτῶν ἦρξαν
selves in the offices to-be and others both of-them held
τὴν ἐνιαύσιον Ἀθηναίοις ἀρχὴν καὶ Πεισίστρατος ὁ Ἱππίου
the annual for-Athenians office and Pisistratus the of-Hippias
τοῦ τυραννεύσαντος υἱός, τοῦ πάππου ἔχων τοὔνομα, ὃς
the having-been-tyrant son of-the grandfather having the-name who
τῶν δώδεκα θεῶν βωμὸν τὸν ἐν τῇ ἀγορᾷ ἄρχων
of-the twelve gods altar the in the market-place being-archon
ἀνέθηκε καὶ τὸν τοῦ Ἀπόλλωνος ἐν Πυθίου.
dedicated and the — of-Apollo in Pythian's

54.7 καὶ τῷ μὲν ἐν τῇ ἀγορᾷ προσοικοδομήσας ὕστερον
and to-the-one indeed in the market-place having-built-onto later
ὁ δῆμος Ἀθηναίων μεῖζον μῆκος τοῦ βωμοῦ ἠφάνισε
the people of-Athenians greater length of-the altar obliterated
τοὐπίγραμμα· τοῦ δ' ἐν Πυθίου ἔτι καὶ νῦν δῆλόν
the-inscription of-the-other and in Pythian's still even now clear
ἐστιν ἀμυδροῖς γράμμασι λέγον τάδε·
is in-faint letters saying this

μνῆμα τόδ' ἧς ἀρχῆς Πεισίστρατος Ἱππίου υἱός
memorial this of-his office Pisistratus of-Hippias son
θῆκεν Ἀπόλλωνος Πυθίου ἐν τεμένει.
set-up of-Apollo Pythian in precinct

55.1 ὅτι δὲ πρεσβύτατος ὢν Ἱππίας ἦρξεν, εἰδὼς μὲν καὶ
that and eldest being Hippias ruled knowing indeed also
ἀκοῇ ἀκριβέστερον ἄλλων ἰσχυρίζομαι, γνοίη δ' ἄν
by-hearsay more-accurately than-others I-affirm would-know and —

τις καὶ αὐτῷ τούτῳ· παῖδες γὰρ αὐτῷ μόνῳ φαίνονται
anyone also by-the-very this children for to-him alone appear
τῶν γνησίων ἀδελφῶν γενόμενοι, ὡς ὅ τε βωμὸς
of-the legitimate brothers having-been-born as the both altar
σημαίνει καὶ ἡ στήλη περὶ τῆς τῶν τυράννων ἀδικίας ἡ
shows and the pillar about the of-the tyrants wrongdoing the
ἐν τῇ Ἀθηναίων ἀκροπόλει σταθεῖσα, ἐν ᾗ Θεσσαλοῦ μὲν
on the of-Athenians acropolis set-up on which of-Thessalus indeed
οὐδ' Ἱππάρχου οὐδεὶς παῖς γέγραπται, Ἱππίου δὲ πέντε, οἳ
nor of-Hipparchus no child is-written of-Hippias but five who
αὐτῷ ἐκ Μυρρίνης τῆς Καλλίου τοῦ Ὑπεροχίδου θυγατρὸς
to-him from Myrrhine the of-Callias the son-of-Hyperochides daughter
ἐγένοντο· εἰκὸς γὰρ ἦν τὸν πρεσβύτατον πρῶτον γῆμαι.
were-born likely for was the eldest first to-marry
καὶ ἐν τῇ αὐτῇ στήλῃ πρῶτος γέγραπται μετὰ τὸν 55.2
and on the same pillar first he-is-written after the
πατέρα, οὐδὲ τοῦτο ἀπεοικότως διὰ τὸ πρεσβεύειν τε
father nor this unreasonably because-of the to-be-eldest both
ἀπ' αὐτοῦ καὶ τυραννεῦσαι.
after him and to-have-been-tyrant
οὐ μὴν οὐδ' ἂν κατασχεῖν μοι δοκεῖ ποτὲ Ἱππίας τὸ 55.3
not indeed nor — to-have-held to-me he-seems ever Hippias the
παραχρῆμα ῥᾳδίως τὴν τυραννίδα, εἰ Ἵππαρχος μὲν ἐν
at-once easily the tyranny if Hipparchus indeed in
τῇ ἀρχῇ ὢν ἀπέθανεν, αὐτὸς δὲ αὐθημερὸν καθίστατο·
the rule being died he and on-the-same-day was-established
ἀλλὰ καὶ διὰ τὸ πρότερον ξύνηθες τοῖς μὲν πολίταις
but also because-of the former habit to-the indeed citizens
φοβερόν, ἐς δὲ τοὺς ἐπικούρους ἀκριβές, πολλῷ τῷ
fearsome toward and the mercenaries strict much the
περιόντι τοῦ ἀσφαλοῦς κατεκράτησε, καὶ οὐχ ὡς ἀδελφὸς
surplus of-the security he-prevailed and not as brother

νεώτερος ὢν ἠπόρησεν, ἐν ᾧ οὐ πρότερον ξυνεχῶς
younger being was-at-a-loss in which not before continuously
ὡμιλήκει τῇ ἀρχῇ.
he-had-been-familiar with-the rule

55.4 Ἱππάρχῳ δὲ ξυνέβη τοῦ πάθους τῇ δυστυχίᾳ ὀνομασθέντα
for-Hipparchus and it-happened of-the suffering by-the misfortune having-been-named
καὶ τὴν δόξαν τῆς τυραννίδος ἐς τὰ ἔπειτα προσλαβεῖν.
also the reputation of-the tyranny for the after-times to-acquire

56.1 τὸν δ' οὖν Ἁρμόδιον ἀπαρνηθέντα τὴν πείρασιν, ὥσπερ
— and then Harmodius having-refused the solicitation as
διενοεῖτο, προυπηλάκισεν· ἀδελφὴν γὰρ αὐτοῦ κόρην
he-had-intended he-insulted sister for his maiden
ἐπαγγείλαντες ἥκειν κανοῦν οἴσουσαν ἐν πομπῇ τινί,
having-summoned to-come basket going-to-carry in procession a
ἀπήλασαν λέγοντες οὐδὲ ἐπαγγεῖλαι τὴν ἀρχὴν διὰ
they-drove-away saying not-even to-have-summoned the at-all because-of
τὸ μὴ ἀξίαν εἶναι.
the not worthy to-be

56.2 χαλεπῶς δὲ ἐνεγκόντος τοῦ Ἁρμοδίου πολλῷ δὴ μᾶλλον
hard and having-taken — Harmodius much indeed more
δι' ἐκεῖνον καὶ ὁ Ἀριστογείτων παρωξύνετο. καὶ
because-of him also — Aristogeiton was-provoked and
αὐτοῖς τὰ μὲν ἄλλα πρὸς τοὺς ξυνεπιθησομένους τῷ
for-them the indeed rest with the going-to-join-in the
ἔργῳ ἐπέπρακτο, περιέμενον δὲ Παναθήναια τὰ μεγάλα,
deed had-been-arranged they-waited-for and Panathenaea the great
ἐν ᾗ μόνον ἡμέρᾳ οὐχ ὕποπτον ἐγίγνετο ἐν ὅπλοις τῶν
on which alone day not suspect it-was in arms of-the
πολιτῶν τοὺς τὴν πομπὴν πέμψοντας ἁθρόους γενέσθαι·
citizens those the procession going-to-conduct assembled to-be

καὶ ἔδει ἄρξαι μὲν αὐτούς, ξυνεπαμύνειν δὲ εὐθὺς
and it-was-required to-begin indeed them to-join-in-defending and at-once
τὰ πρὸς τοὺς δορυφόρους ἐκείνους.
the against the bodyguards those
ἦσαν δὲ οὐ πολλοὶ οἱ ξυνομωμοκότες ἀσφαλείας ἕνεκα· 56.3
were and not many the sworn-conspirators of-safety for-the-sake
ἤλπιζον γὰρ καὶ τοὺς μὴ προειδότας, εἰ καὶ ὁποσοιοῦν
they-hoped for also those not knowing-beforehand if even ever-so-few
τολμήσειαν, ἐκ τοῦ παραχρῆμα ἔχοντάς γε ὅπλα
should-dare from the moment having at-least arms
ἐθελήσειν σφᾶς αὐτοὺς ξυνελευθεροῦν.
to-be-willing them selves to-help-free
καὶ ὡς ἐπῆλθεν ἡ ἑορτή, Ἱππίας μὲν ἔξω ἐν τῷ Κεραμεικῷ 57.1
and when came the festival Hippias indeed outside in — Ceramicus
καλουμένῳ μετὰ τῶν δορυφόρων διεκόσμει ὡς ἕκαστα ἐχρῆν
called with the bodyguards was-arranging how each-part was-to
τῆς πομπῆς προϊέναι, ὁ δὲ Ἁρμόδιος καὶ ὁ Ἀριστογείτων
of-the procession to-go-forward — and Harmodius and — Aristogeiton
ἔχοντες ἤδη τὰ ἐγχειρίδια ἐς τὸ ἔργον προῆσαν.
having already the daggers to the deed went-forward
καὶ ὡς εἶδόν τινα τῶν ξυνωμοτῶν σφίσι διαλεγόμενον 57.2
and when they-saw one of-the conspirators of-them conversing
οἰκείως τῷ Ἱππίᾳ (ἦν δὲ πᾶσιν εὐπρόσοδος ὁ Ἱππίας),
familiarly — with-Hippias was and to-all accessible — Hippias
ἔδεισαν καὶ ἐνόμισαν μεμηνῦσθαί τε καὶ ὅσον οὐκ
they-feared and thought to-have-been-informed-on both and all-but not
ἤδη ξυλληφθήσεσθαι.
already to-be-arrested
τὸν λυπήσαντα οὖν σφᾶς καὶ δι᾽ ὅνπερ 57.3
the having-grieved then them and because-of whom-indeed
πάντα ἐκινδύνευον ἐβούλοντο πρότερον, εἰ δύναιντο,
all they-were-risking wished first if they-could

προτιμωρήσασθαι, καὶ ὥσπερ εἶχον ὥρμησαν ἔσω τῶν
to-take-revenge-first and as they-were they-rushed inside the
πυλῶν, καὶ περιέτυχον τῷ Ἱππάρχῳ παρὰ τὸ Λεωκόρειον
gates and fell-in-with — with-Hipparchus by — Leocorium
καλούμενον, καὶ εὐθὺς ἀπερισκέπτως προσπεσόντες καὶ
called and at-once recklessly having-fallen-on-him and
ὡς ἂν μάλιστα δι᾽ ὀργῆς ὁ μὲν ἐρωτικῆς, ὁ δὲ
as — most in anger the-one indeed amorous the-other and
ὑβρισμένος, ἔτυπτον καὶ ἀποκτείνουσιν αὐτόν.
insulted struck and kill him

57.4 καὶ ὁ μὲν τοὺς δορυφόρους τὸ αὐτίκα διαφεύγει ὁ
and the-one indeed the bodyguards the at-first escapes —
Ἀριστογείτων, ξυνδραμόντος τοῦ ὄχλου, καὶ ὕστερον ληφθεὶς
Aristogeiton having-run-together the crowd and later caught
οὐ ῥᾳδίως διετέθη· Ἁρμόδιος δὲ αὐτοῦ παραχρῆμα ἀπόλλυται.
not lightly was-handled Harmodius but there on-the-spot perishes

58.1 ἀγγελθέντος δὲ Ἱππίᾳ ἐς τὸν Κεραμεικόν, οὐκ ἐπὶ τὸ
news-having-been-brought and to-Hippias to — Ceramicus not to the
γενόμενον, ἀλλ᾽ ἐπὶ τοὺς πομπέας τοὺς ὁπλίτας, πρότερον
event but to the processioners the hoplites sooner
ἢ αἰσθέσθαι αὐτοὺς ἄπωθεν ὄντας, εὐθὺς ἐχώρησε, καὶ
than to-perceive them far-off being at-once went and
ἀδήλως τῇ ὄψει πλασάμενος πρὸς τὴν ξυμφορὰν
unrevealingly in-the face having-composed-himself for the calamity
ἐκέλευσεν αὐτούς, δείξας τι χωρίον, ἀπελθεῖν ἐς
ordered them having-pointed-out some place to-go-off to
αὐτὸ ἄνευ τῶν ὅπλων.
it without the arms

58.2 καὶ οἱ μὲν ἀνεχώρησαν οἰόμενοί τι ἐρεῖν αὐτόν,
and they indeed withdrew thinking something to-be-going-to-say him
ὁ δὲ τοῖς ἐπικούροις φράσας τὰ ὅπλα ὑπολαβεῖν ἐξελέγετο
he and to-the mercenaries having-told the arms to-take-up picked-out

εὐθὺς οὓς ἐπῃτιᾶτο καὶ εἴ τις ηὑρέθη ἐγχειρίδιον ἔχων·
at-once whom he-accused and if anyone was-found dagger having
μετὰ γὰρ ἀσπίδος καὶ δόρατος εἰώθεσαν τὰς πομπὰς ποιεῖν.
with for shield and spear they-were-wont the processions to-make
τοιούτῳ μὲν τρόπῳ δι᾽ ἐρωτικὴν λύπην ἥ τε ἀρχὴ 59.1
in-such indeed way because-of amorous grief the both beginning
τῆς ἐπιβουλῆς καὶ ἡ ἀλόγιστος τόλμα ἐκ τοῦ παραχρῆμα
of-the plot and the reckless daring from the momentary
περιδεοῦς Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ἐγένετο.
panic to-Harmodius and Aristogeiton came
τοῖς δ᾽ Ἀθηναίοις χαλεπωτέρα μετὰ τοῦτο ἡ τυραννὶς 59.2
for-the and Athenians harsher after this the tyranny
κατέστη, καὶ ὁ Ἱππίας διὰ φόβου ἤδη μᾶλλον ὢν
became and — Hippias in fear now more being
τῶν τε πολιτῶν πολλοὺς ἔκτεινε καὶ πρὸς τὰ ἔξω
of-the both citizens many killed and toward the outside
ἅμα διεσκοπεῖτο, εἴ ποθεν ἀσφάλειάν τινα
at-the-same-time looked-about if from-somewhere refuge some
ὁρῴη μεταβολῆς γενομένης ὑπάρχουσάν οἱ.
he-might-see change having-occurred available for-him
Ἱππόκλου γοῦν τοῦ Λαμψακηνοῦ τυράννου Αἰαντίδῃ τῷ 59.3
of-Hippoclus at-any-rate the Lampsacene tyrant to-Aeantides the
παιδὶ θυγατέρα ἑαυτοῦ μετὰ ταῦτα Ἀρχεδίκην Ἀθηναῖος
son daughter his-own after these-things Archedice Athenian
ὢν Λαμψακηνῷ ἔδωκεν, αἰσθανόμενος αὐτοὺς μέγα παρὰ
being to-a-Lampsacene gave perceiving them much with

βασιλεῖ Δαρείῳ δύνασθαι. καὶ αὐτῆς σῆμα ἐν Λαμψάκῳ
king Darius to-have-power and of-her tomb in Lampsacus
ἐστὶν ἐπίγραμμα ἔχον τόδε·
is inscription having this

ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ
of-a-man having-been-first in Greece of-those in his-own-time
Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις,
of-Hippias Archedice this has-covered dust
ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων
who of-father both and husband brothers and being of-tyrants
παίδων τ' οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην.
of-children and not was-lifted in-mind to insolence

59.4 τυραννεύσας δὲ ἔτη τρία Ἱππίας ἔτι Ἀθηναίων καὶ
having-been-tyrant and years three Hippias still of-Athenians and
παυθεὶς ἐν τῷ τετάρτῳ ὑπὸ Λακεδαιμονίων καὶ
having-been-deposed in the fourth by Lacedaemonians and
Ἀλκμεωνιδῶν τῶν φευγόντων, ἐχώρει ὑπόσπονδος ἔς τε
Alcmaeonids the exiled went under-truce to both
Σίγειον καὶ παρ' Αἰαντίδην ἐς Λάμψακον, ἐκεῖθεν δὲ ὡς
Sigeum and to Aeantides at Lampsacus thence and to
βασιλέα Δαρεῖον, ὅθεν καὶ ὁρμώμενος ἐς Μαραθῶνα ὕστερον
king Darius whence also setting-out to Marathon later
ἔτει εἰκοστῷ ἤδη γέρων ὢν μετὰ Μήδων ἐστράτευσεν.
in-year twentieth already old being with Medes campaigned

Remembering this, the people grow harsh and suspicious, and many are imprisoned. One prisoner is persuaded by a fellow prisoner to inform, true or not, and the people seize on his account with relief, freeing those he clears and executing those he names. They believe the Mysteries charge against Alcibiades, the more so when a Spartan force comes to the Isthmus and his guest-friends at Argos are suspected, so that the Athenians hand the Argive hostages over to be killed. The Salaminia is sent with orders to bring him without arrest, so as not to stir the army. He sails in his own ship, slips away at Thurii, and crosses to the Peloponnese, and the Athenians condemn him and his companions to death in their absence.

ὧν ἐνθυμούμενος ὁ δῆμος ὁ τῶν Ἀθηναίων, καὶ 60.1
which pondering the people the of-the Athenians and
μιμνῃσκόμενος ὅσα ἀκοῇ περὶ αὐτῶν ἠπίστατο,
remembering as-much-as by-hearsay about them it-knew
χαλεπὸς ἦν τότε καὶ ὑπόπτης ἐς τοὺς περὶ τῶν
harsh was then and suspicious toward those about the
μυστικῶν τὴν αἰτίαν λαβόντας, καὶ πάντα αὐτοῖς ἐδόκει
mysteries the charge having-incurred and all to-them seemed
ἐπὶ ξυνωμοσίᾳ ὀλιγαρχικῇ καὶ τυραννικῇ πεπρᾶχθαι.
for conspiracy oligarchic and tyrannical to-have-been-done
καὶ ὡς αὐτῶν διὰ τὸ τοιοῦτον ὀργιζομένων πολλοί 60.2
and as they because-of the such being-angered many
τε καὶ ἀξιόλογοι ἄνθρωποι ἤδη ἐν τῷ δεσμωτηρίῳ
both and notable men already in the prison
ἦσαν καὶ οὐκ ἐν παύλῃ ἐφαίνετο, ἀλλὰ καθ' ἡμέραν
were and not at an-end it-appeared but by day
ἐπεδίδοσαν μᾶλλον ἐς τὸ ἀγριώτερόν τε καὶ πλείους
they-advanced more toward the more-savage both and more
ἔτι ξυλλαμβάνειν, ἐνταῦθα ἀναπείθεταί εἷς τῶν δεδεμένων,
still to-arrest thereupon is-persuaded one of-the imprisoned

ὅσπερ ἐδόκει αἰτιώτατος εἶναι, ὑπὸ τῶν ξυνδεσμωτῶν
who-indeed seemed most-guilty to-be by of-the fellow-prisoners
τινὸς εἴτε ἄρα καὶ τὰ ὄντα μηνῦσαι εἴτε καὶ οὔ· ἐπ᾽
one whether after-all also the true-things to-inform or also not to
ἀμφότερα γὰρ εἰκάζεται, τὸ δὲ σαφὲς οὐδεὶς οὔτε τότε
both-ways for it-is-conjectured the but certain nobody neither then
οὔτε ὕστερον ἔχει εἰπεῖν περὶ τῶν δρασάντων τὸ ἔργον.
nor later can to-say about those having-done the deed
60.3 λέγων δὲ ἔπεισεν αὐτὸν ὡς χρή, εἰ μὴ καὶ δέδρακεν, αὑτόν
saying and he-persuaded him that one-must if not even he-has-done himself
τε ἄδειαν ποιησάμενον σῶσαι καὶ τὴν πόλιν τῆς παρούσης
both immunity having-obtained to-save and the city from-the present
ὑποψίας παῦσαι· βεβαιοτέραν γὰρ αὐτῷ σωτηρίαν εἶναι
suspicion to-relieve more-secure for for-him safety to-be
ὁμολογήσαντι μετ᾽ ἀδείας ἢ ἀρνηθέντι διὰ δίκης ἐλθεῖν.
having-confessed with immunity than having-denied through trial to-go
60.4 καὶ ὁ μὲν αὐτός τε καθ᾽ ἑαυτοῦ καὶ κατ᾽ ἄλλων μηνύει
and he indeed himself both against himself and against others informs
τὸ τῶν Ἑρμῶν· ὁ δὲ δῆμος ὁ τῶν Ἀθηναίων ἄσμενος
the of-the Hermae the and people the of-the Athenians gladly
λαβών, ὡς ᾤετο, τὸ σαφὲς καὶ δεινὸν ποιούμενοι
having-received as it-thought the certain and terrible having-thought-it
πρότερον εἰ τοὺς ἐπιβουλεύοντας σφῶν τῷ πλήθει
before if the plotting their against-the commons
μὴ εἴσονται, τὸν μὲν μηνυτὴν εὐθὺς καὶ τοὺς ἄλλους
not they-will-know the indeed informer at-once and the others
μετ᾽ αὐτοῦ ὅσων μὴ κατηγορήκει ἔλυσαν, τοὺς δὲ
with him as-many-as not he-had-accused released the but
καταιτιαθέντας κρίσεις ποιήσαντες τοὺς μὲν ἀπέκτειναν,
accused trials having-held the-ones indeed they-killed

ὅσοι ξυνελήφθησαν, τῶν δὲ διαφυγόντων θάνατον
as-many-as were-arrested of-the and having-fled death
καταγνόντες ἐπανεῖπον ἀργύριον τῷ ἀποκτείναντι.
having-condemned proclaimed money to-the killer
καὶν τούτῳ οἱ μὲν παθόντες ἄδηλον ἦν εἰ ἀδίκως 60.5
and-in this the indeed suffering unclear was whether unjustly
ἐτετιμώρητο, ἡ μέντοι ἄλλη πόλις ἐν τῷ παρόντι
had-been-punished the however rest city in the present
περιφανῶς ὠφέλητο.
manifestly had-been-benefited
περὶ δὲ τοῦ Ἀλκιβιάδου ἐναγόντων τῶν ἐχθρῶν, οἵπερ 61.1
about and — Alcibiades urging-on the enemies who-indeed
καὶ πρὶν ἐκπλεῖν αὐτὸν ἐπέθεντο, χαλεπῶς οἱ Ἀθηναῖοι
also before to-sail-out him attacked hard the Athenians
ἐλάμβανον· καὶ ἐπειδὴ τὸ τῶν Ἑρμῶν ᾤοντο σαφὲς
took-it and since the of-the Hermae they-thought certain
ἔχειν, πολὺ δὴ μᾶλλον καὶ τὰ μυστικά, ὧν ἐπαίτιος
to-have much indeed more also the mysteries of-which accused
ἦν, μετὰ τοῦ αὐτοῦ λόγου καὶ τῆς ξυνωμοσίας ἐπὶ
he-was with the same design and the conspiracy against
τῷ δήμῳ ἀπ᾽ ἐκείνου ἐδόκει πραχθῆναι.
the people by him seemed to-have-been-done
καὶ γάρ τις καὶ στρατιὰ Λακεδαιμονίων οὐ πολλὴ 61.2
and for some also force of-Lacedaemonians not large
ἔτυχε κατὰ τὸν καιρὸν τοῦτον ἐν ᾧ περὶ ταῦτα
happened at the time this in which about these-things
ἐθορυβοῦντο μέχρι Ἰσθμοῦ παρελθοῦσα, πρὸς Βοιωτούς
they-were-in-uproar as-far-as Isthmus having-come with Boeotians
τι πράσσοντες. ἐδόκει οὖν ἐκείνου πράξαντος καὶ οὐ
something negotiating it-seemed then he having-contrived and not
Βοιωτῶν ἕνεκα ἀπὸ ξυνθήματος ἥκειν, καὶ εἰ μὴ
of-Boeotians for-the-sake by agreement to-have-come and if not

ἔφθασαν δὴ αὐτοὶ κατὰ τὸ μήνυμα ξυλλαβόντες
they-had-been-first indeed themselves by the information having-arrested
τοὺς ἄνδρας, προδοθῆναι ἂν ἡ πόλις. καί τινα μίαν
the men to-have-been-betrayed — the city and some one
νύκτα καὶ κατέδαρθον ἐν Θησείῳ τῷ ἐν πόλει ἐν ὅπλοις.
night even they-slept in Theseum the in city in arms
61.3 οἵ τε ξένοι τοῦ Ἀλκιβιάδου οἱ ἐν Ἄργει κατὰ τὸν
the and guest-friends — of-Alcibiades the in Argos at the
αὐτὸν χρόνον ὑπωπτεύθησαν τῷ δήμῳ ἐπιτίθεσθαι, καὶ
same time were-suspected the people to-attack and
τοὺς ὁμήρους τῶν Ἀργείων τοὺς ἐν ταῖς νήσοις κειμένους
the hostages of-the Argives the in the islands lying
οἱ Ἀθηναῖοι τότε παρέδοσαν τῷ Ἀργείων δήμῳ διὰ
the Athenians then handed-over to-the of-Argives people because-of
ταῦτα διαχρήσασθαι.
these-things to-put-to-death
61.4 πανταχόθεν τε περιειστήκει ὑποψία ἐς τὸν Ἀλκιβιάδην.
from-all-sides and had-surrounded suspicion against — Alcibiades
ὥστε βουλόμενοι αὐτὸν ἐς κρίσιν ἀγαγόντες ἀποκτεῖναι,
so-that wishing him to trial having-brought to-kill
πέμπουσιν οὕτω τὴν Σαλαμινίαν ναῦν ἐς τὴν Σικελίαν
they-send thus the Salaminia ship to — Sicily
ἐπί τε ἐκεῖνον καὶ ὧν πέρι ἄλλων ἐμεμήνυτο.
for both him and whom about others information-had-been-given
61.5 εἴρητο δὲ προειπεῖν αὐτῷ ἀπολογησομένῳ ἀκολουθεῖν,
it-had-been-ordered and to-tell him going-to-defend-himself to-follow
ξυλλαμβάνειν δὲ μή, θεραπεύοντες τό τε πρὸς τοὺς
to-arrest but not taking-care-for the both toward the
ἐν τῇ Σικελίᾳ στρατιώτας τε σφετέρους καὶ πολεμίους
in — Sicily soldiers both their-own and enemies
μὴ θορυβεῖν καὶ οὐχ ἥκιστα τοὺς Μαντινέας καὶ
not to-cause-disturbance and not least the Mantineans and

Ἀργείους βουλόμενοι παραμεῖναι, δι᾽ ἐκείνου νομίζοντες
Argives wishing to-stay through him thinking
πεισθῆναι σφίσι ξυστρατεύειν.
to-have-been-persuaded with-them to-campaign
καὶ ὁ μὲν ἔχων τὴν ἑαυτοῦ ναῦν καὶ οἱ ξυνδιαβεβλημένοι 61.6
and he indeed having the his-own ship and the fellow-accused
ἀπέπλεον μετὰ τῆς Σαλαμινίας ἐκ τῆς Σικελίας ὡς
sailed-off with the Salaminia from — Sicily as
ἐς τὰς Ἀθήνας· καὶ ἐπειδὴ ἐγένοντο ἐν Θουρίοις, οὐκέτι
to — Athens and when they-were at Thurii no-longer
ξυνείποντο, ἀλλ᾽ ἀπελθόντες ἀπὸ τῆς νεὼς οὐ φανεροὶ
followed but having-left from the ship not visible
ἦσαν, δείσαντες τὸ ἐπὶ διαβολῇ ἐς δίκην καταπλεῦσαι.
were having-feared the on slander to trial to-sail-home
οἱ δ᾽ ἐκ τῆς Σαλαμινίας τέως μὲν ἐζήτουν τὸν 61.7
those and from the Salaminia for-a-while indeed searched-for —
Ἀλκιβιάδην καὶ τοὺς μετ᾽ αὐτοῦ· ὡς δ᾽ οὐδαμοῦ φανεροὶ
Alcibiades and those with him when but nowhere visible
ἦσαν, ᾤχοντο ἀποπλέοντες. ὁ δὲ Ἀλκιβιάδης ἤδη
they-were went-off sailing-away — and Alcibiades now
φυγὰς ὢν οὐ πολὺ ὕστερον ἐπὶ πλοίου ἐπεραιώθη ἐς
exile being not much later on boat crossed to
Πελοπόννησον ἐκ τῆς Θουρίας· οἱ δ᾽ Ἀθηναῖοι ἐρήμῃ
Peloponnese from — Thurian-land the and Athenians by-default
δίκῃ θάνατον κατέγνωσαν αὐτοῦ τε καὶ τῶν μετ᾽ ἐκείνου.
trial death condemned him both and those with him

The two remaining generals divide the army and sail along the north coast toward Selinus and Egesta. They take the Sicanian town of Hyccara, an enemy of Egesta, and sell its people for a hundred and twenty talents. Nicias collects thirty talents at Egesta. An attack on Hybla Geleatis fails, and the summer ends. In the winter the Syracusans grow bold and talk of attacking the Athenian camp. The generals send a Catanaean who tells them that the Athenians sleep in the town and that they can be caught there. The Syracusans march out in full force for Catana, the Athenians sail by night against Syracuse and land at dawn near the Olympieum, and the Syracusan cavalry ride back.

62.1 μετὰ δὲ ταῦτα οἱ λοιποὶ τῶν Ἀθηναίων στρατηγοὶ ἐν
after and these-things the remaining of-the Athenians generals in
τῇ Σικελίᾳ, δύο μέρη ποιήσαντες τοῦ στρατεύματος καὶ
— Sicily two parts having-made of-the army and
λαχὼν ἑκάτερος, ἔπλεον ξύμπαντι ἐπὶ Σελινοῦντος καὶ
having-drawn-lots each sailed with-all toward Selinus and
Ἐγέστης, βουλόμενοι μὲν εἰδέναι τὰ χρήματα εἰ δώσουσιν
Egesta wishing indeed to-know the money whether will-give
οἱ Ἐγεσταῖοι, κατασκέψασθαι δὲ καὶ τῶν Σελινουντίων τὰ
the Egestaeans to-examine and also of-the Selinuntians the
πράγματα καὶ τὰ διάφορα μαθεῖν τὰ πρὸς Ἐγεσταίους.
affairs and the differences to-learn the with Egestaeans

62.2 παραπλέοντες δ' ἐν ἀριστερᾷ τὴν Σικελίαν, τὸ μέρος
coasting and on left — Sicily the part
τὸ πρὸς τὸν Τυρσηνικὸν κόλπον, ἔσχον ἐς Ἱμέραν,
the toward the Tyrrhenian gulf they-put-in at Himera
ἥπερ μόνη ἐν τούτῳ τῷ μέρει τῆς Σικελίας Ἑλλὰς
which-indeed alone in this the part — of-Sicily Greek
πόλις ἐστίν· καὶ ὡς οὐκ ἐδέχοντο αὐτούς, παρεκομίζοντο.
city is and as not they-received them they-coasted-on

καὶ ἐν τῷ παράπλῳ αἱροῦσιν Ὕκκαρα, πόλισμα Σικανικὸν 62.3
and on the voyage-along they-take Hyccara town Sicanian
μέν, Ἐγεσταίοις δὲ πολέμιον· ἦν δὲ παραθαλασσίδιον.
indeed to-Egestaeans but hostile it-was and on-the-coast
καὶ ἀνδραποδίσαντες τὴν πόλιν παρέδοσαν Ἐγεσταίοις
and having-enslaved the city handed-over to-Egestaeans
(παρεγένοντο γὰρ αὐτῶν ἱππῆς), αὐτοὶ δὲ πάλιν τῷ
were-present for of-them cavalry themselves and back with-the
μὲν πεζῷ ἐχώρουν διὰ τῶν Σικελῶν ἕως ἀφίκοντο ἐς
indeed infantry went through the Sicels until they-arrived at
Κατάνην, αἱ δὲ νῆες περιέπλευσαν τὰ ἀνδράποδα ἄγουσαι.
Catana the and ships sailed-round the captives carrying
Νικίας δὲ εὐθὺς ἐξ Ὑκκάρων ἐπὶ Ἐγέστης παραπλεύσας, 62.4
Nicias and at-once from Hyccara to Egesta having-coasted
καὶ τἆλλα χρηματίσας καὶ λαβὼν τάλαντα τριάκοντα
and the-rest having-transacted and having-received talents thirty
παρῆν ἐς τὸ στράτευμα· καὶ τἀνδράποδα ἀπέδοσαν, καὶ
was-present at the army and the-captives they-sold and
ἐγένοντο ἐξ αὐτῶν εἴκοσι καὶ ἑκατὸν τάλαντα.
there-came from them twenty and hundred talents
καὶ ἐς τοὺς τῶν Σικελῶν ξυμμάχους περιέπλευσαν, 62.5
and to the of-the Sicels allies they-sailed-round
στρατιὰν κελεύοντες πέμπειν· τῇ τε ἡμισείᾳ τῆς
troops bidding to-send with-the both half of-the
ἑαυτῶν ἦλθον ἐπὶ Ὕβλαν τὴν Γελεᾶτιν πολεμίαν οὖσαν,
their-own they-went against Hybla the Geleatic hostile being
καὶ οὐχ εἷλον. καὶ τὸ θέρος ἐτελεύτα.
and not took-it and the summer ended

63.1 τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς τὴν ἔφοδον
in-the and following winter at-once the attack
οἱ Ἀθηναῖοι ἐπὶ Συρακούσας παρεσκευάζοντο, οἱ δὲ
the Athenians against Syracuse prepared the and
Συρακόσιοι καὶ αὐτοὶ ὡς ἐπ' ἐκείνους ἰόντες.
Syracusans also themselves as against them going

63.2 ἐπειδὴ γὰρ αὐτοῖς πρὸς τὸν πρῶτον φόβον καὶ τὴν
since for on-them in-line-with the first fear and the
προσδοκίαν οἱ Ἀθηναῖοι οὐκ εὐθὺς ἐπέκειντο, κατά τε
expectation the Athenians not at-once pressed by both
τὴν ἡμέραν ἑκάστην προϊοῦσαν ἀνεθάρσουν μᾶλλον καὶ
the day each advancing they-took-courage more and
ἐπειδὴ πλέοντές τε τὰ ἐπ' ἐκεῖνα τῆς Σικελίας πολὺ
when sailing both the on far-side — of-Sicily far
ἀπὸ σφῶν ἐφαίνοντο καὶ πρὸς τὴν Ὕβλαν ἐλθόντες καὶ
from them they-appeared and to — Hybla having-gone and
πειράσαντες οὐχ εἷλον βίᾳ, ἔτι πλέον κατεφρόνησαν καὶ
having-tried not they-took by-force still more they-despised and
ἠξίουν τοὺς στρατηγούς, οἷον δὴ ὄχλος φιλεῖ θαρσήσας
demanded the generals as indeed a-crowd tends having-grown-bold
ποιεῖν, ἄγειν σφᾶς ἐπὶ Κατάνην, ἐπειδὴ οὐκ ἐκεῖνοι ἐφ'
to-do to-lead them against Catana since not they against
ἑαυτοὺς ἔρχονται.
them come

63.3 καὶ ἱππῆς προσελαύνοντες αἰεὶ κατάσκοποι τῶν Συρακοσίων
and cavalry riding-up always scouts of-the Syracusans
πρὸς τὸ στράτευμα τῶν Ἀθηναίων ἐφύβριζον ἄλλα τε
to the army of-the Athenians jeered other-things both
καὶ εἰ ξυνοικήσοντες σφίσιν αὐτοὶ μᾶλλον ἥκοιεν ἐν
and whether going-to-settle-with them themselves rather they-had-come in
τῇ ἀλλοτρίᾳ ἢ Λεοντίνους ἐς τὴν οἰκείαν κατοικιοῦντες.
the foreign than Leontines to the own going-to-restore

ἃ γιγνώσκοντες οἱ στρατηγοὶ τῶν Ἀθηναίων καὶ 64.1
which knowing the generals of-the Athenians and
βουλόμενοι αὐτοὺς ἄγειν πανδημεὶ ἐκ τῆς πόλεως ὅτι
wishing them to-draw in-full-force from the city as
πλεῖστον, αὐτοὶ δὲ ταῖς ναυσὶν ἐν τοσούτῳ ὑπὸ νύκτα
far-as-possible themselves and with-the ships in the-meantime under night
παραπλεύσαντες στρατόπεδον καταλαμβάνειν ἐν ἐπιτηδείῳ
having-coasted camp to-seize in suitable
καθ' ἡσυχίαν, εἰδότες οὐκ ἂν ὁμοίως δυνηθέντες καὶ εἰ ἐκ
at leisure knowing not — equally being-able even if from
τῶν νεῶν πρὸς παρεσκευασμένους ἐκβιβάζοιεν ἢ κατὰ
the ships against prepared-men they-should-disembark or by
γῆν ἰόντες γνωσθεῖεν (τοὺς γὰρ ἂν ψιλοὺς τοὺς σφῶν
land going should-be-known the for — light-troops the their
καὶ τὸν ὄχλον τῶν Συρακοσίων τοὺς ἱππέας πολλοὺς
and the crowd of-the Syracusans the cavalry many
ὄντας, σφίσι δ' οὐ παρόντων ἱππέων, βλάπτειν ἂν
being to-them and not being-present cavalry to-harm —
μεγάλα, οὕτω δὲ λήψεσθαι χωρίον ὅθεν ὑπὸ τῶν ἱππέων
greatly so but to-take position whence by the cavalry
οὐ βλάψονται ἄξια λόγου· ἐδίδασκον δ' αὐτοὺς περὶ
not they-will-be-harmed worthy of-mention informed and them about
τοῦ πρὸς τῷ Ὀλυμπιείῳ χωρίου, ὅπερ καὶ κατέλαβον,
the by — Olympieum place which-very also they-took
Συρακοσίων φυγάδες, οἳ ξυνείποντο), τοιόνδε τι οὖν
of-Syracusans exiles who accompanied such something then
πρὸς ἃ ἐβούλοντο οἱ στρατηγοὶ μηχανῶνται.
toward what wished the generals they-contrive
πέμπουσιν ἄνδρα σφίσι μὲν πιστόν, τοῖς δὲ τῶν Συρακοσίων 64.2
they-send a-man to-them indeed trustworthy to-the but of-the Syracusans
στρατηγοῖς τῇ δοκήσει οὐχ ἧσσον ἐπιτήδειον· ἦν δὲ
generals in-the seeming not less friendly he-was and

Καταναῖος ὁ ἀνήρ, καὶ ἀπ᾽ ἀνδρῶν ἐκ τῆς Κατάνης ἥκειν
Catanaean the man and from men from — Catana to-come
ἔφη ὧν ἐκεῖνοι τὰ ὀνόματα ἐγίγνωσκον καὶ ἠπίσταντο
he-said whose they the names recognized and knew
ἐν τῇ πόλει ἔτι ὑπολοίπους ὄντας τῶν σφίσιν εὔνων.
in the city still remaining being of-the to-them well-disposed
64.3 ἔλεγε δὲ τοὺς Ἀθηναίους αὐλίζεσθαι ἀπὸ τῶν ὅπλων
he-said and the Athenians to-bivouac away-from the arms
ἐν τῇ πόλει, καὶ εἰ βούλονται ἐκεῖνοι πανδημεὶ ἐν ἡμέρᾳ
in the city and if wish they in-full-force on day
ῥητῇ ἅμα ἕῳ ἐπὶ τὸ στράτευμα ἐλθεῖν, αὐτοὶ
appointed together-with dawn against the army to-come themselves
μὲν ἀποκλῄσειν τοὺς παρὰ σφίσι καὶ τὰς ναῦς ἐμπρήσειν,
indeed to-shut-in those among them and the ships to-burn
ἐκείνους δὲ ῥᾳδίως τὸ στράτευμα προσβαλόντας τῷ
them and easily the army having-attacked the
σταυρώματι αἱρήσειν· εἶναι δὲ ταῦτα τοὺς ξυνδράσοντας
stockade to-take to-be and these-things those going-to-help-do
πολλοὺς Καταναίων καὶ ἡτοιμάσθαι ἤδη, ἀφ᾽ ὧν αὐτὸς
many of-Catanaeans and to-be-ready already from whom himself
ἥκειν.
to-come
65.1 οἱ δὲ στρατηγοὶ τῶν Συρακοσίων, μετὰ τοῦ καὶ ἐς τὰ
the and generals of-the Syracusans with the also as-to the
ἄλλα θαρσεῖν καὶ εἶναι ἐν διανοίᾳ καὶ ἄνευ τούτων ἰέναι
other-things to-be-confident and to-be in intention even without these to-go
παρεσκευάσθαι ἐπὶ Κατάνην, ἐπίστευσάν τε τῷ ἀνθρώπῳ
to-have-prepared against Catana trusted both the man
πολλῷ ἀπερισκεπτότερον καὶ εὐθὺς ἡμέραν ξυνθέμενοι
much more-incautiously and at-once day having-agreed
ᾗ παρέσονται ἀπέστειλαν αὐτόν, καὶ αὐτοί (ἤδη γὰρ
on-which they-will-be-present sent-off him and themselves already for

καὶ τῶν ξυμμάχων Σελινούντιοι καὶ ἄλλοι τινὲς παρῆσαν)
also of-the allies Selinuntians and others some were-present
προεῖπον πανδημεὶ πᾶσιν ἐξιέναι Συρακοσίοις. ἐπεὶ δὲ
announced in-full-force to-all to-march-out Syracusans when and
ἑτοῖμα αὐτοῖς καὶ τὰ τῆς παρασκευῆς ἦν καὶ αἱ ἡμέραι ἐν
ready for-them also the of-the preparation was and the days in
αἷς ξυνέθεντο ἥξειν ἐγγὺς ἦσαν, πορευόμενοι ἐπὶ Κατάνης
which they-agreed to-come near were marching toward Catana
ηὐλίσαντο ἐπὶ τῷ Συμαίθῳ ποταμῷ ἐν τῇ Λεοντίνῃ.
encamped at — Symaethus river in — Leontine-land
οἱ δ' Ἀθηναῖοι ὡς ᾔσθοντο αὐτοὺς προσιόντας, ἀναλαβόντες 65.2
the and Athenians when perceived them approaching having-taken-up
τό τε στράτευμα ἅπαν τὸ ἑαυτῶν καὶ ὅσοι Σικελῶν
the both army whole the their-own and as-many-as of-Sicels
αὐτοῖς ἢ ἄλλος τις προσεληλύθει καὶ ἐπιβιβάσαντες ἐπὶ τὰς
to-them or other anyone had-joined and having-embarked-them on the
ναῦς καὶ τὰ πλοῖα, ὑπὸ νύκτα ἔπλεον ἐπὶ τὰς Συρακούσας.
ships and the boats under night sailed against — Syracuse
καὶ οἵ τε Ἀθηναῖοι ἅμα ἕῳ ἐξέβαινον ἐς τὸ κατὰ 65.3
and the both Athenians together-with dawn disembarked at the by
τὸ Ὀλυμπιεῖον ὡς τὸ στρατόπεδον καταληψόμενοι, καὶ
— Olympieum as the camp going-to-seize and
οἱ ἱππῆς οἱ Συρακοσίων πρῶτοι προσελάσαντες ἐς τὴν
the cavalry the of-Syracusans first having-ridden-up to —
Κατάνην καὶ αἰσθόμενοι ὅτι τὸ στράτευμα ἅπαν ἀνῆκται,
Catana and having-perceived that the army whole had-put-to-sea
ἀποστρέψαντες ἀγγέλλουσι τοῖς πεζοῖς, καὶ ξύμπαντες
having-turned-back report to-the infantry and all-together
ἤδη ἀποτρεπόμενοι ἐβοήθουν ἐπὶ τὴν πόλιν.
now turning-back came-to-help to the city

The Athenians fortify their camp at leisure, with a stockade by the ships, a fort at Dascon, and the bridge over the Anapus broken. The Syracusans come back and offer battle, and Nicias exhorts his men. They are the flower of Greece, he says, against a levy of the people, far from home, and they must win or perish. The armies clash in a thunderstorm that frightens the untried Syracusans, and the Argives and then the Athenians break their wings. The Syracusan cavalry check the pursuit, and they withdraw to the city, leaving a guard at the Olympieum. The Athenians set up a trophy and give back the dead, and since they lack cavalry and money, they sail back to Catana for the winter.

66.1 ἐν τούτῳ δ᾽ οἱ Ἀθηναῖοι, μακρᾶς οὔσης τῆς ὁδοῦ αὐτοῖς,
in this and the Athenians long being the road for-them
καθ᾽ ἡσυχίαν καθῖσαν τὸ στράτευμα ἐς χωρίον ἐπιτήδειον,
at leisure settled the army in position suitable
καὶ ἐν ᾧ μάχης τε ἄρξειν ἔμελλον ὁπότε βούλοιντο καὶ
and in which battle both to-begin they-were-going whenever they-wished and
οἱ ἱππῆς τῶν Συρακοσίων ἥκιστ᾽ ἂν αὐτοὺς καὶ ἐν τῷ ἔργῳ
the cavalry of-the Syracusans least — them both in the action
καὶ πρὸ αὐτοῦ λυπήσειν· τῇ μὲν γὰρ τειχία τε καὶ
and before it to-annoy on-one-side indeed for walls both and
οἰκίαι εἶργον καὶ δένδρα καὶ λίμνη, παρὰ δὲ τὸ κρημνοί.
houses barred and trees and marsh along and the cliffs
66.2 καὶ τὰ ἐγγὺς δένδρα κόψαντες καὶ κατενεγκόντες ἐπὶ
and the nearby trees having-cut and having-brought-down to
τὴν θάλασσαν παρά τε τὰς ναῦς σταύρωμα ἔπηξαν
the sea along both the ships stockade fixed
καὶ ἐπὶ τῷ Δάσκωνι ἔρυμά τι, ᾗ εὐεφοδώτατον ἦν
and at — Dascon fort a where most-easily-approached it-was

τοῖς πολεμίοις, λίθοις λογάδην καὶ ξύλοις διὰ ταχέων
for-the enemy with-stones picked and timbers in haste
ὤρθωσαν, καὶ τὴν τοῦ Ἀνάπου γέφυραν ἔλυσαν.
raised and the — of-Anapus bridge broke-down
παρασκευαζομένων δὲ ἐκ μὲν τῆς πόλεως οὐδεὶς 66.3
preparing and from indeed the city nobody
ἐξιὼν ἐκώλυε, πρῶτοι δὲ οἱ ἱππῆς τῶν Συρακοσίων
coming-out hindered first and the cavalry of-the Syracusans
προσεβοήθησαν, ἔπειτα δὲ ὕστερον καὶ τὸ πεζὸν ἅπαν
came-up-to-help then and later also the infantry whole
ξυνελέγη. καὶ προσῆλθον μὲν ἐγγὺς τοῦ στρατεύματος τῶν
gathered and they-came indeed near the army of-the
Ἀθηναίων τὸ πρῶτον, ἔπειτα δὲ ὡς οὐκ ἀντιπροῇσαν αὐτοῖς,
Athenians the first then but when not came-out-against them
ἀναχωρήσαντες καὶ διαβάντες τὴν Ἑλωρίνην ὁδὸν ηὐλίσαντο.
having-withdrawn and having-crossed the Helorine road encamped
τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι παρεσκευάζοντο 67.1
on-the and next-day the Athenians and the allies prepared
ὡς ἐς μάχην, καὶ ξυνετάξαντο ὧδε. δεξιὸν μὲν κέρας
as for battle and drew-up thus right indeed wing
Ἀργεῖοι εἶχον καὶ Μαντινῆς, Ἀθηναῖοι δὲ τὸ μέσον, τὸ δὲ
Argives held and Mantineans Athenians and the center the and
ἄλλο οἱ ξύμμαχοι οἱ ἄλλοι. καὶ τὸ μὲν ἥμισυ αὐτοῖς τοῦ
rest the allies the other and the indeed half for-them of-the
στρατεύματος ἐν τῷ πρόσθεν ἦν τεταγμένον ἐπὶ ὀκτώ, τὸ δὲ
army in the front was drawn-up at eight the and
ἥμισυ ἐπὶ ταῖς εὐναῖς ἐν πλαισίῳ, ἐπὶ ὀκτὼ καὶ τοῦτο
half by the sleeping-quarters in square at eight also this
τεταγμένον· οἷς εἴρητο, ᾗ ἂν τοῦ στρατεύματός
drawn-up to-whom it-had-been-ordered where — of-the army

τι πονῇ μάλιστα, ἐφορῶντας παραγίγνεσθαι. καὶ
any-part is-hard-pressed most watching to-come-up and
τοὺς σκευοφόρους ἐντὸς τούτων τῶν ἐπιτάκτων ἐποιήσαντο.
the baggage-carriers inside these the reserves they-placed

67.2 οἱ δὲ Συρακόσιοι ἔταξαν τοὺς μὲν ὁπλίτας πάντας
the and Syracusans drew-up the indeed hoplites all
ἐφ' ἑκκαίδεκα, ὄντας πανδημεὶ Συρακοσίους καὶ ὅσοι
at sixteen being in-full-force Syracusans and as-many-as
ξύμμαχοι παρῆσαν (ἐβοήθησαν δὲ αὐτοῖς Σελινούντιοι
allies were-present came-to-help and them Selinuntians
μὲν μάλιστα, ἔπειτα δὲ καὶ Γελῴων ἱππῆς, τὸ ξύμπαν
indeed most then and also of-Geloans cavalry the total
ἐς διακοσίους, καὶ Καμαριναίων ἱππῆς ὅσον εἴκοσι καὶ
about two-hundred and of-Camarinaeans cavalry about twenty and
τοξόται ὡς πεντήκοντα), τοὺς δὲ ἱππέας ἐπετάξαντο ἐπὶ
archers about fifty the and cavalry they-posted on
τῷ δεξιῷ, οὐκ ἔλασσον ὄντας ἢ διακοσίους καὶ χιλίους,
the right not fewer being than two-hundred and thousand
παρὰ δ' αὐτοὺς καὶ τοὺς ἀκοντιστάς.
beside and them also the javelin-men

67.3 μέλλουσι δὲ τοῖς Ἀθηναίοις προτέροις ἐπιχειρήσειν ὁ
being-about and to-the Athenians first to-attack —
Νικίας κατά τε ἔθνη ἐπιπαριὼν ἕκαστα καὶ ξύμπασι
Nicias by both peoples going-along each and to-all
τοιάδε παρεκελεύετο.
as-follows exhorted

68.1 'Πολλῇ μὲν παραινέσει, ὦ ἄνδρες, τί δεῖ χρῆσθαι, οἳ
with-much indeed exhortation O men why need to-use who
πάρεσμεν ἐπὶ τὸν αὐτὸν ἀγῶνα; αὐτὴ γὰρ ἡ παρασκευὴ
are-here for the same contest itself for the armament

ἱκανωτέρα μοι δοκεῖ εἶναι θάρσος παρασχεῖν ἢ καλῶς
more-able to-me seems to-be confidence to-give than well
λεχθέντες λόγοι μετὰ ἀσθενοῦς στρατοπέδου.
spoken words with weak army
ὅπου γὰρ Ἀργεῖοι καὶ Μαντινῆς καὶ Ἀθηναῖοι καὶ νησιωτῶν 68.2
where for Argives and Mantineans and Athenians and of-islanders
οἱ πρῶτοί ἐσμεν, πῶς οὐ χρὴ μετὰ τοιῶνδε καὶ τοσῶνδε
the first we-are how not one-must with such and so-many
ξυμμάχων πάντα τινὰ μεγάλην τὴν ἐλπίδα τῆς νίκης ἔχειν,
allies every one great the hope of-the victory to-have
ἄλλως τε καὶ πρὸς ἄνδρας πανδημεί τε ἀμυνομένους καὶ
otherwise both and against men in-full-force both defending and
οὐκ ἀπολέκτους ὥσπερ καὶ ἡμᾶς, καὶ προσέτι Σικελιώτας,
not picked as also us and besides Sicilian-Greeks
οἳ ὑπερφρονοῦσι μὲν ἡμᾶς, ὑπομενοῦσι δ' οὔ, διὰ τὸ
who despise indeed us will-stand but not because-of the
τὴν ἐπιστήμην τῆς τόλμης ἧσσω ἔχειν.
the skill than-the daring less to-have
παραστήτω δέ τινι καὶ τόδε, πολύ τε ἀπὸ τῆς ἡμετέρας 68.3
let-it-occur and to-each also this far both from the our
αὐτῶν εἶναι καὶ πρὸς γῇ οὐδεμιᾷ φιλίᾳ, ἥντινα μὴ αὐτοὶ
own to-be and in land no friendly which not yourselves
μαχόμενοι κτήσεσθε. καὶ τοὐναντίον ὑπομιμνήσκω ὑμᾶς
fighting you-will-win and the-opposite I-remind you
ἢ οἱ πολέμιοι σφίσιν αὐτοῖς εὖ οἶδ' ὅτι παρακελεύονται·
than the enemies to-them selves well I-know that exhort
οἱ μὲν γὰρ ὅτι περὶ πατρίδος ἔσται ὁ ἀγών, ἐγὼ δὲ
they indeed for that for fatherland will-be the contest I but
ὅτι οὐκ ἐν πατρίδι, ἐξ ἧς κρατεῖν δεῖ ἢ μὴ ῥᾳδίως
that not in fatherland from which to-win one-must or not easily
ἀποχωρεῖν· οἱ γὰρ ἱππῆς πολλοὶ ἐπικείσονται.
to-withdraw the for cavalry many will-press

68.4 τῆς τε οὖν ὑμετέρας αὐτῶν ἀξίας μνησθέντες ἐπέλθετε
the both then your own worth having-remembered advance
τοῖς ἐναντίοις προθύμως, καὶ τὴν παροῦσαν ἀνάγκην
against-the opponents eagerly and the present necessity
καὶ ἀπορίαν φοβερωτέραν ἡγησάμενοι τῶν πολεμίων.'
and helplessness more-fearful having-considered than-the enemies

69.1 ὁ μὲν Νικίας τοιαῦτα παρακελευσάμενος ἐπῆγε τὸ
— indeed Nicias such having-exhorted led-on the
στρατόπεδον εὐθύς. οἱ δὲ Συρακόσιοι ἀπροσδόκητοι μὲν
army at-once the and Syracusans not-expecting indeed
ἐν τῷ καιρῷ τούτῳ ἦσαν ὡς ἤδη μαχούμενοι, καί τινες
at the moment this were as already going-to-fight and some
αὐτοῖς ἐγγὺς τῆς πόλεως οὔσης καὶ ἀπεληλύθεσαν· οἱ
of-them near the city being even had-gone-away the-others
δὲ καὶ διὰ σπουδῆς προσβοηθοῦντες δρόμῳ ὑστέριζον μέν,
and also in haste coming-up-to-help at-a-run were-late indeed
ὡς δὲ ἕκαστός πῃ τοῖς πλέοσι προσμείξειε καθίσταντο.
as but each somewhere to-the majority joined took-position
οὐ γὰρ δὴ προθυμίᾳ ἐλλιπεῖς ἦσαν οὐδὲ τόλμῃ οὔτ'
not for indeed in-zeal deficient they-were nor in-daring neither
ἐν ταύτῃ τῇ μάχῃ οὔτ' ἐν ταῖς ἄλλαις, ἀλλὰ τῇ
in this the battle nor in the others but in-the
μὲν ἀνδρείᾳ οὐχ ἧσσους ἐς ὅσον ἡ ἐπιστήμη ἀντέχοι,
indeed courage not inferior to as-far-as the skill held-out
τῷ δὲ ἐλλείποντι αὐτῆς καὶ τὴν βούλησιν ἄκοντες
by-the but deficiency of-it also the will unwillingly
προυδίδοσαν. ὅμως δὲ οὐκ ἂν οἰόμενοι σφίσι τοὺς
they-betrayed nevertheless but not — thinking against-them the
Ἀθηναίους προτέρους ἐπελθεῖν καὶ διὰ τάχους ἀναγκαζόμενοι
Athenians first to-attack and in haste being-compelled
ἀμύνασθαι, ἀναλαβόντες τὰ ὅπλα εὐθὺς ἀντεπῆσαν.
to-defend-themselves having-taken-up the arms at-once advanced-against-them

καὶ πρῶτον μὲν αὐτῶν ἑκατέρων οἵ τε λιθοβόλοι καὶ 69.2
and first indeed of-them on-each-side the both stone-throwers and
σφενδονῆται καὶ τοξόται προυμάχοντο καὶ τροπὰς οἵας
slingers and archers skirmished and routs such-as
εἰκὸς ψιλοὺς ἀλλήλων ἐποίουν· ἔπειτα δὲ μάντεις τε
likely light-troops of-each-other made then and seers both
σφάγια προύφερον τὰ νομιζόμενα καὶ σαλπιγκταὶ ξύνοδον
sacrifices brought-forward the customary and trumpeters charge
ἐπώτρυνον τοῖς ὁπλίταις,
urged-on to-the hoplites
οἱ δ' ἐχώρουν, Συρακόσιοι μὲν περί τε πατρίδος 69.3
they and advanced Syracusans indeed for both fatherland
μαχούμενοι καὶ τῆς ἰδίας ἕκαστος τὸ μὲν αὐτίκα
going-to-fight and the own each the indeed present
σωτηρίας, τὸ δὲ μέλλον ἐλευθερίας, τῶν δ' ἐναντίων
safety the and future freedom of-the and opponents
Ἀθηναῖοι μὲν περί τε τῆς ἀλλοτρίας οἰκείαν σχεῖν καὶ
Athenians indeed about both the foreign own to-get and
τὴν οἰκείαν μὴ βλάψαι ἡσσώμενοι, Ἀργεῖοι δὲ καὶ τῶν
the own not to-harm being-worsted Argives and and of-the
ξυμμάχων οἱ αὐτόνομοι ξυγκτήσασθαί τε ἐκείνοις ἐφ' ἃ
allies the independent to-help-win both for-them for what
ἦλθον καὶ τὴν ὑπάρχουσαν σφίσι πατρίδα νικήσαντες
they-came and the existing for-them fatherland having-won
πάλιν ἐπιδεῖν· τὸ δ' ὑπήκοον τῶν ξυμμάχων μέγιστον μὲν
again to-see the and subject of-the allies greatest indeed
περὶ τῆς αὐτίκα ἀνελπίστου σωτηρίας, ἢν μὴ κρατῶσι,
about the present desperate safety if not they-win
τὸ πρόθυμον εἶχον, ἔπειτα δὲ ἐν παρέργῳ καὶ εἴ τι
the zeal had then and in addition also if anything
ἄλλο ξυγκαταστρεψαμένοις ῥᾷον αὐτοῖς ὑπακούσεται.
else having-helped-subdue more-easily to-them will-submit

70.1 γενομένης δ' ἐν χερσὶ τῆς μάχης ἐπὶ πολὺ ἀντεῖχον
having-come and to hands the battle for long they-held-out
ἀλλήλοις, καὶ ξυνέβη βροντάς τε ἅμα τινὰς
against-each-other and it-happened thunders both at-the-same-time some
γενέσθαι καὶ ἀστραπὰς καὶ ὕδωρ πολύ, ὥστε τοῖς μὲν
to-occur and lightnings and rain heavy so-that to-the indeed
πρῶτον μαχομένοις καὶ ἐλάχιστα πολέμῳ ὡμιληκόσι καὶ
first fighting and least with-war acquainted also
τοῦτο ξυνεπιλαβέσθαι τοῦ φόβου, τοῖς δ' ἐμπειροτέροις τὰ
this to-add of-the fear to-the and more-experienced the
μὲν γιγνόμενα καὶ ὥρᾳ ἔτους περαίνεσθαι δοκεῖν, τοὺς δὲ
indeed happenings also by-season of-year to-be-produced to-seem the and
ἀνθεστῶτας πολὺ μείζω ἔκπληξιν μὴ νικωμένους παρέχειν.
resisting much greater alarm not being-beaten to-cause
70.2 ὠσαμένων δὲ τῶν Ἀργείων πρῶτον τὸ εὐώνυμον κέρας
having-pushed-back and the Argives first the left wing
τῶν Συρακοσίων καὶ μετ' αὐτοὺς τῶν Ἀθηναίων τὸ κατὰ
of-the Syracusans and after them the Athenians the opposite
σφᾶς αὐτούς, παρερρήγνυτο ἤδη καὶ τὸ ἄλλο στράτευμα
them selves broke already also the rest army
τῶν Συρακοσίων καὶ ἐς φυγὴν κατέστη.
of-the Syracusans and into flight turned
70.3 καὶ ἐπὶ πολὺ μὲν οὐκ ἐδίωξαν οἱ Ἀθηναῖοι (οἱ γὰρ ἱππῆς
and for far indeed not pursued the Athenians the for cavalry
τῶν Συρακοσίων πολλοὶ ὄντες καὶ ἀήσσητοι εἶργον, καὶ
of-the Syracusans many being and unbeaten prevented and
ἐσβαλόντες ἐς τοὺς ὁπλίτας αὐτῶν, εἴ τινας προδιώκοντας
having-charged into the hoplites of-them if any pursuing-ahead
ἴδοιεν, ἀνέστελλον), ἐπακολουθήσαντες δὲ ἀθρόοι ὅσον
they-saw they-checked having-followed but in-a-body as-far-as
ἀσφαλῶς εἶχε πάλιν ἐπανεχώρουν καὶ τροπαῖον ἵστασαν.
safely it-was back withdrew and trophy set-up

οἱ δὲ Συρακόσιοι ἀθροισθέντες ἐς τὴν Ἑλωρίνην ὁδὸν 70.4
the and Syracusans having-gathered on the Helorine road
καὶ ὡς ἐκ τῶν παρόντων ξυνταξάμενοι ἔς τε τὸ
and as from the present-circumstances having-formed-up to both —
Ὀλυμπιεῖον ὅμως σφῶν αὐτῶν παρέπεμψαν φυλακήν,
Olympieum nevertheless of-them selves sent garrison
δείσαντες μὴ οἱ Ἀθηναῖοι τῶν χρημάτων ἃ ἦν αὐτόθι
having-feared lest the Athenians of-the treasures which were there
κινήσωσι, καὶ οἱ λοιποὶ ἐπανεχώρησαν ἐς τὴν πόλιν.
should-disturb and the rest withdrew to the city
οἱ δὲ Ἀθηναῖοι πρὸς μὲν τὸ ἱερὸν οὐκ ἦλθον, ξυγκομίσαντες 71.1
the and Athenians to indeed the temple not went having-collected
δὲ τοὺς ἑαυτῶν νεκροὺς καὶ ἐπὶ πυρὰν ἐπιθέντες ηὐλίσαντο
but the their-own dead and on pyre having-placed bivouacked
αὐτοῦ. τῇ δ' ὑστεραίᾳ τοῖς μὲν Συρακοσίοις ἀπέδοσαν
there on-the and next-day to-the indeed Syracusans they-gave-back
ὑποσπόνδους τοὺς νεκρούς (ἀπέθανον δὲ αὐτῶν καὶ
under-truce the dead died and of-them and
τῶν ξυμμάχων περὶ ἑξήκοντα καὶ διακοσίους), τῶν δὲ
of-the allies about sixty and two-hundred of-the and
σφετέρων τὰ ὀστᾶ ξυνέλεξαν (ἀπέθανον δὲ αὐτῶν καὶ
their-own the bones they-collected died and of-them and
τῶν ξυμμάχων ὡς πεντήκοντα), καὶ τὰ τῶν πολεμίων
of-the allies about fifty and the of-the enemy
σκῦλα ἔχοντες ἀπέπλευσαν ἐς Κατάνην·
spoils having sailed-away to Catana
χειμών τε γὰρ ἦν, καὶ τὸν πόλεμον αὐτόθεν ποιεῖσθαι οὔπω 71.2
winter both for it-was and the war from-there to-wage not-yet
ἐδόκει δυνατὸν εἶναι, πρὶν ἂν ἱππέας τε μεταπέμψωσιν ἐκ
seemed possible to-be before — cavalry both they-should-send-for from
τῶν Ἀθηνῶν καὶ ἐκ τῶν αὐτόθεν ξυμμάχων ἀγείρωσιν,
— Athens and from the there allies they-should-collect

ὅπως μὴ παντάπασιν ἱπποκρατῶνται, καὶ χρήματα δὲ
so-that not utterly they-be-outmatched-in-cavalry and money and
ἅμα αὐτόθεν τε ξυλλέξωνται καὶ παρ᾽ Ἀθηναίων
at-the-same-time from-there both they-collect and from Athenians
ἔλθῃ, τῶν τε πόλεών τινας προσαγάγωνται, ἃς ἤλπιζον
it-come of-the both cities some they-win-over which they-hoped
μετὰ τὴν μάχην μᾶλλον σφῶν ὑπακούσεσθαι, τά τε ἄλλα
after the battle more them to-obey the both rest
καὶ σῖτον καὶ ὅσων δέοι παρασκευάσωνται ὡς ἐς τὸ
and grain and whatever was-needed they-provide as in the
ἔαρ ἐπιχειρήσοντες ταῖς Συρακούσαις.
spring going-to-attack — Syracuse

XIX · SYRACUSE REORGANIZES

The Syracusans bury their dead and hold an assembly. Hermocrates tells them that their courage did not fail them but their want of discipline did, with fifteen generals and an army untrained. He urges them to elect a few generals with full powers and to arm and drill the citizens through the winter. They elect three, Hermocrates, Heracleides, and Sicanus, and send envoys to Corinth and Sparta, asking for an alliance and for the Spartans to make open war on Athens, so that Athens must withdraw from Sicily or send it less help.

72.1 καὶ οἱ μὲν ταύτῃ τῇ γνώμῃ ἀπέπλευσαν ἐς τὴν
and they indeed with-this the intention sailed-away to —
Νάξον καὶ Κατάνην διαχειμάσοντες, Συρακόσιοι δὲ τοὺς
Naxos and Catana going-to-winter Syracusans and the
σφετέρους αὐτῶν νεκροὺς θάψαντες ἐκκλησίαν ἐποίουν.
their-own of-them dead having-buried assembly held

καὶ παρελθὼν αὐτοῖς Ἑρμοκράτης ὁ Ἕρμωνος, ἀνὴρ καὶ 72.2
and having-come-forward to-them Hermocrates the son-of-Hermon a-man both
ἐς τἆλλα ξύνεσιν οὐδενὸς λειπόμενος καὶ κατὰ τὸν πόλεμον
in the-rest intelligence to-none inferior and in the war
ἐμπειρίᾳ τε ἱκανὸς γενόμενος καὶ ἀνδρείᾳ ἐπιφανής,
in-experience both able having-proved and in-courage distinguished
ἐθάρσυνέ τε καὶ οὐκ εἴα τῷ γεγενημένῳ ἐνδιδόναι·
encouraged both and not allowed to-the event to-give-way
τὴν μὲν γὰρ γνώμην αὐτῶν οὐχ ἡσσῆσθαι, τὴν δὲ 72.3
the indeed for spirit of-them not to-have-been-beaten the but
ἀταξίαν βλάψαι. οὐ μέντοι τοσοῦτόν γε λειφθῆναι
disorder to-have-harmed not however so-much at-least to-have-been-outdone
ὅσον εἰκὸς εἶναι, ἄλλως τε καὶ τοῖς πρώτοις τῶν Ἑλλήνων
as likely to-be otherwise both and with-the first of-the Greeks
ἐμπειρίᾳ ἰδιώτας ὡς εἰπεῖν χειροτέχναις ἀνταγωνισαμένους.
in-experience amateurs so to-speak against-craftsmen having-contended
μέγα δὲ βλάψαι καὶ τὸ πλῆθος τῶν στρατηγῶν καὶ τὴν 72.4
greatly and to-have-harmed also the number of-the generals and the
πολυαρχίαν (ἦσαν γὰρ πέντε καὶ δέκα οἱ στρατηγοὶ
multiplicity-of-command were for five and ten the generals
αὐτοῖς) τῶν τε πολλῶν τὴν ἀξύντακτον ἀναρχίαν. ἢν
for-them of-the and many the undisciplined anarchy if
δὲ ὀλίγοι τε στρατηγοὶ γένωνται ἔμπειροι καὶ ἐν τῷ
but few both generals be experienced and in the
χειμῶνι τούτῳ παρασκευάσωσι τὸ ὁπλιτικόν, οἷς τε
winter this they-prepare the hoplite-force to-whom and
ὅπλα μὴ ἔστιν ἐκπορίζοντες, ὅπως ὡς πλεῖστοι ἔσονται,
arms not are providing so-that as most there-will-be
καὶ τῇ ἄλλῃ μελέτῃ προσαναγκάζοντες, ἔφη κατὰ τὸ
and in-the other training compelling he-said by the
εἰκὸς κρατήσειν σφᾶς τῶν ἐναντίων, ἀνδρείας μὲν σφίσιν
likely to-overcome them the opponents courage indeed to-them

ὑπαρχούσης, εὐταξίας δ' ἐς τὰ ἔργα προσγενομένης·
existing good-order and for the actions added
ἐπιδώσειν γὰρ ἀμφότερα αὐτά, τὴν μὲν μετὰ κινδύνων
to-advance for both them the-one indeed with dangers
μελετωμένην, τὴν δ' εὐψυχίαν αὐτὴν ἑαυτῆς μετὰ τοῦ
being-practiced the-other and courage itself than-itself with the
πιστοῦ τῆς ἐπιστήμης θαρσαλεωτέραν ἔσεσθαι.
confidence of-the skill bolder to-be
72.5 τούς τε στρατηγοὺς καὶ ὀλίγους καὶ αὐτοκράτορας
the and generals both few and with-full-powers
χρῆναι ἑλέσθαι καὶ ὁμόσαι αὐτοῖς τὸ ὅρκιον ἢ μὴν
it-was-necessary to-choose and to-swear to-them the oath truly indeed
ἐάσειν ἄρχειν ὅπῃ ἂν ἐπίστωνται· οὕτω γὰρ ἄ τε
to-allow to-command however — they-know so for what both
κρύπτεσθαι δεῖ μᾶλλον ἂν στέγεσθαι καὶ τἆλλα κατὰ
to-be-concealed must more — to-be-kept-secret and the-rest in
κόσμον καὶ ἀπροφασίστως παρασκευασθῆναι.
order and without-excuses to-be-prepared
73.1 καὶ οἱ Συρακόσιοι αὐτοῦ ἀκούσαντες ἐψηφίσαντό τε
and the Syracusans him having-heard voted both
πάντα ὡς ἐκέλευε καὶ στρατηγὸν αὐτόν τε εἵλοντο τὸν
all as he-advised and general him both they-chose —
Ἑρμοκράτη καὶ Ἡρακλείδην τὸν Λυσιμάχου καὶ Σικανὸν
Hermocrates and Heracleides the son-of-Lysimachus and Sicanus
τὸν Ἐξηκέστου, τούτους τρεῖς,
the son-of-Execestus these three
73.2 καὶ ἐς τὴν Κόρινθον καὶ ἐς τὴν Λακεδαίμονα πρέσβεις
and to — Corinth and to — Lacedaemon envoys
ἀπέστειλαν, ὅπως ξυμμαχία τε αὐτοῖς παραγένηται καὶ τὸν
they-sent so-that alliance both for-them might-come and the
πρὸς Ἀθηναίους πόλεμον βεβαιότερον πείθωσι ποιεῖσθαι
against Athenians war more-firmly they-might-persuade to-wage

ἐκ τοῦ προφανοῦς ὑπὲρ σφῶν τοὺς Λακεδαιμονίους,
from the open on-behalf-of them the Lacedaemonians
ἵνα ἢ ἀπὸ τῆς Σικελίας ἀπαγάγωσιν αὐτοὺς ἢ πρὸς τὸ
so-that either from — Sicily they-might-draw-off them or to the
ἐν Σικελίᾳ στράτευμα ἧσσον ὠφελίαν ἄλλην ἐπιπέμπωσιν.
in Sicily army less help other they-might-send

XX · THE WINTER BEFORE CAMARINA

The Athenian army at Catana sails at once for Messene, which it expects to be betrayed, but Alcibiades has warned the friends of Syracuse there, and the plot fails. The Athenians winter at Naxos and send to Athens for money and cavalry. The Syracusans build a wall along the whole front facing Epipolae, so that the city cannot easily be walled off, fortify Megara and the Olympieum, and drive stakes into the shore. They march on the Athenian camp at Catana, burn the tents, and return. Both sides send envoys to Camarina, and Hermocrates speaks first to the Camarinaean assembly, meaning to discredit the Athenians in advance.

τὸ δ' ἐν τῇ Κατάνῃ στράτευμα τῶν Ἀθηναίων ἔπλευσεν 74.1
the and at — Catana army of-the Athenians sailed
εὐθὺς ἐπὶ Μεσσήνην ὡς προδοθησομένην. καὶ ἃ μὲν
at-once to Messene as going-to-be-betrayed and what indeed
ἐπράσσετο οὐκ ἐγένετο· Ἀλκιβιάδης γὰρ ὅτ' ἀπῄει
was-being-negotiated not happened Alcibiades for when he-was-leaving
ἐκ τῆς ἀρχῆς ἤδη μετάπεμπτος, ἐπιστάμενος ὅτι
from the command now recalled knowing that
φεύξοιτο, μηνύει τοῖς τῶν Συρακοσίων φίλοις τοῖς ἐν
he-would-be-exiled discloses to-the of-the Syracusans friends the in
τῇ Μεσσήνῃ ξυνειδὼς τὸ μέλλον· οἱ δὲ τούς τε ἄνδρας
— Messene being-privy-to the intended they and the both men
διέφθειραν πρότερον καὶ τότε στασιάζοντες καὶ ἐν ὅπλοις
killed before and then rising-in-faction and in arms

ὄντες ἐπεκράτουν μὴ δέχεσθαι τοὺς Ἀθηναίους οἱ ταῦτα
being prevailed not to-receive the Athenians those these-things
βουλόμενοι.
wishing

74.2 ἡμέρας δὲ μείναντες περὶ τρεῖς καὶ δέκα οἱ Ἀθηναῖοι ὡς
days and having-stayed about three and ten the Athenians as
ἐχειμάζοντο καὶ τὰ ἐπιτήδεια οὐκ εἶχον καὶ προυχώρει
they-were-storm-beaten and the supplies not they-had and succeeded
οὐδέν, ἀπελθόντες ἐς Νάξον καὶ ὅρια καὶ σταυρώματα
nothing having-gone-off to Naxos and boundaries and stockades
περὶ τὸ στρατόπεδον ποιησάμενοι αὐτοῦ διεχείμαζον· καὶ
around the camp having-made there wintered and
τριήρη ἀπέστειλαν ἐς τὰς Ἀθήνας ἐπί τε χρήματα καὶ
a-trireme they-sent to — Athens for both money and
ἱππέας, ὅπως ἅμα τῷ ἦρι παραγένωνται.
cavalry so-that together-with the spring they-may-arrive

75.1 ἐτείχιζον δὲ καὶ οἱ Συρακόσιοι ἐν τῷ χειμῶνι πρός
walled and also the Syracusans in the winter by
τε τῇ πόλει, τὸν Τεμενίτην ἐντὸς ποιησάμενοι, τεῖχος
both the city — Temenites inside having-taken wall
παρὰ πᾶν τὸ πρὸς τὰς Ἐπιπολὰς ὁρῶν, ὅπως μὴ δι᾽
along all the toward — Epipolae facing so-that not within
ἐλάσσονος εὐαποτείχιστοι ὦσιν, ἢν ἄρα σφάλλωνται, καὶ
less easily-walled-off they-be if after-all they-fail and
τὰ Μέγαρα φρούριον, καὶ ἐν τῷ Ὀλυμπιείῳ ἄλλο· καὶ τὴν
— Megara a-fort and at — Olympieum another and the
θάλασσαν προυσταύρωσαν πανταχῇ ᾗ ἀποβάσεις ἦσαν.
sea staked everywhere where landings were

75.2 καὶ τοὺς Ἀθηναίους εἰδότες ἐν τῇ Νάξῳ χειμάζοντας
and the Athenians knowing at — Naxos wintering
ἐστράτευσαν πανδημεὶ ἐπὶ τὴν Κατάνην, καὶ τῆς τε
marched in-full-force against — Catana and of-the both

γῆς αὐτῶν ἔτεμον καὶ τὰς τῶν Ἀθηναίων σκηνὰς καὶ
land of-them ravaged and the of-the Athenians tents and
τὸ στρατόπεδον ἐμπρήσαντες ἀνεχώρησαν ἐπ᾽ οἴκου.
the camp having-burned withdrew to home
καὶ πυνθανόμενοι τοὺς Ἀθηναίους ἐς τὴν Καμάριναν κατὰ 75.3
and learning the Athenians to — Camarina by
τὴν ἐπὶ Λάχητος γενομένην ξυμμαχίαν πρεσβεύεσθαι,
the in-the-time-of Laches made alliance to-send-envoys
εἴ πως προσαγάγοιντο αὐτούς, ἀντεπρεσβεύοντο καὶ αὐτοί·
if somehow they-might-win-over them sent-counter-envoys also themselves
ἦσαν γὰρ ὕποπτοι αὐτοῖς οἱ Καμαριναῖοι μὴ προθύμως
were for suspect to-them the Camarinaeans not eagerly
σφίσι μήτ᾽ ἐπὶ τὴν πρώτην μάχην πέμψαι ἃ ἔπεμψαν,
to-them either for the first battle to-have-sent what they-sent
ἔς τε τὸ λοιπὸν μὴ οὐκέτι βούλωνται ἀμύνειν, ὁρῶντες
for both the future lest no-longer they-wish to-help seeing
τοὺς Ἀθηναίους ἐν τῇ μάχῃ εὖ πράξαντας, προσχωρῶσι
the Athenians in the battle well having-fared they-go-over
δ᾽ αὐτοῖς κατὰ τὴν προτέραν φιλίαν πεισθέντες.
and to-them by the former friendship persuaded
ἀφικομένων οὖν ἐκ μὲν Συρακουσῶν Ἑρμοκράτους καὶ 75.4
having-arrived then from indeed Syracuse Hermocrates and
ἄλλων ἐς τὴν Καμάριναν, ἀπὸ δὲ τῶν Ἀθηναίων Εὐφήμου
others at — Camarina from and the Athenians Euphemus
μεθ᾽ ἑτέρων, ὁ Ἑρμοκράτης ξυλλόγου γενομένου τῶν
with others — Hermocrates meeting having-been-held of-the
Καμαριναίων βουλόμενος προδιαβάλλειν τοὺς Ἀθηναίους
Camarinaeans wishing to-discredit-beforehand the Athenians
ἔλεγε τοιάδε.
said as-follows

XXI · HERMOCRATES AT CAMARINA

Hermocrates tells the Camarinaeans that the Syracusans have come not because they fear the Athenian force will dismay Camarina but to warn them against Athens' words. Athens claims to restore Leontini while it holds the Chalcidians of Euboea in slavery. It took its empire by subduing the Ionians and others who followed it against the Mede, and it now comes for Sicily on the same pretexts. The Sicilians must stand together as Dorians and free men and not be taken one city at a time. If Camarina lets Syracuse fall, its own turn will follow. If the Athenians win, Camarina will serve them, and if Syracuse wins, it will have to face Syracuse's lasting enmity.

76.1 Οὐ τὴν παροῦσαν δύναμιν τῶν Ἀθηναίων, ὦ Καμαριναῖοι,
not the present force of-the Athenians O Camarinaeans
μὴ αὐτὴν καταπλαγῆτε δείσαντες ἐπρεσβευσάμεθα, ἀλλὰ
lest it you-be-dismayed-at fearing we-came-as-envoys but
μᾶλλον τοὺς μέλλοντας ἀπ' αὐτῶν λόγους, πρίν τι
rather the coming from them words before anything
καὶ ἡμῶν ἀκοῦσαι, μὴ ὑμᾶς πείσωσιν.
also from-us to-hear lest you they-persuade

76.2 ἥκουσι γὰρ ἐς τὴν Σικελίαν προφάσει μὲν ἧ
they-have-come for to — Sicily on-pretext indeed which
πυνθάνεσθε, διανοίᾳ δὲ ἣν πάντες ὑπονοοῦμεν· καί
you-hear-of with-intention but which all we-suspect and
μοι δοκοῦσιν οὐ Λεοντίνους βούλεσθαι κατοικίσαι, ἀλλ'
to-me they-seem not Leontines to-wish to-restore but
ἡμᾶς μᾶλλον ἐξοικίσαι. οὐ γὰρ δὴ εὔλογον τὰς μὲν
us rather to-dispossess not for indeed reasonable the indeed
ἐκεῖ πόλεις ἀναστάτους ποιεῖν, τὰς δὲ ἐνθάδε κατοικίζειν,
there cities depopulated to-make the but here to-resettle
καὶ Λεοντίνων μὲν Χαλκιδέων ὄντων κατὰ τὸ ξυγγενὲς
and of-Leontines indeed Chalcidians being by the kinship

κήδεσθαι, Χαλκιδέας δὲ τοὺς ἐν Εὐβοίᾳ, ὧν οἵδε
to-care-for Chalcidians but the in Euboea of-whom these
ἄποικοί εἰσι, δουλωσαμένους ἔχειν.
colonists are having-enslaved to-hold
τῇ δὲ αὐτῇ ἰδέᾳ ἐκεῖνά τε ἔσχον καὶ τὰ ἐνθάδε 76.3
by-the and same method those-things both they-got and the here
νῦν πειρῶνται· ἡγεμόνες γὰρ γενόμενοι ἑκόντων τῶν τε
now they-attempt leaders for having-become willing the both
Ἰώνων καὶ ὅσοι ἀπὸ σφῶν ἦσαν ξύμμαχοι ὡς ἐπὶ
Ionians and as-many-as from them were allies as for
τοῦ Μήδου τιμωρίᾳ, τοὺς μὲν λιποστρατίαν, τοὺς δὲ
the Mede vengeance the-ones indeed desertion the-others and
ἐπ᾽ ἀλλήλους στρατεύειν, τοῖς δ᾽ ὡς ἑκάστοις τινὰ
against each-other to-march the-others and as against-each some
εἶχον αἰτίαν εὐπρεπῆ ἐπενεγκόντες κατεστρέψαντο.
they-had charge plausible having-brought they-subdued
καὶ οὐ περὶ τῆς ἐλευθερίας ἄρα οὔτε οὗτοι τῶν Ἑλλήνων 76.4
and not for the freedom after-all neither these of-the Greeks
οὔθ᾽ οἱ Ἕλληνες τῆς ἑαυτῶν τῷ Μήδῳ ἀντέστησαν, περὶ
nor the Greeks of-the their-own the Mede withstood for
δὲ οἱ μὲν σφίσιν ἀλλὰ μὴ ἐκείνῳ καταδουλώσεως,
but the-ones indeed to-themselves but not to-him enslavement
οἱ δ᾽ ἐπὶ δεσπότου μεταβολῇ οὐκ ἀξυνετωτέρου,
the-others and for of-master change not more-stupid
κακοξυνετωτέρου δέ.
more-maliciously-clever but
‘Ἀλλ᾽ οὐ γὰρ δὴ τὴν τῶν Ἀθηναίων εὐκατηγόρητον 77.1
but not for indeed the of-the Athenians easy-to-accuse
οὖσαν πόλιν νῦν ἥκομεν ἀποφανοῦντες ἐν εἰδόσιν
being city now we-have-come going-to-show among knowing
ὅσα ἀδικεῖ, πολὺ δὲ μᾶλλον ἡμᾶς αὐτοὺς αἰτιασόμενοι
how-much it-wrongs much but more us selves going-to-blame

ὅτι ἔχοντες παραδείγματα τῶν τ᾽ ἐκεῖ Ἑλλήνων ὡς
that having examples of-the both there Greeks how
ἐδουλώθησαν οὐκ ἀμύνοντες σφίσιν αὐτοῖς, καὶ νῦν ἐφ᾽
they-were-enslaved not defending for-them selves and now against
ἡμᾶς ταὐτὰ παρόντα σοφίσματα, Λεοντίνων τε ξυγγενῶν
us the-same present sophistries of-Leontines both kinsmen
κατοικίσεις καὶ Ἐγεσταίων ξυμμάχων ἐπικουρίας, οὐ
restorations and of-Egestaeans allies aid not
ξυστραφέντες βουλόμεθα προθυμότερον δεῖξαι αὐτοῖς ὅτι
having-rallied we-wish more-eagerly to-show them that
οὐκ Ἴωνες τάδε εἰσὶν οὐδ᾽ Ἑλλησπόντιοι καὶ νησιῶται, οἳ
not Ionians these are nor Hellespontines and islanders who
δεσπότην ἢ Μῆδον ἢ ἕνα γέ τινα αἰεὶ μεταβάλλοντες
master either Mede or one at-least some always changing
δουλοῦνται, ἀλλὰ Δωριῆς ἐλεύθεροι ἀπ᾽ αὐτονόμου τῆς
are-enslaved but Dorians free from independent —
Πελοποννήσου τὴν Σικελίαν οἰκοῦντες.
Peloponnese — Sicily inhabiting

77.2 ἢ μένομεν ἕως ἂν ἕκαστοι κατὰ πόλεις ληφθῶμεν, εἰδότες
or are-we-waiting until — each by cities we-are-taken knowing
ὅτι ταύτῃ μόνον ἁλωτοί ἐσμεν καὶ ὁρῶντες αὐτοὺς ἐπὶ
that in-this-way only conquerable we-are and seeing them to
τοῦτο τὸ εἶδος τρεπομένους ὥστε τοὺς μὲν λόγοις ἡμῶν
this the method turning so-that the-ones indeed by-words of-us
διστάναι, τοὺς δὲ ξυμμάχων ἐλπίδι ἐκπολεμοῦν πρὸς
to-divide the-others and of-allies by-hope to-set-at-war with
ἀλλήλους, τοῖς δὲ ὡς ἑκάστοις τι προσηνὲς λέγοντες
each-other to-the-others and as to-each something pleasing saying
δύνανται κακουργεῖν; καὶ οἰόμεθα τοῦ ἄπωθεν ξυνοίκου
they-are-able to-do-harm and do-we-think the far-off neighbor

προαπολλυμένου οὐ καὶ ἐς αὐτόν τινα ἥξειν τὸ δεινόν, πρὸ
perishing-first not also to himself anyone to-come the danger before
δὲ αὐτοῦ μᾶλλον τὸν πάσχοντα καθ᾽ ἑαυτὸν δυστυχεῖν;
but him rather the sufferer by himself to-be-unfortunate
καὶ εἴ τῳ ἄρα παρέστηκε τὸν μὲν Συρακόσιον, ἑαυτὸν 78.1
and if to-anyone after-all it-has-occurred the indeed Syracusan himself
δ᾽ οὐ πολέμιον εἶναι τῷ Ἀθηναίῳ, καὶ δεινὸν ἡγεῖται
but not enemy to-be to-the Athenian and hard thinks
ὑπέρ γε τῆς ἐμῆς κινδυνεύειν, ἐνθυμηθήτω οὐ περὶ
for at-least the mine to-risk let-him-consider not for
τῆς ἐμῆς μᾶλλον, ἐν ἴσῳ δὲ καὶ τῆς ἑαυτοῦ ἅμα
the mine more in equal but also the his-own at-the-same-time
ἐν τῇ ἐμῇ μαχούμενος, τοσούτῳ δὲ καὶ ἀσφαλέστερον
in the mine going-to-fight by-so-much and also more-safely
ὅσῳ οὐ προδιεφθαρμένου ἐμοῦ, ἔχων δὲ ξύμμαχον ἐμὲ
inasmuch-as not destroyed-beforehand me having and ally me
καὶ οὐκ ἐρῆμος ἀγωνιεῖται· τόν τε Ἀθηναῖον μὴ τὴν τοῦ
and not alone he-will-contend the and Athenian not the of-the
Συρακοσίου ἔχθραν κολάσασθαι, τῇ δ᾽ ἐμῇ προφάσει
Syracusan enmity to-punish by-the but my pretext
τὴν ἐκείνου φιλίαν οὐχ ἧσσον βεβαιώσασθαι βούλεσθαι.
the his friendship not less to-secure to-wish
εἴ τέ τις φθονεῖ μὲν ἢ καὶ φοβεῖται (ἀμφότερα γὰρ 78.2
if and anyone envies indeed or also fears both for
τάδε πάσχει τὰ μείζω) διὰ δὲ αὐτὰ τὰς Συρακούσας
these-things suffer the greater because-of and these-things — Syracuse
κακωθῆναι μὲν ἵνα σωφρονισθῶμεν βούλεται, περιγενέσθαι
to-be-harmed indeed so-that we-may-be-chastened wishes to-survive
δὲ ἕνεκα τῆς αὑτοῦ ἀσφαλείας, οὐκ ἀνθρωπίνης δυνάμεως
and for-the-sake of-the his-own safety not human power

βούλησιν ἐλπίζει· οὐ γὰρ οἷόν τε ἅμα τῆς τε
wish he-hopes not for possible — at-the-same-time of-the both
ἐπιθυμίας καὶ τῆς τύχης τὸν αὐτὸν ὁμοίως ταμίαν γενέσθαι.
desire and of-the fortune the same alike steward to-be
78.3 καὶ εἰ γνώμῃ ἁμάρτοι, τοῖς αὑτοῦ κακοῖς ὀλοφυρθεὶς τάχ᾽
and if in-judgment he-should-err for-the his-own ills lamenting perhaps
ἂν ἴσως καὶ τοῖς ἐμοῖς ἀγαθοῖς ποτὲ βουληθείη αὖθις
— maybe also the my good-things sometime would-wish again
φθονῆσαι. ἀδύνατον δὲ προεμένῳ καὶ μὴ τοὺς αὐτοὺς
to-envy impossible but for-one-having-abandoned and not the same
κινδύνους οὐ περὶ τῶν ὀνομάτων, ἀλλὰ περὶ τῶν ἔργων,
dangers not about the names but about the realities
ἐθελήσαντι προσλαβεῖν· λόγῳ μὲν γὰρ τὴν ἡμετέραν
for-one-having-been-willing to-take-on in-word indeed for the our
δύναμιν σῴζοι ἄν τις, ἔργῳ δὲ τὴν αὑτοῦ σωτηρίαν.
power would-preserve — one in-deed but the his-own safety
78.4 καὶ μάλιστα εἰκὸς ἦν ὑμᾶς, ὦ Καμαριναῖοι, ὁμόρους
and most likely was you O Camarinaeans neighbors
ὄντας καὶ τὰ δεύτερα κινδυνεύσοντας προορᾶσθαι αὐτὰ
being and the next going-to-be-in-danger to-foresee these-things
καὶ μὴ μαλακῶς ὥσπερ νῦν ξυμμαχεῖν, αὐτοὺς δὲ πρὸς
and not slackly as now to-ally yourselves but to
ἡμᾶς μᾶλλον ἰόντας, ἅπερ ἂν εἰ ἐς τὴν Καμαριναίαν
us rather coming which-very — if to — Camarinaean-land
πρῶτον ἀφίκοντο οἱ Ἀθηναῖοι δεόμενοι ἂν ἐπεκαλεῖσθε,
first had-come the Athenians begging — you-would-have-called-for
ταῦτα ἐκ τοῦ ὁμοίου καὶ νῦν παρακελευομένους ὅπως
these-things on the same-footing also now urging so-that
μηδὲν ἐνδώσομεν φαίνεσθαι. ἀλλ᾽ οὔθ᾽ ὑμεῖς νῦν γέ πω
nothing we-yield to-appear but neither you now at-least yet
οὔθ᾽ οἱ ἄλλοι ἐπὶ ταῦτα ὥρμησθε.
nor the others to these-things have-been-roused

‘Δειλίᾳ δὲ ἴσως τὸ δίκαιον πρός τε ἡμᾶς καὶ πρὸς 79.1
from-cowardice and perhaps the just toward both us and toward
τοὺς ἐπιόντας θεραπεύσετε, λέγοντες ξυμμαχίαν εἶναι
the invaders you-will-court saying alliance to-be
ὑμῖν πρὸς Ἀθηναίους· ἥν γε οὐκ ἐπὶ τοῖς φίλοις
for-you with Athenians which at-least not against the friends
ἐποιήσασθε, τῶν δὲ ἐχθρῶν ἤν τις ἐφ’ ὑμᾶς ἴῃ, καὶ
you-made of-the but enemies if any against you come and
τοῖς γε Ἀθηναίοις βοηθεῖν, ὅταν ὑπ’ ἄλλων καὶ μὴ
to-the at-least Athenians to-help whenever by others and not
αὐτοὶ ὥσπερ νῦν τοὺς πέλας ἀδικῶσιν,
themselves as now the neighbors they-wrong
ἐπεὶ οὐδ’ οἱ Ῥηγῖνοι ὄντες Χαλκιδῆς Χαλκιδέας ὄντας 79.2
since not-even the Rhegians being Chalcidians Chalcidians being
Λεοντίνους ἐθέλουσι ξυγκατοικίζειν. καὶ δεινὸν εἰ ἐκεῖνοι
Leontines are-willing to-help-restore and strange if they
μὲν τὸ ἔργον τοῦ καλοῦ δικαιώματος ὑποπτεύοντες
indeed the reality of-the fine justification suspecting
ἀλόγως σωφρονοῦσιν, ὑμεῖς δ’ εὐλόγῳ προφάσει τοὺς
without-reason are-prudent you but with-reasonable pretext the-ones
μὲν φύσει πολεμίους βούλεσθε ὠφελεῖν, τοὺς δὲ ἔτι
indeed by-nature enemies wish to-help the-others and still
μᾶλλον φύσει ξυγγενεῖς μετὰ τῶν ἐχθίστων διαφθεῖραι.
more by-nature kinsmen with the bitterest-enemies to-destroy
ἀλλ’ οὐ δίκαιον, ἀμύνειν δὲ καὶ μὴ φοβεῖσθαι τὴν παρασκευὴν 79.3
but not just to-resist but and not to-fear the armament
αὐτῶν· οὐ γὰρ ἢν ἡμεῖς ξυστῶμεν πάντες δεινή ἐστιν,
of-them not for if we unite all terrible it-is
ἀλλ’ ἤν, ὅπερ οὗτοι σπεύδουσι, τἀναντία διαστῶμεν, ἐπεὶ
but if which-very these strive-for the-opposite we-split-apart since

οὐδὲ πρὸς ἡμᾶς μόνους ἐλθόντες καὶ μάχῃ περιγενόμενοι
not-even against us alone having-come and in-battle having-prevailed
ἔπραξαν ἃ ἐβούλοντο, ἀπῆλθον δὲ διὰ τάχους.
they-achieved what they-wished they-went-away but in haste
80.1 ὥστε οὐχ ἁθρόους γε ὄντας εἰκὸς ἀθυμεῖν, ἰέναι δὲ ἐς τὴν
so-that not united at-least being likely to-lose-heart to-go but into the
ξυμμαχίαν προθυμότερον, ἄλλως τε καὶ ἀπὸ Πελοποννήσου
alliance more-eagerly otherwise both and from Peloponnese
παρεσομένης ὠφελίας, οἳ τῶνδε κρείσσους εἰσὶ τὸ
going-to-come help who than-these better are the
παράπαν τὰ πολέμια· καὶ μὴ ἐκείνην τὴν προμηθίαν δοκεῖν
altogether the war-matters and not that the forethought to-seem
τῳ ἡμῖν μὲν ἴσην εἶναι, ὑμῖν δὲ ἀσφαλῆ, τὸ μηδετέροις
to-anyone to-us indeed fair to-be to-you and safe the to-neither
δὴ ὡς καὶ ἀμφοτέρων ὄντας ξυμμάχους βοηθεῖν.
indeed as also of-both being allies to-help
80.2 οὐ γὰρ ἔργῳ ἴσον ὥσπερ τῷ δικαιώματί ἐστιν. εἰ γὰρ
not for in-fact equal as in-the plea it-is if for
δι᾽ ὑμᾶς μὴ ξυμμαχήσαντας ὅ τε παθὼν σφαλήσεται
because-of you not having-allied the both sufferer will-fall
καὶ ὁ κρατῶν περιέσται, τί ἄλλο ἢ τῇ αὐτῇ ἀπουσίᾳ
and the victor will-prevail what else than by-the same absence
τοῖς μὲν οὐκ ἠμύνατε σωθῆναι, τοὺς δὲ οὐκ ἐκωλύσατε
the-ones indeed not you-helped to-be-saved the-others and not you-prevented
κακοὺς γενέσθαι; καίτοι κάλλιον τοῖς ἀδικουμένοις καὶ
evil to-become and-yet finer to-the wronged and
ἅμα ξυγγενέσι προσθεμένους τήν τε κοινὴν ὠφελίαν
at-the-same-time kinsmen having-joined the both common good
τῇ Σικελίᾳ φυλάξαι καὶ τοὺς Ἀθηναίους φίλους δὴ
— for-Sicily to-guard and the Athenians friends indeed
ὄντας μὴ ἐâσαι ἁμαρτεῖν.
being not to-allow to-err

‘Ξυνελόντες τε λέγομεν οἱ Συρακόσιοι ἐκδιδάσκειν μὲν 80.3
in-sum and we-say the Syracusans to-explain indeed
οὐδὲν ἔργον εἶναι σαφῶς οὔτε ὑμᾶς οὔτε τοὺς ἄλλους
no task to-be clearly neither you nor the others
περὶ ὧν αὐτοὶ οὐδὲν χεῖρον γιγνώσκετε· δεόμεθα
about what yourselves no worse you-know we-beg
δὲ καὶ μαρτυρόμεθα ἅμα, εἰ μὴ πείσομεν,
but and protest at-the-same-time if not we-will-persuade
ὅτι ἐπιβουλευόμεθα μὲν ὑπὸ Ἰώνων αἰεὶ πολεμίων,
that we-are-plotted-against indeed by Ionians always enemies
προδιδόμεθα δὲ ὑπὸ ὑμῶν Δωριῆς Δωριῶν.
we-are-betrayed and by you Dorians by-Dorians
καὶ εἰ καταστρέψονται ἡμᾶς Ἀθηναῖοι, ταῖς μὲν ὑμετέραις 80.4
and if will-subdue us Athenians by-the indeed your
γνώμαις κρατήσουσι, τῷ δ’ αὑτῶν ὀνόματι τιμηθήσονται,
decisions they-will-prevail by-the but their-own name they-will-be-honored
καὶ τῆς νίκης οὐκ ἄλλον τινὰ ἆθλον ἢ τὸν τὴν νίκην
and of-the victory not other any prize than the the victory
παρασχόντα λήψονται· καὶ εἰ αὖ ἡμεῖς περιεσόμεθα, τῆς
having-supplied they-will-take and if again we will-prevail of-the
αἰτίας τῶν κινδύνων οἱ αὐτοὶ τὴν τιμωρίαν ὑφέξετε.
cause of-the dangers the same the punishment you-will-undergo
σκοπεῖτε οὖν καὶ αἱρεῖσθε ἤδη ἢ τὴν αὐτίκα ἀκινδύνως 80.5
consider then and choose now either the immediate without-danger
δουλείαν ἢ κἂν περιγενόμενοι μεθ’ ἡμῶν τούσδε τε μὴ
slavery or even having-prevailed with us these both not
αἰσχρῶς δεσπότας λαβεῖν καὶ τὴν πρὸς ἡμᾶς ἔχθραν μὴ
shamefully masters to-take and the toward us enmity not
ἂν βραχεῖαν γενομένην διαφυγεῖν.’
— brief having-become to-escape

Euphemus, the Athenian envoy, replies. Athens rules its subjects with good reason, he says. As Ionians it fears the Dorians of the Peloponnese, it held the largest fleet in the Persian war, and its subjects followed the Mede against it. Athens comes to Sicily for its own security, not to enslave. Strong and independent friends there are useful to Athens, because they keep Syracuse too busy to help the Peloponnesians, and it is Syracuse that seeks to rule the island. Athens acts on interest in its friendships, as any power with an empire must. Camarina should accept Athenian help, since Athens cannot stay in Sicily without its allies, while Syracuse, its neighbor, is always to be feared.

81.1 τοιαῦτα μὲν ὁ Ἑρμοκράτης εἶπεν. ὁ δ' Εὔφημος ὁ
such indeed — Hermocrates said — and Euphemus the
τῶν Ἀθηναίων πρεσβευτὴς μετ' αὐτὸν τοιάδε.
of-the Athenians envoy after him as-follows

82.1 Ἀφικόμεθα μὲν ἐπὶ τῆς πρότερον οὔσης ξυμμαχίας
we-came indeed for of-the before existing alliance
ἀνανεώσει, τοῦ δὲ Συρακοσίου καθαψαμένου ἀνάγκη καὶ
renewal the but Syracusan having-attacked necessity also
περὶ τῆς ἀρχῆς εἰπεῖν ὡς εἰκότως ἔχομεν.
about the empire to-speak how reasonably we-hold-it

82.2 τὸ μὲν οὖν μέγιστον μαρτύριον αὐτὸς εἶπεν, ὅτι οἱ
the indeed then greatest evidence he-himself stated that the
Ἴωνες αἰεί ποτε πολέμιοι τοῖς Δωριεῦσιν εἰσίν. ἔχει
Ionians always ever enemies to-the Dorians are it-is
δὲ καὶ οὕτως· ἡμεῖς γὰρ Ἴωνες ὄντες Πελοποννησίοις
and also so we for Ionians being to-Peloponnesians
Δωριεῦσι καὶ πλέοσιν οὖσι καὶ παροικοῦσιν ἐσκεψάμεθα
Dorians both more being and dwelling-near we-considered
ὅτῳ τρόπῳ ἥκιστα αὐτῶν ὑπακουσόμεθα,
in-what way least them we-will-obey

καὶ μετὰ τὰ Μηδικὰ ναῦς κτησάμενοι τῆς μὲν 82.3
and after the Persian-Wars ships having-acquired of-the indeed
Λακεδαιμονίων ἀρχῆς καὶ ἡγεμονίας ἀπηλλάγημεν, οὐδὲν
of-Lacedaemonians rule and leadership we-got-free nothing
προσῆκον μᾶλλόν τι ἐκείνους ἡμῖν ἢ καὶ ἡμᾶς ἐκείνοις
fitting more at-all them to-us than also us to-them
ἐπιτάσσειν, πλὴν καθ' ὅσον ἐν τῷ παρόντι μεῖζον
to-give-orders except in so-far-as at the present more
ἴσχυον, αὐτοὶ δὲ τῶν ὑπὸ βασιλεῖ πρότερον ὄντων
they-were-strong ourselves and of-those under king before being
ἡγεμόνες καταστάντες οἰκοῦμεν, νομίσαντες ἥκιστ' ἂν
leaders having-become we-dwell thinking least —
ὑπὸ Πελοποννησίοις οὕτως εἶναι, δύναμιν ἔχοντες ᾗ
under Peloponnesians thus to-be power having by-which
ἀμυνούμεθα, καὶ ἐς τὸ ἀκριβὲς εἰπεῖν οὐδὲ ἀδίκως
we-will-defend-ourselves and to the exact to-speak nor unjustly
καταστρεψάμενοι τούς τε Ἴωνας καὶ νησιώτας, οὓς
having-subdued the both Ionians and islanders whom
ξυγγενεῖς φασὶν ὄντας ἡμᾶς Συρακόσιοι δεδουλῶσθαι.
kinsmen say being us Syracusans to-have-enslaved
ἦλθον γὰρ ἐπὶ τὴν μητρόπολιν ἐφ' ἡμᾶς μετὰ τοῦ 82.4
they-came for against the mother-city against us with the
Μήδου καὶ οὐκ ἐτόλμησαν ἀποστάντες τὰ οἰκεῖα φθεῖραι,
Mede and not they-dared having-revolted the homes to-destroy
ὥσπερ ἡμεῖς ἐκλιπόντες τὴν πόλιν, δουλείαν δὲ αὐτοί
as we having-abandoned the city slavery but themselves
τε ἐβούλοντο καὶ ἡμῖν τὸ αὐτὸ ἐπενεγκεῖν.
both wished and on-us the same to-bring
ἀνθ' ὧν ἄξιοί τε ὄντες ἅμα ἄρχομεν, ὅτι 83.1
for which worthy both being at-the-same-time we-rule because
τε ναυτικὸν πλεῖστόν τε καὶ προθυμίαν ἀπροφάσιστον
and navy largest both and zeal unhesitating

παρεσχόμεθα ἐς τοὺς Ἕλληνας, καὶ διότι καὶ τῷ Μήδῳ
we-provided to the Greeks and because also for-the Mede
ἑτοίμως τοῦτο δρῶντες οὗτοι ἡμᾶς ἔβλαπτον, ἅμα
readily this doing these us harmed at-the-same-time
δὲ τῆς πρὸς Πελοποννησίους ἰσχύος ὀρεγόμενοι.
and the against Peloponnesians strength reaching-for

83.2 καὶ οὐ καλλιεπούμεθα ὡς ἢ τὸν βάρβαρον μόνοι
and not we-use-fine-words that either the barbarian alone
καθελόντες εἰκότως ἄρχομεν ἢ ἐπ' ἐλευθερίᾳ τῇ τῶνδε
having-overthrown justly we-rule or for freedom the of-these
μᾶλλον ἢ τῶν ξυμπάντων τε καὶ τῇ ἡμετέρᾳ αὐτῶν
rather than of-the all both and the our own
κινδυνεύσαντες. πᾶσι δὲ ἀνεπίφθονον τὴν προσήκουσαν
having-run-risks to-all but blameless the fitting
σωτηρίαν ἐκπορίζεσθαι. καὶ νῦν τῆς ἡμετέρας ἀσφαλείας
safety to-provide and now of-the our security
ἕνεκα καὶ ἐνθάδε παρόντες ὁρῶμεν καὶ ὑμῖν ταὐτὰ
for-the-sake also here being-present we-see also for-you the-same
ξυμφέροντα.
advantageous

83.3 ἀποφαίνομεν δὲ ἐξ ὧν οἵδε τε διαβάλλουσι καὶ ὑμεῖς
we-show and from what these both slander and you
μάλιστα ἐπὶ τὸ φοβερώτερον ὑπονοεῖτε, εἰδότες τοὺς
most toward the more-fearful suspect knowing those
περιδεῶς ὑποπτεύοντάς τι λόγου μὲν ἡδονῇ τὸ
anxiously suspecting something of-speech indeed by-pleasure the
παραυτίκα τερπομένους, τῇ δ' ἐγχειρήσει ὕστερον τὰ
moment delighted in-the but undertaking later the
ξυμφέροντα πράσσοντας.
advantageous doing

τήν τε γὰρ ἐκεῖ ἀρχὴν εἰρήκαμεν διὰ δέος ἔχειν 83.4
the both for there empire we-have-said because-of fear to-hold
καὶ τὰ ἐνθάδε διὰ τὸ αὐτὸ ἥκειν μετὰ τῶν φίλων
and the here because-of the same to-come with the friends
ἀσφαλῶς καταστησόμενοι, καὶ οὐ δουλωσόμενοι, μὴ παθεῖν
safely going-to-settle and not going-to-enslave not to-suffer
δὲ μᾶλλον τοῦτο κωλύσοντες.
but rather this going-to-prevent
Ὑπολάβῃ δὲ μηδεὶς ὡς οὐδὲν προσῆκον ὑμῶν κηδόμεθα, 84.1
let-suppose and no-one that nothing fitting for-you we-care
γνοὺς ὅτι σῳζομένων ὑμῶν καὶ διὰ τὸ μὴ ἀσθενεῖς ὑμᾶς
knowing that being-preserved you and because-of the not weak you
ὄντας ἀντέχειν Συρακοσίοις ἧσσον ἂν τούτων πεμψάντων
being to-hold-out against-Syracusans less — these having-sent
τινὰ δύναμιν Πελοποννησίοις ἡμεῖς βλαπτοίμεθα.
some force to-Peloponnesians we would-be-harmed
καὶ ἐν τούτῳ προσήκετε ἤδη ἡμῖν τὰ μέγιστα. διόπερ 84.2
and in this you-concern now us the most wherefore
καὶ τοὺς Λεοντίνους εὔλογον κατοικίζειν μὴ ὑπηκόους
also the Leontines reasonable to-restore not subjects
ὥσπερ τοὺς ξυγγενεῖς αὐτῶν τοὺς ἐν Εὐβοίᾳ, ἀλλ' ὡς
like the kinsmen of-them the in Euboea but as
δυνατωτάτους, ἵνα ἐκ τῆς σφετέρας ὅμοροι ὄντες τοῖσδε
most-powerful so-that from the their-own neighbors being to-these
ὑπὲρ ἡμῶν λυπηροὶ ὦσιν.
on-behalf-of us troublesome they-may-be
τὰ μὲν γὰρ ἐκεῖ καὶ αὐτοὶ ἀρκοῦμεν πρὸς τοὺς πολεμίους, 84.3
the indeed for there also ourselves we-suffice against the enemies
καὶ ὁ Χαλκιδεύς, ὃν ἀλόγως ἡμᾶς φησὶ δουλωσαμένους
and the Chalcidian whom unreasonably us he-says having-enslaved
τοὺς ἐνθάδε ἐλευθεροῦν, ξύμφορος ἡμῖν ἀπαράσκευος ὢν
those here to-free advantageous to-us unarmed being

καὶ χρήματα μόνον φέρων, τὰ δὲ ἐνθάδε καὶ Λεοντῖνοι
and money only paying the but here both Leontines
καὶ οἱ ἄλλοι φίλοι ὅτι μάλιστα αὐτονομούμενοι.
and the other friends as much-as-possible being-independent

85.1 ἀνδρὶ δὲ τυράννῳ ἢ πόλει ἀρχὴν ἐχούσῃ οὐδὲν ἄλογον
for-a-man and tyrant or for-a-city empire having nothing unreasonable
ὅτι ξυμφέρον οὐδ' οἰκεῖον ὅτι μὴ πιστόν· πρὸς
whatever advantageous nor kin whatever not trustworthy in
ἕκαστα δὲ δεῖ ἢ ἐχθρὸν ἢ φίλον μετὰ καιροῦ
each-case and one-must either enemy or friend with occasion
γίγνεσθαι. καὶ ἡμᾶς τοῦτο ὠφελεῖ ἐνθάδε, οὐκ ἢν τοὺς
to-be and us this benefits here not if the
φίλους κακώσωμεν, ἀλλ' ἢν οἱ ἐχθροὶ διὰ τὴν τῶν
friends we-weaken but if the enemies because-of the of-the
φίλων ῥώμην ἀδύνατοι ὦσιν.
friends strength powerless be

85.2 ἀπιστεῖν δὲ οὐ χρή· καὶ γὰρ τοὺς ἐκεῖ ξυμμάχους ὡς
to-disbelieve and not one-must also for the there allies as
ἕκαστοι χρήσιμοι ἐξηγούμεθα, Χίους μὲν καὶ Μηθυμναίους
each useful we-lead Chians indeed and Methymnaeans
νεῶν παροκωχῇ αὐτονόμους, τοὺς δὲ πολλοὺς χρημάτων
by-ships' provision independent the but many of-money
βιαιότερον φορᾷ, ἄλλους δὲ καὶ πάνυ ἐλευθέρως
more-forcibly by-payment others and even quite freely
ξυμμαχοῦντας, καίπερ νησιώτας ὄντας καὶ εὐλήπτους,
allied although islanders being and easy-to-take
διότι ἐν χωρίοις ἐπικαίροις εἰσὶ περὶ τὴν Πελοπόννησον.
because in places strategic they-are around — Peloponnese

85.3 ὥστε καὶ τἀνθάδε εἰκὸς πρὸς τὸ λυσιτελοῦν, καὶ ὃ
so-that also the-here likely toward the profitable and which
λέγομεν, ἐς Συρακοσίους δέος καθίστασθαι. ἀρχῆς γὰρ
we-say as-to Syracusans fear to-be-arranged empire for

ἐφίενται ὑμῶν καὶ βούλονται ἐπὶ τῷ ἡμετέρῳ ξυστήσαντες
they-aim-at over-you and wish on the our having-united
ὑμᾶς ὑπόπτῳ, βίᾳ ἢ καὶ κατ᾽ ἐρημίαν, ἀπράκτων ἡμῶν
you suspected by-force or also through isolation unsuccessful we
ἀπελθόντων, αὐτοὶ ἄρξαι τῆς Σικελίας. ἀνάγκη δέ, ἢν
having-departed themselves to-rule — Sicily necessary and if
ξυστῆτε πρὸς αὐτούς· οὔτε γὰρ ἡμῖν ἔτι ἔσται ἰσχὺς
you-unite with them neither for for-us any-longer will-be strength
τοσαύτη ἐς ἓν ξυστᾶσα εὐμεταχείριστος, οὔθ᾽ οἵδ᾽ ἀσθενεῖς
so-great into one united easy-to-handle nor these weak
ἂν ἡμῶν μὴ παρόντων πρὸς ὑμᾶς εἶεν.
— we not being-present against you would-be
καὶ ὅτῳ ταῦτα μὴ δοκεῖ, αὐτὸ τὸ ἔργον ἐλέγχει. τὸ γὰρ 86.1
and to-whom these-things not seem the-very the fact refutes the for
πρότερον ἡμᾶς ἐπηγάγεσθε οὐκ ἄλλον τινὰ προσείοντες
former us you-called-in not other any holding-out
φόβον ἤ, εἰ περιοψόμεθα ὑμᾶς ὑπὸ Συρακοσίοις γενέσθαι,
fear than if we-will-overlook you under Syracusans to-become
ὅτι καὶ αὐτοὶ κινδυνεύσομεν.
that also ourselves we-will-be-in-danger
καὶ νῦν οὐ δίκαιον, ᾧπερ καὶ ἡμᾶς ἠξιοῦτε λόγῳ 86.2
and now not just by-which-very also us you-thought-fit by-argument
πείθειν, τῷ αὐτῷ ἀπιστεῖν, οὐδ᾽ ὅτι δυνάμει μείζονι πρὸς
to-persuade the same to-distrust nor because with-force greater against
τὴν τῶνδε ἰσχὺν πάρεσμεν ὑποπτεύεσθαι, πολὺ δὲ μᾶλλον
the of-these strength we-are-here to-be-suspected much but more
τοῖσδε ἀπιστεῖν.
these to-distrust
ἡμεῖς μέν γε οὔτε ἐμμεῖναι δυνατοὶ μὴ μεθ᾽ ὑμῶν, εἴ τε καὶ 86.3
we indeed at-least neither to-remain able not with you if and even
γενόμενοι κακοὶ κατεργασαίμεθα, ἀδύνατοι κατασχεῖν διὰ
having-become wicked we-should-subdue unable to-hold because-of

μῆκός τε πλοῦ καὶ ἀπορίᾳ φυλακῆς πόλεων μεγάλων καὶ
length both of-voyage and by-inability of-guarding cities great and
τῇ παρασκευῇ ἠπειρωτίδων· οἵδε δὲ οὐ στρατοπέδῳ, πόλει
in-the armament of-continental these but not with-an-army with-a-city
δὲ μείζονι τῆς ἡμετέρας παρουσίας ἐποικοῦντες ὑμῖν αἰεί
but greater than-the our presence living-next-to you always
τε ἐπιβουλεύουσι καὶ ὅταν καιρὸν λάβωσιν ἑκάστου,
both plot and whenever opportunity they-get of-each
86.4 οὐκ ἀνιᾶσιν (ἔδειξαν δὲ καὶ ἄλλα ἤδη καὶ τὰ
not let-go they-have-shown and also other-things already and the
ἐς Λεοντίνους), καὶ νῦν τολμῶσιν ἐπὶ τοὺς ταῦτα
toward Leontines and now they-dare against the these-things
κωλύοντας καὶ ἀνέχοντας τὴν Σικελίαν μέχρι τοῦδε μὴ
preventing and holding-up — Sicily until this not
ὑπ᾽ αὐτοὺς εἶναι παρακαλεῖν ὑμᾶς ὡς ἀναισθήτους.
under them to-be to-summon you as unperceiving
86.5 πολὺ δὲ ἐπὶ ἀληθεστέραν γε σωτηρίαν ἡμεῖς
much but to truer at-least safety we
ἀντιπαρακαλοῦμεν, δεόμενοι τὴν ὑπάρχουσαν ἀπ᾽ ἀλλήλων
invite-in-turn begging the existing from each-other
ἀμφοτέροις μὴ προδιδόναι, νομίσαι δὲ τοῖσδε μὲν καὶ
for-both not to-betray to-reckon and for-these indeed even
ἄνευ ξυμμάχων αἰεὶ ἐφ᾽ ὑμᾶς ἑτοίμην διὰ τὸ πλῆθος
without allies always against you ready because-of the number
εἶναι ὁδόν, ὑμῖν δ᾽ οὐ πολλάκις παρασχήσειν μετὰ
to-be way for-you but not often to-be-offered with
τοσῆσδε ἐπικουρίας ἀμύνασθαι· ἢν εἰ τῷ ὑπόπτῳ
so-great help to-defend-yourselves which if by-the suspicion
ἢ ἄπρακτον ἐάσετε ἀπελθεῖν ἢ καὶ σφαλεῖσαν, ἔτι
either unsuccessful you-allow to-depart or even having-failed still

βουλήσεσθε καὶ πολλοστὸν μόριον αὐτῆς ἰδεῖν, ὅτε οὐδὲν
you-will-wish even tiniest portion of-it to-see when nothing
ἔτι περανεῖ παραγενόμενον ὑμῖν.
still it-will-accomplish having-come for-you
87.1 Ἀλλὰ μήτε ὑμεῖς, ὦ Καμαριναῖοι, ταῖς τῶνδε διαβολαῖς
but neither you O Camarinaeans by-the of-these slanders
ἀναπείθεσθε μήτε οἱ ἄλλοι· εἰρήκαμεν δ' ὑμῖν πᾶσαν τὴν
be-persuaded nor the others we-have-told and you all the
ἀλήθειαν περὶ ὧν ὑποπτευόμεθα, καὶ ἔτι ἐν κεφαλαίοις
truth about what we-are-suspected and still in summary
ὑπομνήσαντες ἀξιώσομεν πείθειν.
having-reminded we-will-claim to-persuade
87.2 φαμὲν γὰρ ἄρχειν μὲν τῶν ἐκεῖ, ἵνα μὴ ὑπακούωμεν ἄλλου,
we-say for to-rule indeed those there so-that not we-obey another
ἐλευθεροῦν δὲ τὰ ἐνθάδε, ὅπως μὴ ὑπ' αὐτῶν βλαπτώμεθα,
to-free and the here so-that not by them we-may-be-harmed
πολλὰ δ' ἀναγκάζεσθαι πράσσειν, διότι καὶ πολλὰ
many-things and to-be-compelled to-do because also many-things
φυλασσόμεθα, ξύμμαχοι δὲ καὶ νῦν καὶ πρότερον τοῖς ἐνθάδε
we-guard-against allies and both now and before to-those here
ὑμῶν ἀδικουμένοις οὐκ ἄκλητοι, παρακληθέντες δὲ ἥκειν.
of-you being-wronged not uninvited having-been-called but to-have-come
87.3 καὶ ὑμεῖς μήθ' ὡς δικασταὶ γενόμενοι τῶν ἡμῖν ποιουμένων
and you neither as judges having-become of-the by-us being-done
μήθ' ὡς σωφρονισταί, ὃ χαλεπὸν ἤδη, ἀποτρέπειν
nor as correctors which hard now to-turn-aside
πειρᾶσθε, καθ' ὅσον δέ τι ὑμῖν τῆς ἡμετέρας
try in so-far-as but somewhat for-you of-the our
πολυπραγμοσύνης καὶ τρόπου τὸ αὐτὸ ξυμφέρει, τούτῳ
meddlesomeness and character the same is-advantageous this

ἀπολαβόντες χρήσασθε, καὶ νομίσατε μὴ πάντας ἐν ἴσῳ
having-taken make-use and consider not all in equal
βλάπτειν αὐτά, πολὺ δὲ πλείους τῶν Ἑλλήνων καὶ ὠφελεῖν·
to-harm them much but more of-the Greeks even to-benefit
87.4 ἐν παντὶ γὰρ πᾶς χωρίῳ, καὶ ᾧ μὴ ὑπάρχομεν, ὅ τε
in every for everyone place even where not we-are-present the both
οἰόμενος ἀδικήσεσθαι καὶ ὁ ἐπιβουλεύων διὰ τὸ ἑτοίμην
expecting to-be-wronged and the plotting because-of the ready
ὑπεῖναι ἐλπίδα τῷ μὲν ἀντιτυχεῖν ἐπικουρίας ἀφ᾽
to-be-at-hand hope to-the-one indeed to-obtain help from
ἡμῶν, τῷ δὲ εἰ ἥξομεν, μὴ ἀδεεῖ εἶναι κινδυνεύειν,
us to-the-other and if we-will-come not fearless to-be to-run-risks
ἀμφότεροι ἀναγκάζονται ὁ μὲν ἄκων σωφρονεῖν,
both are-compelled the-one indeed unwilling to-be-moderate
ὁ δ᾽ ἀπραγμόνως σῴζεσθαι.
the-other and without-trouble to-be-saved
87.5 ταύτην οὖν τὴν κοινὴν τῷ τε δεομένῳ καὶ ὑμῖν νῦν
this then the common for-the both one-in-need and for-you now
παροῦσαν ἀσφάλειαν μὴ ἀπώσησθε, ἀλλ᾽ ἐξισώσαντες
present security not reject but having-made-yourselves-equal
τοῖς ἄλλοις μεθ᾽ ἡμῶν τοῖς Συρακοσίοις, ἀντὶ τοῦ
to-the others with us against-the Syracusans instead-of the
αἰεὶ φυλάσσεσθαι αὐτούς, καὶ ἀντεπιβουλεῦσαί ποτε ἐκ
always to-guard-against them also to-plot-in-turn sometime from
τοῦ ὁμοίου μεταλάβετε.᾽
the equal take-your-turn

XXIII · ALCIBIADES REACHES SPARTA

The Camarinaeans are well disposed to Athens but fear Syracuse, so they answer that they will help neither side. The Athenians win over most of the Sicels, collect grain and money, and winter at Catana, sending to Carthage and Tyrrhenia for friendship. The Syracusan envoys reach Corinth, which votes to help them and sends envoys with them to Sparta. There Alcibiades, who has come from Cyllene under safe-conduct, urges the Spartans on beside the Corinthians and the Syracusans, while the ephors are minded only to send envoys to Syracuse.

τοιαῦτα δὲ ὁ Εὔφημος εἶπεν. οἱ δὲ Καμαριναῖοι 88.1
such and — Euphemus said the and Camarinaeans
ἐπεπόνθεσαν τοιόνδε. τοῖς μὲν Ἀθηναίοις εὖνοι ἦσαν,
had-been-affected thus to-the indeed Athenians well-disposed were
πλὴν καθ' ὅσον τὴν Σικελίαν ᾤοντο αὐτοὺς δουλώσεσθαι,
except in so-far-as — Sicily they-thought them to-enslave
τοῖς δὲ Συρακοσίοις αἰεὶ κατὰ τὸ ὅμορον διάφοροι·
to-the and Syracusans always by the neighborhood at-odds
δεδιότες δ' οὐχ ἧσσον τοὺς Συρακοσίους ἐγγὺς ὄντας
fearing but not less the Syracusans near being
μὴ καὶ ἄνευ σφῶν περιγένωνται, τό τε πρῶτον αὐτοῖς
lest even without them they-prevail the both first to-them
τοὺς ὀλίγους ἱππέας ἔπεμψαν καὶ τὸ λοιπὸν ἐδόκει αὐτοῖς
the few cavalry they-sent and the future it-seemed to-them
ὑπουργεῖν μὲν τοῖς Συρακοσίοις μᾶλλον ἔργῳ, ὡς ἂν
to-serve indeed the Syracusans rather in-deed as —
δύνωνται μετριώτατα, ἐν δὲ τῷ παρόντι, ἵνα μηδὲ τοῖς
they-can most-moderately in and the present so-that nor to-the
Ἀθηναίοις ἔλασσον δοκῶσι νεῖμαι, ἐπειδὴ καὶ ἐπικρατέστεροι
Athenians less they-seem to-give since also more-successful
τῇ μάχῃ ἐγένοντο, λόγῳ ἀποκρίνασθαι ἴσα ἀμφοτέροις.
in-the battle they-had-been in-word to-answer equally to-both

88.2 καὶ οὕτω βουλευσάμενοι ἀπεκρίναντο, ἐπειδὴ τυγχάνει
and so having-deliberated they-answered since it-happens
ἀμφοτέροις οὖσι ξυμμάχοις σφῶν πρὸς ἀλλήλους πόλεμος
to-both being allies of-them with each-other war
ὤν, εὔορκον δοκεῖν εἶναι σφίσιν ἐν τῷ παρόντι
being consistent-with-oaths to-seem to-be to-them in the present
μηδετέροις ἀμύνειν. καὶ οἱ πρέσβεις ἑκατέρων ἀπῆλθον.
neither to-help and the envoys of-each went-away

88.3 καὶ οἱ μὲν Συρακόσιοι τὰ καθ' ἑαυτοὺς ἐξηρτύοντο ἐς τὸν
and the indeed Syracusans the for themselves prepared for the
πόλεμον, οἱ δ' Ἀθηναῖοι ἐν τῇ Νάξῳ ἐστρατοπεδευμένοι
war the and Athenians at — Naxos encamped
τὰ πρὸς τοὺς Σικελοὺς ἔπρασσον ὅπως αὐτοῖς ὡς
the with the Sicels negotiated so-that to-them as
πλεῖστοι προσχωρήσονται.
most will-come-over

88.4 καὶ οἱ μὲν πρὸς τὰ πεδία μᾶλλον τῶν Σικελῶν
and the-ones indeed toward the plains rather of-the Sicels
ὑπήκοοι ὄντες τῶν Συρακοσίων οἱ πολλοὶ ἀφειστήκεσαν·
subjects being of-the Syracusans the most had-revolted
τῶν δὲ τὴν μεσόγειαν ἐχόντων αὐτόνομοι οὖσαι καὶ
of-those and the interior holding independent being also
πρότερον αἰεὶ αἱ οἰκήσεις εὐθὺς πλὴν ὀλίγοι μετὰ
before always the settlements at-once except few with
τῶν Ἀθηναίων ἦσαν, καὶ σῖτόν τε κατεκόμιζον τῷ
the Athenians were and grain both they-brought-down to-the
στρατεύματι καὶ εἰσὶν οἳ καὶ χρήματα.
army and there-are who also money

88.5 ἐπὶ δὲ τοὺς μὴ προσχωροῦντας οἱ Ἀθηναῖοι στρατεύοντες
against and those not coming-over the Athenians marching
τοὺς μὲν προσηνάγκαζον, τοὺς δὲ καὶ ὑπὸ τῶν
the-ones indeed forced the-others and also by the

Συρακοσίων φρουρούς τε πεμπόντων καὶ βοηθούντων
Syracusans garrisons both sending and helping
ἀπεκωλύοντο. τόν τε χειμῶνα μεθορμισάμενοι ἐκ τῆς
were-prevented the and winter having-shifted-anchorage from —
Νάξου ἐς τὴν Κατάνην καὶ τὸ στρατόπεδον ὃ κατεκαύθη
Naxos to — Catana and the camp which was-burned
ὑπὸ τῶν Συρακοσίων αὖθις ἀνορθώσαντες διεχείμαζον.
by the Syracusans again having-rebuilt they-wintered
καὶ ἔπεμψαν μὲν ἐς Καρχηδόνα τριήρη περὶ φιλίας, 88.6
and they-sent indeed to Carthage a-trireme about friendship
εἰ δύναιντό τι ὠφελεῖσθαι, ἔπεμψαν δὲ καὶ ἐς
if they-could at-all to-be-helped they-sent and also to
Τυρσηνίαν, ἔστιν ὧν πόλεων ἐπαγγελλομένων καὶ
Tyrrhenia there-are of-which cities offering also
αὐτῶν ξυμπολεμεῖν. περιήγγελλον δὲ καὶ τοῖς Σικελοῖς
themselves to-join-in-war they-sent-round-word and also to-the Sicels
καὶ ἐς τὴν Ἔγεσταν πέμψαντες ἐκέλευον ἵππους σφίσιν
and to — Egesta having-sent they-bade horses to-them
ὡς πλείστους πέμπειν, καὶ τἆλλα ἐς τὸν περιτειχισμόν,
as many-as-possible to-send and the-rest for the circumvallation
πλινθία καὶ σίδηρον, ἡτοίμαζον, καὶ ὅσα ἔδει, ὡς
bricks and iron they-prepared and whatever was-needed as
ἅμα τῷ ἦρι ἐξόμενοι τοῦ πολέμου.
together-with the spring going-to-take-up the war
οἱ δ' ἐς τὴν Κόρινθον καὶ Λακεδαίμονα τῶν Συρακοσίων 88.7
the and to — Corinth and Lacedaemon of-the Syracusans
ἀποσταλέντες πρέσβεις τούς τε Ἰταλιώτας ἅμα
sent envoys the both Italiots at-the-same-time
παραπλέοντες ἐπειρῶντο πείθειν μὴ περιορᾶν τὰ γιγνόμενα
coasting-along tried to-persuade not to-overlook the things-done
ὑπὸ τῶν Ἀθηναίων, ὡς καὶ ἐκείνοις ὁμοίως ἐπιβουλευόμενα,
by the Athenians as also against-them alike being-plotted

καὶ ἐπειδὴ ἐν τῇ Κορίνθῳ ἐγένοντο, λόγους ἐποιοῦντο
and when at — Corinth they-were speeches made
ἀξιοῦντες σφίσι κατὰ τὸ ξυγγενὲς βοηθεῖν.
asking them by the kinship to-help

88.8 καὶ οἱ Κορίνθιοι εὐθὺς ψηφισάμενοι αὐτοὶ πρῶτοι ὥστε πάσῃ
and the Corinthians at-once having-voted themselves first so-as with-all
προθυμίᾳ ἀμύνειν, καὶ ἐς τὴν Λακεδαίμονα ξυναπέστελλον
zeal to-help also to — Lacedaemon sent-along
αὐτοῖς πρέσβεις, ὅπως καὶ ἐκείνους ξυναναπείθοιεν τόν τε
with-them envoys so-that also them they-might-help-persuade the both
αὐτοῦ πόλεμον σαφέστερον ποιεῖσθαι πρὸς τοὺς Ἀθηναίους
there war more-openly to-wage against the Athenians
καὶ ἐς τὴν Σικελίαν ὠφελίαν τινὰ πέμπειν.
and to — Sicily help some to-send

88.9 καὶ οἵ τε ἐκ τῆς Κορίνθου πρέσβεις παρῆσαν ἐς τὴν
and the both from — Corinth envoys were-present at —
Λακεδαίμονα καὶ Ἀλκιβιάδης μετὰ τῶν ξυμφυγάδων
Lacedaemon and Alcibiades with the fellow-exiles
περαιωθεὶς τότ᾽ εὐθὺς ἐπὶ πλοίου φορτηγικοῦ ἐκ τῆς
having-crossed then at-once on a-boat cargo from —
Θουρίας ἐς Κυλλήνην τῆς Ἠλείας πρῶτον, ἔπειτα
Thurian-land to Cyllene — of-Elis first then
ὕστερον ἐς τὴν Λακεδαίμονα αὐτῶν τῶν Λακεδαιμονίων
later to — Lacedaemon the-very the Lacedaemonians
μεταπεμψάντων ὑπόσπονδος ἐλθών· ἐφοβεῖτο γὰρ αὐτοὺς
having-summoned under-safe-conduct having-come be-feared for them
διὰ τὴν περὶ τῶν Μαντινικῶν πρᾶξιν.
because-of the about the Mantinean-affairs action

88.10 καὶ ξυνέβη ἐν τῇ ἐκκλησίᾳ τῶν Λακεδαιμονίων τούς
and it-happened in the assembly of-the Lacedaemonians the
τε Κορινθίους καὶ τοὺς Συρακοσίους τὰ αὐτὰ καὶ τὸν
both Corinthians and the Syracusans the same-things and —

Ἀλκιβιάδην δεομένους πείθειν τοὺς Λακεδαιμονίους. καὶ
Alcibiades asking to-persuade the Lacedaemonians and
διανοουμένων τῶν τε ἐφόρων καὶ τῶν ἐν τέλει ὄντων
intending the both ephors and those in office being
πρέσβεις πέμπειν ἐς Συρακούσας κωλύοντας μὴ ξυμβαίνειν
envoys to-send to Syracuse preventing not to-come-to-terms
Ἀθηναίοις, βοηθεῖν δὲ οὐ προθύμων ὄντων, παρελθὼν
with-Athenians to-help but not eager being having-come-forward
ὁ Ἀλκιβιάδης παρώξυνέ τε τοὺς Λακεδαιμονίους καὶ
— *Alcibiades stirred both the Lacedaemonians and*
ἐξώρμησε λέγων τοιάδε.
roused saying as-follows

XXIV · ALCIBIADES' SPEECH AT SPARTA

Alcibiades first answers the charges against him. He had renewed the proxeny his ancestors renounced and served Sparta after Pylos, and he turned against it only when it made peace through his enemies. He led the people because his family had always opposed tyranny, and he calls democracy an acknowledged folly. Athens sailed, he says, to conquer Sicily, then Italy and Carthage, and then to fall on the Peloponnese with mercenaries and a greater fleet. Sparta must send an army and a Spartiate commander to Sicily and fortify Decelea in Attica, which Athens fears most. An exile who works to recover his country is no traitor, and if they use him, he will serve them as well as he harmed them.

‘Ἀναγκαῖον περὶ τῆς ἐμῆς διαβολῆς πρῶτον ἐς ὑμᾶς 89.1
necessary about the my slander first to you
εἰπεῖν, ἵνα μὴ χεῖρον τὰ κοινὰ τῷ ὑπόπτῳ μου
to-speak so-that not worse the common-matters through-the suspicion of-me
ἀκροάσησθε.
you-hear

89.2 τῶν δ' ἐμῶν προγόνων τὴν προξενίαν ὑμῶν κατά
the and my ancestors the proxeny your on-account-of
τι ἔγκλημα ἀπειπόντων αὐτὸς ἐγὼ πάλιν ἀναλαμβάνων
some grievance having-renounced myself I again taking-up
ἐθεράπευον ὑμᾶς ἄλλα τε καὶ περὶ τὴν ἐκ Πύλου
courted you other-things both and about the from Pylos
ξυμφοράν. καὶ διατελοῦντός μου προθύμου ὑμεῖς πρὸς
disaster and continuing I eager you with
Ἀθηναίους καταλλασσόμενοι τοῖς μὲν ἐμοῖς ἐχθροῖς δύναμιν
Athenians being-reconciled to-the indeed my enemies power
δι' ἐκείνων πράξαντες, ἐμοὶ δὲ ἀτιμίαν περιέθετε.
through them having-negotiated on-me but dishonor you-put
89.3 καὶ διὰ ταῦτα δικαίως ὑπ' ἐμοῦ πρός τε τὰ
and because-of these-things justly by me to both the
Μαντινέων καὶ Ἀργείων τραπομένου καὶ ὅσα ἄλλα
of-Mantineans and Argives having-turned and whatever else
ἐνηντιούμην ὑμῖν ἐβλάπτεσθε· καὶ νῦν, εἴ τις καὶ τότε
I-opposed to-you you-were-harmed and now if anyone also then
ἐν τῷ πάσχειν οὐκ εἰκότως ὠργίζετό μοι, μετὰ τοῦ
in the to-suffer not reasonably was-angry with-me with the
ἀληθοῦς σκοπῶν ἀναπειθέσθω. ἢ εἴ τις, διότι καὶ τῷ
truth considering let-him-be-persuaded or if anyone because also to-the
δήμῳ προσεκείμην μᾶλλον, χείρω με ἐνόμιζε, μηδ' οὕτως
people I-inclined more worse me thought nor thus
ἡγήσηται ὀρθῶς ἄχθεσθαι.
let-him-think rightly to-be-vexed
89.4 τοῖς γὰρ τυράννοις αἰεί ποτε διάφοροί ἐσμεν (πᾶν δὲ
to-the for tyrants always ever opposed we-are all and
τὸ ἐναντιούμενον τῷ δυναστεύοντι δῆμος ὠνόμασται),
the opposing to-the dominant people is-called
καὶ ἀπ' ἐκείνου ξυμπαρέμεινεν ἡ προστασία ἡμῖν τοῦ
and from that has-remained the leadership with-us of-the

πλήθους. ἅμα δὲ καὶ τῆς πόλεως δημοκρατουμένης
multitude at-the-same-time and also the city being-a-democracy
τὰ πολλὰ ἀνάγκη ἦν τοῖς παροῦσιν ἕπεσθαι.
the most necessary was the existing to-follow
τῆς δὲ ὑπαρχούσης ἀκολασίας ἐπειρώμεθα μετριώτεροι 89.5
than-the but prevailing license we-tried more-moderate
ἐς τὰ πολιτικὰ εἶναι. ἄλλοι δ' ἦσαν καὶ ἐπὶ τῶν πάλαι
in the politics to-be others and were both in the past
καὶ νῦν οἳ ἐπὶ τὰ πονηρότερα ἐξῆγον τὸν ὄχλον· οἵπερ
and now who to the worse led the mob who-indeed
καὶ ἐμὲ ἐξήλασαν.
also me drove-out
ἡμεῖς δὲ τοῦ ξύμπαντος προέστημεν, δικαιοῦντες ἐν ᾧ 89.6
we but of-the whole were-leaders thinking-right in which
σχήματι μεγίστη ἡ πόλις ἐτύγχανε καὶ ἐλευθερωτάτη
form greatest the city happened and freest
οὖσα καὶ ὅπερ ἐδέξατό τις, τοῦτο ξυνδιασώζειν, ἐπεὶ
being and which-very received one this to-help-preserve since
δημοκρατίαν γε καὶ ἐγιγνώσκομεν οἱ φρονοῦντές τι,
democracy at-least also we-knew those thinking at-all
καὶ αὐτὸς οὐδενὸς ἂν χεῖρον, ὅσῳ καὶ λοιδορήσαιμι.
and I-myself than-none — worse inasmuch-as also I-could-abuse-it
ἀλλὰ περὶ ὁμολογουμένης ἀνοίας οὐδὲν ἂν καινὸν λέγοιτο·
but about acknowledged folly nothing — new could-be-said
καὶ τὸ μεθιστάναι αὐτὴν οὐκ ἐδόκει ἡμῖν ἀσφαλὲς εἶναι
and the to-change it not seemed to-us safe to-be
ὑμῶν πολεμίων προσκαθημένων.
you enemies besetting-us

90.1 ‘Καὶ τὰ μὲν ἐς τὰς ἐμὰς διαβολὰς τοιαῦτα ξυνέβη· περὶ
and the indeed as-to the my slanders such happened about
δὲ ὧν ὑμῖν τε βουλευτέον καὶ ἐμοί, εἴ τι πλέον
and what for-you both must-be-deliberated and for-me if anything more
οἶδα, ἐσηγητέον, μάθετε ἤδη.
I-know must-be-proposed learn now

90.2 ἐπλεύσαμεν ἐς Σικελίαν πρῶτον μέν, εἰ δυναίμεθα,
we-sailed to Sicily first indeed if we-could
Σικελιώτας καταστρεψόμενοι, μετὰ δ’ ἐκείνους αὖθις
Sicilian-Greeks going-to-subdue after and them again
καὶ Ἰταλιώτας, ἔπειτα καὶ τῆς Καρχηδονίων ἀρχῆς καὶ
also Italiots then also of-the of-Carthaginians empire and
αὐτῶν ἀποπειράσοντες.
of-themselves going-to-make-trial

90.3 εἰ δὲ προχωρήσειε ταῦτα ἢ πάντα ἢ καὶ τὰ πλείω, ἤδη τῇ
if and should-succeed these-things either all or also the most then —
Πελοποννήσῳ ἐμέλλομεν ἐπιχειρήσειν, κομίσαντες ξύμπασαν
Peloponnese we-were-going to-attack having-brought all
μὲν τὴν ἐκεῖθεν προσγενομένην δύναμιν τῶν Ἑλλήνων,
indeed the from-there acquired power of-the Greeks
πολλοὺς δὲ βαρβάρους μισθωσάμενοι καὶ Ἴβηρας καὶ ἄλλους
many and barbarians having-hired both Iberians and others
τῶν ἐκεῖ ὁμολογουμένως νῦν βαρβάρων μαχιμωτάτους,
of-the there admittedly now barbarians most-warlike
τριήρεις τε πρὸς ταῖς ἡμετέραις πολλὰς ναυπηγησάμενοι,
triremes both besides the ours many having-built
ἐχούσης τῆς Ἰταλίας ξύλα ἄφθονα, αἷς τὴν Πελοπόννησον
having — Italy timber abundant with-which — Peloponnese
πέριξ πολιορκοῦντες καὶ τῷ πεζῷ ἅμα ἐκ γῆς
around blockading and with-the infantry at-the-same-time from land
ἐφορμαῖς τῶν πόλεων τὰς μὲν βίᾳ λαβόντες, τὰς
with-attacks of-the cities the-ones indeed by-force having-taken the-others

δ᾽ ἐντειχισάμενοι, ῥᾳδίως ἠλπίζομεν καταπολεμήσειν καὶ
and having-walled-in easily we-hoped to-subdue and
μετὰ ταῦτα καὶ τοῦ ξύμπαντος Ἑλληνικοῦ ἄρξειν.
after these-things also of-the whole Greek-world to-rule
χρήματα δὲ καὶ σῖτον, ὥστε εὐπορώτερον γίγνεσθαί τι 90.4
money and and grain so-that more-plentiful to-be anything
αὐτῶν, αὐτὰ τὰ προσγενόμενα ἐκεῖθεν χωρία ἔμελλε
of-them the-very the acquired from-there places were-going
διαρκῆ ἄνευ τῆς ἐνθένδε προσόδου παρέξειν.
sufficient without the from-here revenue to-provide
τοιαῦτα μὲν περὶ τοῦ νῦν οἰχομένου στόλου παρὰ τοῦ τὰ 91.1
such indeed about the now departed expedition from the the
ἀκριβέστατα εἰδότος ὡς διενοήθημεν ἀκηκόατε· καὶ ὅσοι
most-exactly knowing how we-intended you-have-heard and as-many-as
ὑπόλοιποι στρατηγοί, ἢν δύνωνται, ὁμοίως αὐτὰ πράξουσιν.
remaining generals if they-can likewise them will-do
ὡς δέ, εἰ μὴ βοηθήσετε οὐ περιέσται τἀκεῖ, μάθετε ἤδη.
that but if not you-help not will-survive the-things-there learn now
Σικελιῶται γὰρ ἀπειρότεροι μέν εἰσιν, ὅμως δ᾽ ἂν 91.2
Sicilian-Greeks for less-experienced indeed are nevertheless but —
ξυστραφέντες ἀθρόοι καὶ νῦν ἔτι περιγένοιντο· Συρακόσιοι
having-combined together even now still would-prevail Syracusans
δὲ μόνοι μάχῃ τε ἤδη πανδημεὶ ἡσσημένοι καὶ ναυσὶν
but alone in-battle both already in-full-force defeated and by-ships
ἅμα κατειργόμενοι ἀδύνατοι ἔσονται τῇ νῦν
at-the-same-time hemmed-in unable will-be the now
Ἀθηναίων ἐκεῖ παρασκευῇ ἀντισχεῖν.
of-Athenians there armament to-withstand

91.3 καὶ εἰ αὕτη ἡ πόλις ληφθήσεται, ἔχεται καὶ ἡ πᾶσα
and if this the city will-be-taken is-held also the whole
Σικελία, καὶ εὐθὺς καὶ Ἰταλία· καὶ ὃν ἄρτι κίνδυνον
Sicily and at-once also Italy and which just-now danger
ἐκεῖθεν προεῖπον, οὐκ ἂν διὰ μακροῦ ὑμῖν ἐπιπέσοι.
from-there I-foretold not — after long on-you would-fall

91.4 ὥστε μὴ περὶ τῆς Σικελίας τις οἰέσθω μόνον βουλεύειν,
so-that not about — Sicily anyone let-think only to-deliberate
ἀλλὰ καὶ περὶ τῆς Πελοποννήσου, εἰ μὴ ποιήσετε τάδε
but also about — Peloponnese if not you-do these-things
ἐν τάχει, στρατιάν τε ἐπὶ νεῶν πέμψετε τοιαύτην ἐκεῖσε
in haste army both on ships you-send such there
οἵτινες αὐτερέται κομισθέντες καὶ ὁπλιτεύσουσιν εὐθύς,
who rowing-themselves having-been-carried also will-serve-as-hoplites at-once
καὶ ὃ τῆς στρατιᾶς ἔτι χρησιμώτερον εἶναι νομίζω,
and what than-the army still more-useful to-be I-consider
ἄνδρα Σπαρτιάτην ἄρχοντα, ὡς ἂν τούς τε παρόντας
a-man Spartiate commander so-that — the both present
ξυντάξῃ καὶ τοὺς μὴ θέλοντας προσαναγκάσῃ· οὕτω
he-may-organize and the not willing he-may-compel thus
γὰρ οἵ τε ὑπάρχοντες ὑμῖν φίλοι θαρσήσουσι μᾶλλον καὶ
for the both existing to-you friends will-take-courage more and
οἱ ἐνδοιάζοντες ἀδεέστερον προσίασιν.
the wavering more-fearlessly will-come-over

91.5 καὶ τὰ ἐνθάδε χρὴ ἅμα φανερώτερον ἐκπολεμεῖν,
and the here one-must at-the-same-time more-openly to-wage-war
ἵνα Συρακόσιοί τε νομίζοντες ὑμᾶς ἐπιμέλεσθαι μᾶλλον
so-that Syracusans both thinking you to-care-for-them more
ἀντέχωσι καὶ Ἀθηναῖοι τοῖς ἑαυτῶν ἧσσον ἄλλην ἐπικουρίαν
may-hold-out and Athenians to-the their-own less other help
πέμπωσιν.
may-send

τειχίζειν τε χρὴ Δεκέλειαν τῆς Ἀττικῆς, ὅπερ Ἀθηναῖοι 91.6
to-fortify and one-must Decelea — of-Attica which-very Athenians
μάλιστα αἰεὶ φοβοῦνται, καὶ μόνου αὐτοῦ νομίζουσι
most always fear and alone this they-think
τῶν ἐν τῷ πολέμῳ οὐ διαπεπειρᾶσθαι. βεβαιότατα δ'
of-the in the war not to-have-experienced most-surely and
ἄν τις οὕτω τοὺς πολεμίους βλάπτοι, εἰ ἃ μάλιστα
— one thus the enemies would-harm if what most
δεδιότας αὐτοὺς αἰσθάνοιτο, ταῦτα σαφῶς πυνθανόμενος
fearing them he-should-perceive these clearly learning
ἐπιφέροι· εἰκὸς γὰρ αὐτοὺς ἀκριβέστατα ἑκάστους τὰ
he-should-bring-on likely for them most-exactly each the
σφέτερα αὐτῶν δεινὰ ἐπισταμένους φοβεῖσθαι.
their-own of-them dangers knowing to-fear
ἃ δ' ἐν τῇ ἐπιτειχίσει αὐτοὶ ὠφελούμενοι τοὺς ἐναντίους 91.7
what and in the fortification yourselves benefiting the opponents
κωλύσετε, πολλὰ παρεὶς τὰ μέγιστα κεφαλαιώσω.
you-will-prevent many-things having-passed-over the greatest I-will-sum-up
οἷς τε γὰρ ἡ χώρα κατεσκεύασται, τὰ πολλὰ πρὸς
with-which both for the country is-furnished the most to
ὑμᾶς τὰ μὲν ληφθέντα, τὰ δ' αὐτόματα ἥξει· καὶ
you the-ones indeed taken the-others and of-themselves will-come and
τὰς τοῦ Λαυρείου τῶν ἀργυρείων μετάλλων προσόδους
the — of-Laurium the silver mines revenues
καὶ ὅσα ἀπὸ γῆς καὶ δικαστηρίων νῦν ὠφελοῦνται εὐθὺς
and whatever from land and law-courts now they-gain at-once
ἀποστερήσονται, μάλιστα δὲ τῆς ἀπὸ τῶν ξυμμάχων
they-will-be-deprived-of most and of-the from the allies
προσόδου ἧσσον διαφορουμένης, οἳ τὰ παρ' ὑμῶν
revenue less coming-in who the from you
νομίσαντες ἤδη κατὰ κράτος πολεμεῖσθαι ὀλιγωρήσουσιν.
having-thought now in earnest to-be-waged will-slight-them

92.1 γίγνεσθαι δέ τι αὐτῶν καὶ ἐν τάχει καὶ προθυμότερον
to-happen and any of-them both in haste and more-eagerly
ἐν ὑμῖν ἐστίν, ὦ Λακεδαιμόνιοι, ἐπεὶ ὥς γε δυνατά
in you it-is O Lacedaemonians since that at-least possible
(καὶ οὐχ ἁμαρτήσεσθαι οἶμαι γνώμης) πάνυ θαρσῶ.
and not to-be-mistaken I-think of-judgment quite I-am-confident

92.2 Καὶ χείρων οὐδενὶ ἀξιῶ δοκεῖν ὑμῶν εἶναι, εἰ τῇ ἐμαυτοῦ
and worse to-none I-claim to-seem of-you to-be if the my-own
μετὰ τῶν πολεμιωτάτων φιλόπολίς ποτε δοκῶν εἶναι
with the bitterest-enemies patriot once seeming to-be
νῦν ἐγκρατῶς ἐπέρχομαι, οὐδὲ ὑποπτεύεσθαί μου ἐς τὴν
now vigorously I-attack nor to-be-suspected my for the
φυγαδικὴν προθυμίαν τὸν λόγον.
exile's zeal the speech

92.3 φυγάς τε γάρ εἰμι τῆς τῶν ἐξελασάντων πονηρίας, καὶ οὐ
exile both for I-am of-the of-those having-expelled villainy and not
τῆς ὑμετέρας, ἢν πείθησθέ μοι, ὠφελίας· καὶ πολεμιώτεροι
of-the your if you-obey me service and more-hostile
οὐχ οἱ τοὺς πολεμίους που βλάψαντες ὑμεῖς ἢ οἱ
not those the enemies somewhere having-harmed you than those
τοὺς φίλους ἀναγκάσαντες πολεμίους γενέσθαι.
the friends having-compelled enemies to-become

92.4 τό τε φιλόπολι οὐκ ἐν ᾧ ἀδικοῦμαι ἔχω, ἀλλ' ἐν
the and patriotism not in which I-am-wronged I-have but in
ᾧ ἀσφαλῶς ἐπολιτεύθην. οὐδ' ἐπὶ πατρίδα οὖσαν
which securely I-was-a-citizen nor against fatherland being
ἔτι ἡγοῦμαι νῦν ἰέναι, πολὺ δὲ μᾶλλον τὴν οὐκ οὖσαν
still I-think now to-go much but rather the not being
ἀνακτᾶσθαι. καὶ φιλόπολις οὗτος ὀρθῶς, οὐχ ὃς ἂν τὴν
to-recover and patriot this-one rightly not who — the

ἑαυτοῦ ἀδίκως ἀπολέσας μὴ ἐπίῃ, ἀλλ᾽ ὃς ἂν ἐκ παντὸς
his-own unjustly having-lost not attacks but who — from every
τρόπου διὰ τὸ ἐπιθυμεῖν πειραθῇ αὐτὴν ἀναλαβεῖν.
way because-of the to-desire tries it to-recover
οὕτως ἐμοί τε ἀξιῶ ὑμᾶς καὶ ἐς κίνδυνον καὶ ἐς ταλαιπωρίαν 92.5
so me both I-ask you both for danger and for hardship
πᾶσαν ἀδεῶς χρῆσθαι, ὦ Λακεδαιμόνιοι, γνόντας τοῦτον
all fearlessly to-use O Lacedaemonians knowing this
δὴ τὸν ὑφ᾽ ἁπάντων προβαλλόμενον λόγον, ὡς εἰ
indeed the by all put-forward saying that if
πολέμιός γε ὢν σφόδρα ἔβλαπτον, κἂν φίλος ὢν ἱκανῶς
enemy at-least being greatly I-harmed even friend being sufficiently
ὠφελοίην, ὅσῳ τὰ μὲν Ἀθηναίων οἶδα, τὰ δ᾽ ὑμέτερα
I-could-help inasmuch-as the indeed of-Athenians I-know the but yours
ᾔκαζον· καὶ αὐτοὺς νῦν νομίσαντας περὶ μεγίστων δὴ τῶν
I-guessed and yourselves now having-considered about greatest indeed the
διαφερόντων βουλεύεσθαι μὴ ἀποκνεῖν τὴν ἐς τὴν Σικελίαν
matters to-deliberate not to-shrink-from the to — Sicily
τε καὶ ἐς τὴν Ἀττικὴν στρατείαν, ἵνα τά τε ἐκεῖ βραχεῖ
both and to — Attica expedition so-that the both there by-small
μορίῳ ξυμπαραγενόμενοι μεγάλα σώσητε καὶ Ἀθηναίων
portion having-joined great-things you-may-save and of-Athenians
τήν τε οὖσαν καὶ τὴν μέλλουσαν δύναμιν καθέλητε, καὶ
the both present and the future power you-may-destroy and
μετὰ ταῦτα αὐτοί τε ἀσφαλῶς οἰκῆτε καὶ τῆς ἁπάσης
after these-things yourselves both safely may-dwell and of-the whole
Ἑλλάδος ἑκούσης καὶ οὐ βίᾳ, κατ᾽ εὔνοιαν δὲ ἡγῆσθε.᾽
Greece willing and not by-force through goodwill but may-lead

The Spartans had already been minded to invade Attica, and now they are resolved. They decide to fortify Decelea and to send help to Sicily at once, and they appoint Gylippus son of Cleandridas to command the Syracusans. He urges the Corinthians to send two ships at once to Asine and to man the rest. The Athenian trireme reaches Athens with the generals' request for money and cavalry, and the Athenians vote to send both. The winter ends, and with it the seventeenth year of the war.

93.1 ὁ μὲν Ἀλκιβιάδης τοσαῦτα εἶπεν, οἱ δὲ Λακεδαιμόνιοι
— *indeed Alcibiades so-much said the and Lacedaemonians*
διανοούμενοι μὲν καὶ αὐτοὶ πρότερον στρατεύειν ἐπὶ
intending indeed also themselves before to-march against
τὰς Ἀθήνας, μέλλοντες δ' ἔτι καὶ περιορώμενοι, πολλῷ
— *Athens delaying but still and looking-about much*
μᾶλλον ἐπερρώσθησαν διδάξαντος ταῦτα ἕκαστα αὐτοῦ
more were-encouraged having-explained these-things each him
καὶ νομίσαντες παρὰ τοῦ σαφέστατα εἰδότος ἀκηκοέναι·
and thinking from the most-clearly knowing to-have-heard
93.2 ὥστε τῇ ἐπιτειχίσει τῆς Δεκελείας προσεῖχον ἤδη τὸν νοῦν
so-that to-the fortification — of-Decelea they-applied now the mind
καὶ τὸ παραυτίκα καὶ τοῖς ἐν τῇ Σικελίᾳ πέμπειν τινὰ
and the immediately also to-those in — Sicily to-send some
τιμωρίαν. καὶ Γύλιππον τὸν Κλεανδρίδου προστάξαντες
help and Gylippus the son-of-Cleandridas having-appointed
ἄρχοντα τοῖς Συρακοσίοις ἐκέλευον μετ' ἐκείνων καὶ τῶν
commander to-the Syracusans they-bade with them and the
Κορινθίων βουλευόμενον ποιεῖν ὅπῃ ἐκ τῶν παρόντων
Corinthians consulting to-act how from the present-means
μάλιστα καὶ τάχιστά τις ὠφελία ἥξει τοῖς ἐκεῖ.
most and quickest some help will-come to-those there

ὁ δὲ δύο μὲν ναῦς τοὺς Κορινθίους ἤδη ἐκέλευέν οἱ 93.3
he and two indeed ships the Corinthians at-once bade for-him
πέμπειν ἐς Ἀσίνην, τὰς δὲ λοιπὰς παρασκευάζεσθαι ὅσας
to-send to Asine the and rest to-prepare as-many-as
διανοοῦνται πέμπειν καί, ὅταν καιρὸς ᾖ, ἑτοίμας εἶναι πλεῖν.
they-intend to-send and when occasion be ready to-be to-sail
ταῦτα δὲ ξυνθέμενοι ἀνεχώρουν ἐκ τῆς Λακεδαίμονος.
these-things and having-agreed withdrew from — Lacedaemon
ἀφίκετο δὲ καὶ ἡ ἐκ τῆς Σικελίας τριήρης τῶν 93.4
arrived and also the from — Sicily trireme of-the
Ἀθηναίων, ἣν ἀπέστειλαν οἱ στρατηγοὶ ἐπί τε χρήματα
Athenians which sent the generals for both money
καὶ ἱππέας. καὶ οἱ Ἀθηναῖοι ἀκούσαντες ἐψηφίσαντο τήν
and cavalry and the Athenians having-heard voted the
τε τροφὴν πέμπειν τῇ στρατιᾷ καὶ τοὺς ἱππέας. καὶ
both maintenance to-send to-the army and the cavalry and
ὁ χειμὼν ἐτελεύτα, καὶ ἕβδομον καὶ δέκατον ἔτος τῷ
the winter ended and seventh and tenth year for-the
πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.
war ended this which Thucydides wrote

XXVI · THE SEIZURE OF EPIPOLAE

At the start of spring the Athenians in Sicily raid Megara and the Terias valley and win over Centoripa. The cavalry arrives from Athens, two hundred and fifty men without horses and thirty mounted archers, with three hundred talents. The Syracusans, learning that the Athenians mean to take Epipolae, choose six hundred picked hoplites under Diomilus to guard it. By night the Athenians land at Leon, run up by Euryelus, and take the heights before the Syracusans can come from their review. Diomilus attacks in disorder and is killed with three hundred of his men. The Athenians build a fort at Labdalum as a store for their baggage and money.

94.1 ἅμα δὲ τῷ ἦρι εὐθὺς ἀρχομένῳ τοῦ ἐπιγιγνομένου
together-with and the spring at-once beginning of-the following
θέρους οἱ ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι ἄραντες ἐκ τῆς Κατάνης
summer the in — Sicily Athenians having-set-out from — Catana
παρέπλευσαν ἐπὶ Μεγάρων τῶν ἐν τῇ Σικελίᾳ, οὓς
coasted to Megara the in — Sicily whom
ἐπὶ Γέλωνος τοῦ τυράννου, ὥσπερ καὶ πρότερόν μοι
in-the-time-of Gelon the tyrant as also before by-me
εἴρηται, ἀναστήσαντες Συρακόσιοι αὐτοὶ ἔχουσι τὴν γῆν.
it-has-been-said having-expelled Syracusans themselves hold the land
94.2 ἀποβάντες δὲ ἐδῄωσαν τοὺς ἀγροὺς καὶ ἐλθόντες ἐπὶ ἔρυμά
having-landed and they-ravaged the fields and having-gone against fort
τι τῶν Συρακοσίων καὶ οὐχ ἑλόντες αὖθις καὶ πεζῇ καὶ
a of-the Syracusans and not having-taken again both by-land and
ναυσὶ παρακομισθέντες ἐπὶ τὸν Τηρίαν ποταμὸν τό τε πεδίον
by-ships having-moved to — Terias river the both plain
ἀναβάντες ἐδῄουν καὶ τὸν σῖτον ἐνεπίμπρασαν, καὶ τῶν
having-gone-up ravaged and the grain burned and of-the
Συρακοσίων περιτυχόντες τισὶν οὐ πολλοῖς καὶ ἀποκτείναντές
Syracusans having-met some not many and having-killed
τέ τινας καὶ τροπαῖον στήσαντες ἀνεχώρησαν ἐπὶ τὰς ναῦς.
both some and trophy having-set-up withdrew to the ships

καὶ ἀποπλεύσαντες ἐς Κατάνην, ἐκεῖθεν δὲ ἐπισιτισάμενοι, 94.3
and having-sailed-back to Catana from-there and having-provisioned
πάσῃ τῇ στρατιᾷ ἐχώρουν ἐπὶ Κεντόριπα, Σικελῶν
with-all the force went against Centoripa of-Sicels
πόλισμα, καὶ προσαγαγόμενοι ὁμολογίᾳ ἀπῆσαν, πιμπράντες
town and having-won-over by-agreement departed burning
ἅμα τὸν σῖτον τῶν τε Ἰνησσαίων καὶ τῶν Ὑβλαίων.
at-the-same-time the grain of-the both Inessaeans and of-the Hyblaeans
καὶ ἀφικόμενοι ἐς Κατάνην καταλαμβάνουσι τούς τε ἱππέας 94.4
and having-arrived at Catana they-find the both cavalry
ἥκοντας ἐκ τῶν Ἀθηνῶν πεντήκοντα καὶ διακοσίους ἄνευ
having-come from — Athens fifty and two-hundred without
τῶν ἵππων μετὰ σκευῆς, ὡς αὐτόθεν ἵππων πορισθησομένων,
the horses with equipment as from-there horses going-to-be-provided
καὶ ἱπποτοξότας τριάκοντα καὶ τάλαντα ἀργυρίου τριακόσια.
and mounted-archers thirty and talents of-silver three-hundred
τοῦ δ' αὐτοῦ ἦρος καὶ ἐπ' Ἄργος στρατεύσαντες 95.1
in-the and same spring also against Argos having-marched
Λακεδαιμόνιοι μέχρι μὲν Κλεωνῶν ἦλθον, σεισμοῦ
Lacedaemonians as-far-as indeed Cleonae came earthquake
δὲ γενομένου ἀπεχώρησαν. καὶ Ἀργεῖοι μετὰ ταῦτα
but having-occurred withdrew and Argives after these-things
ἐσβαλόντες ἐς τὴν Θυρεᾶτιν ὅμορον οὖσαν λείαν τῶν
having-invaded into — Thyreatis bordering being plunder of-the
Λακεδαιμονίων πολλὴν ἔλαβον, ἣ ἐπράθη ταλάντων οὐκ
Lacedaemonians much took which was-sold for-talents not
ἔλασσον πέντε καὶ εἴκοσι.
less five and twenty
καὶ ὁ Θεσπιῶν δῆμος ἐν τῷ αὐτῷ θέρει οὐ πολὺ ὕστερον 95.2
and the of-Thespians people in the same summer not much later
ἐπιθέμενος τοῖς τὰς ἀρχὰς ἔχουσιν οὐ κατέσχεν, ἀλλὰ
having-attacked those the offices holding not succeeded but

βοηθησάντων Θηβαίων οἱ μὲν ξυνελήφθησαν, οἱ
having-come-to-help Thebans the-ones indeed were-arrested the-others
δ' ἐξέπεσον Ἀθήναζε.
and fled to-Athens

96.1 καὶ οἱ Συρακόσιοι τοῦ αὐτοῦ θέρους, ὡς ἐπύθοντο τοὺς
and the Syracusans in-the same summer when they-learned the
ἱππέας ἥκοντας τοῖς Ἀθηναίοις καὶ μέλλοντας ἤδη ἐπὶ
cavalry having-come to-the Athenians and intending already against
σφᾶς ἰέναι, νομίσαντες, ἐὰν μὴ τῶν Ἐπιπολῶν κρατήσωσιν οἱ
them to-go thinking if not — of-Epipolae are-masters the
Ἀθηναῖοι, χωρίου ἀποκρήμνου τε καὶ ὑπὲρ τῆς πόλεως εὐθὺς
Athenians place precipitous both and above the city directly
κειμένου, οὐκ ἂν ῥᾳδίως σφᾶς, οὐδ' εἰ κρατοῖντο μάχῃ,
lying not — easily they not-even if they-were-beaten in-battle
ἀποτειχισθῆναι, διενοοῦντο τὰς προσβάσεις αὐτῶν φυλάσσειν,
to-be-walled-off intended the approaches of-it to-guard
ὅπως μὴ κατὰ ταύτας λάθωσι σφᾶς ἀναβάντες οἱ
so-that not by these they-escape-notice them having-gone-up the
πολέμιοι· οὐ γὰρ ἂν ἄλλῃ γε αὐτοὺς δυνηθῆναι.
enemies not for — otherwise at-least them to-be-able

96.2 ἐξήρτηται γὰρ τὸ ἄλλο χωρίον, καὶ μέχρι τῆς πόλεως
rises-steeply for the rest place and as-far-as the city
ἐπικλινές τ' ἐστὶ καὶ ἐπιφανὲς πᾶν ἔσω· καὶ ὠνόμασται
sloping both it-is and visible all inside and is-named
ὑπὸ τῶν Συρακοσίων διὰ τὸ ἐπιπολῆς τοῦ ἄλλου
by the Syracusans because-of the on-the-top of-the rest
εἶναι Ἐπιπολαί.
to-be Epipolae

96.3 καὶ οἱ μὲν ἐξελθόντες πανδημεὶ ἐς τὸν λειμῶνα παρὰ
and they indeed having-gone-out in-full-force to the meadow by
τὸν Ἄναπον ποταμὸν ἅμα τῇ ἡμέρᾳ (ἐτύγχανον
— Anapus river together-with the day happened

γὰρ αὐτοῖς καὶ οἱ περὶ τὸν Ἑρμοκράτη στρατηγοὶ ἄρτι
for to-them also the around — Hermocrates generals just
παρειληφότες τὴν ἀρχήν) ἐξέτασίν τε ὅπλων ἐποιοῦντο
having-taken-over the command review both of-arms held
καὶ ἑξακοσίους λογάδας τῶν ὁπλιτῶν ἐξέκριναν πρότερον,
and six-hundred picked-men of-the hoplites selected before
ὧν ἦρχε Διόμιλος φυγὰς ἐξ Ἄνδρου, ὅπως τῶν
whom commanded Diomilus exile from Andros so-that —
τε Ἐπιπολῶν εἶεν φύλακες, καὶ ἢν ἐς ἄλλο τι
both of-Epipolae they-might-be guards and if for other anything
δέῃ, ταχὺ ξυνεστῶτες παραγίγνωνται.
there-be-need quickly assembled they-may-be-at-hand
οἱ δὲ Ἀθηναῖοι ταύτης τῆς νυκτὸς τῇ ἐπιγιγνομένῃ 97.1
the and Athenians of-this the night on-the following
ἡμέρᾳ ἐξητάζοντο καὶ ἔλαθον αὐτοὺς παντὶ ἤδη
day were-being-reviewed and escaped-notice them with-all now
τῷ στρατεύματι ἐκ τῆς Κατάνης σχόντες κατὰ τὸν
the army from — Catana having-put-in at —
Λέοντα καλούμενον, ὃς ἀπέχει τῶν Ἐπιπολῶν ἓξ ἢ
Leon called which is-distant — from-Epipolae six or
ἑπτὰ σταδίους, καὶ τοὺς πεζοὺς ἀποβιβάσαντες, ταῖς τε
seven stades and the infantry having-landed with-the both
ναυσὶν ἐς τὴν Θάψον καθορμισάμενοι· ἔστι δὲ χερσόνησος
ships at — Thapsus having-anchored it-is and peninsula
μὲν ἐν στενῷ ἰσθμῷ προύχουσα ἐς τὸ πέλαγος, τῆς δὲ
indeed with narrow isthmus projecting into the sea of-the and
Συρακοσίων πόλεως οὔτε πλοῦν οὔτε ὁδὸν πολλὴν ἀπέχει.
of-Syracusans city neither voyage nor road long is-distant
καὶ ὁ μὲν ναυτικὸς στρατὸς τῶν Ἀθηναίων ἐν τῇ Θάψῳ 97.2
and the indeed naval force of-the Athenians at — Thapsus
διασταυρωσάμενος τὸν ἰσθμὸν ἡσύχαζεν· ὁ δὲ πεζὸς ἐχώρει
having-palisaded the isthmus stayed-quiet the and infantry went

εὐθὺς δρόμῳ πρὸς τὰς Ἐπιπολὰς καὶ φθάνει ἀναβὰς
at-once at-a-run to — Epipolae and is-first having-gone-up
κατὰ τὸν Εὐρύηλον πρὶν τοὺς Συρακοσίους αἰσθομένους
by — Euryelus before the Syracusans having-perceived
ἐκ τοῦ λειμῶνος καὶ τῆς ἐξετάσεως παραγενέσθαι.
from the meadow and the review to-arrive

97.3 ἐβοήθουν δὲ οἵ τε ἄλλοι, ὡς ἕκαστος τάχους εἶχε, καὶ οἱ περὶ
came-to-help and the both others as each of-speed had and the around
τὸν Διόμιλον ἑξακόσιοι· στάδιοι δὲ πρὶν προσμεῖξαι ἐκ τοῦ
— Diomilus six-hundred stades and before to-engage from the
λειμῶνος ἐγίγνοντο αὐτοῖς οὐκ ἔλασσον ἢ πέντε καὶ εἴκοσι.
meadow were for-them not fewer than five and twenty

97.4 προσπεσόντες οὖν αὐτοῖς τοιούτῳ τρόπῳ ἀτακτότερον
having-fallen-on then them in-such way in-greater-disorder
καὶ μάχῃ νικηθέντες οἱ Συρακόσιοι ἐπὶ ταῖς Ἐπιπολαῖς
and in-battle defeated the Syracusans on — Epipolae
ἀνεχώρησαν ἐς τὴν πόλιν· καὶ ὅ τε Διόμιλος ἀποθνήσκει
withdrew into the city and — both Diomilus dies
καὶ τῶν ἄλλων ὡς τριακόσιοι.
and of-the others about three-hundred

97.5 καὶ μετὰ τοῦτο οἱ Ἀθηναῖοι τροπαῖόν τε στήσαντες καὶ
and after this the Athenians trophy both having-set-up and
τοὺς νεκροὺς ὑποσπόνδους ἀποδόντες τοῖς Συρακοσίοις,
the dead under-truce having-given-back to-the Syracusans
πρὸς τὴν πόλιν αὐτὴν τῇ ὑστεραίᾳ ἐπικαταβάντες, ὡς
to the city itself on-the next-day having-gone-down when
οὐκ ἐπεξῇσαν αὐτοῖς, ἐπαναχωρήσαντες φρούριον ἐπὶ
not they-came-out against-them having-withdrawn fort at
τῷ Λαβδάλῳ ᾠκοδόμησαν, ἐπ᾽ ἄκροις τοῖς κρημνοῖς τῶν
— Labdalum built on top the cliffs —
Ἐπιπολῶν, ὁρῶν πρὸς τὰ Μέγαρα, ὅπως εἴη αὐτοῖς,
of-Epipolae facing toward — Megara so-that it-might-be for-them

ὁπότε προΐοιεν ἢ μαχούμενοι ἢ τειχιοῦντες, τοῖς τε
whenever they-advanced either going-to-fight or going-to-build-walls for-the both
σκεύεσι καὶ τοῖς χρήμασιν ἀποθήκη.
baggage and the money a-storehouse

XXVII · THE SIEGE WALLS

Cavalry come from Egesta, the Sicels, and Naxos, and the Athenians, with six hundred and fifty horse, build a circle at Syca and drive off the Syracusans. The Syracusans run a counter-wall across the line of the Athenian wall, and the Athenians storm and destroy it. A second counter-work, a stockade and ditch across the marsh, is also taken, but Lamachus falls in the fighting. The Syracusans attack the circle, which Nicias, sick, saves by setting fire to the timber and engines. The Athenian fleet sails into the Great Harbor, the Athenians begin a double wall from Epipolae to the sea, and Sicels and Tyrrhenians join Athens. The Syracusans despair of the war, talk of terms with Nicias, now sole commander, depose their generals, and elect Heracleides, Eucles, and Tellias.

καὶ οὐ πολλῷ ὕστερον αὐτοῖς ἦλθον ἔκ τε Ἐγέστης 98.1
and not much later to-them came from both Egesta
ἱππῆς τριακόσιοι καὶ Σικελῶν καὶ Ναξίων καὶ ἄλλων
cavalry three-hundred and of-Sicels and Naxians and others
τινῶν ὡς ἑκατόν· καὶ Ἀθηναίων ὑπῆρχον πεντήκοντα καὶ
some about a-hundred and of-Athenians there-were fifty and
διακόσιοι, οἷς ἵππους τοὺς μὲν παρ᾽ Ἐγεσταίων καὶ
two-hundred for-whom horses the-ones indeed from Egestaeans and
Καταναίων ἔλαβον, τοὺς δ᾽ ἐπρίαντο, καὶ ξύμπαντες
Catanaeans they-got the-others and they-bought and all-together
πεντήκοντα καὶ ἑξακόσιοι ἱππῆς ξυνελέγησαν.
fifty and six-hundred cavalry were-assembled

98.2 καὶ καταστήσαντες ἐν τῷ Λαβδάλῳ φυλακὴν ἐχώρουν
and having-placed at — Labdalum a-garrison went
πρὸς τὴν Συκῆν οἱ Ἀθηναῖοι, ἵναπερ καθεζόμενοι
toward — Syca the Athenians where-indeed having-sat-down
ἐτείχισαν τὸν κύκλον διὰ τάχους. καὶ ἔκπληξιν τοῖς
they-walled the circle with speed and alarm to-the
Συρακοσίοις παρέσχον τῷ τάχει τῆς οἰκοδομίας· καὶ
Syracusans caused by-the speed of-the building and
ἐπεξελθόντες μάχην διενοοῦντο ποιεῖσθαι καὶ μὴ περιορᾶν.
having-come-out battle they-intended to-make and not to-overlook
98.3 καὶ ἤδη ἀντιπαρατασσομένων ἀλλήλοις οἱ τῶν Συρακοσίων
and already being-drawn-up-against each-other the of-the Syracusans
στρατηγοὶ ὡς ἑώρων σφίσι τὸ στράτευμα διεσπασμένον
generals when they-saw for-them the army disordered
τε καὶ οὐ ῥᾳδίως ξυντασσόμενον, ἀνήγαγον πάλιν ἐς
both and not easily forming-up led-back again into
τὴν πόλιν πλὴν μέρους τινὸς τῶν ἱππέων· οὗτοι δὲ
the city except part some of-the cavalry these and
ὑπομένοντες ἐκώλυον τοὺς Ἀθηναίους λιθοφορεῖν τε καὶ
remaining prevented the Athenians to-carry-stones both and
ἀποσκίδνασθαι μακροτέραν.
to-scatter farther
98.4 καὶ τῶν Ἀθηναίων φυλὴ μία τῶν ὁπλιτῶν καὶ οἱ ἱππῆς
and of-the Athenians tribe one of-the hoplites and the cavalry
μετ' αὐτῶν πάντες ἐτρέψαντο τοὺς τῶν Συρακοσίων
with them all routed the of-the Syracusans
ἱππέας προσβαλόντες, καὶ ἀπέκτειναν τέ τινας καὶ
cavalry having-attacked and killed both some and
τροπαῖον τῆς ἱππομαχίας ἔστησαν.
trophy of-the cavalry-battle set-up

καὶ τῇ ὑστεραίᾳ οἱ μὲν ἐτείχιζον τῶν Ἀθηναίων τὸ 99.1
and on-the next-day the-ones indeed were-building of-the Athenians the
πρὸς βορέαν τοῦ κύκλου τεῖχος, οἱ δὲ λίθους καὶ ξύλα
toward north of-the circle wall the-others and stones and timber
ξυμφοροῦντες παρέβαλλον ἐπὶ τὸν Τρωγίλον καλούμενον
bringing-together laid-them-out toward — Trogilus called
αἰεί, ᾗπερ βραχύτατον ἐγίγνετο αὐτοῖς ἐκ τοῦ μεγάλου
always where-indeed shortest was for-them from the great
λιμένος ἐπὶ τὴν ἑτέραν θάλασσαν τὸ ἀποτείχισμα.
harbor to the other sea the wall-of-circumvallation
οἱ δὲ Συρακόσιοι οὐχ ἥκιστα Ἑρμοκράτους τῶν στρατηγῶν 99.2
the and Syracusans not least Hermocrates of-the generals
ἐσηγησαμένου μάχαις μὲν πανδημεὶ πρὸς Ἀθηναίους
having-proposed in-battles indeed in-full-force with Athenians
οὐκέτι ἐβούλοντο διακινδυνεύειν, ὑποτειχίζειν δὲ ἄμεινον
no-longer wished to-risk to-build-a-counter-wall but better
ἐδόκει εἶναι, ᾗ ἐκεῖνοι ἔμελλον ἄξειν τὸ τεῖχος καί, εἰ
seemed to-be where they were-going to-carry the wall and if
φθάσειαν, ἀποκλήσεις γίγνεσθαι, καὶ ἅμα καὶ ἐν
they-should-be-first cut-offs to-come-about and at-the-same-time also in
τούτῳ εἰ ἐπιβοηθοῖεν, μέρος ἀντιπέμπειν αὐτοῖς τῆς
this if they-should-come-to-help part to-send-against them of-the
στρατιᾶς καὶ φθάνειν αὐτοὶ προκαταλαμβάνοντες τοῖς
army and to-be-first themselves seizing-beforehand with-the
σταυροῖς τὰς ἐφόδους, ἐκείνους δὲ ἂν παυομένους τοῦ
stakes the approaches them and — stopping of-the
ἔργου πάντας ἂν πρὸς σφᾶς τρέπεσθαι.
work all — against them to-turn
ἐτείχιζον οὖν ἐξελθόντες ἀπὸ τῆς σφετέρας πόλεως 99.3
they-built then having-come-out from the their-own city
ἀρξάμενοι, κάτωθεν τοῦ κύκλου τῶν Ἀθηναίων ἐγκάρσιον
having-begun from-below of-the circle of-the Athenians cross

τεῖχος ἄγοντες, τάς τε ἐλάας ἐκκόπτοντες τοῦ τεμένους
wall carrying the both olives cutting-down of-the precinct
καὶ πύργους ξυλίνους καθιστάντες.
and towers wooden setting-up

99.4 αἱ δὲ νῆες τῶν Ἀθηναίων οὔπω ἐκ τῆς Θάψου
the and ships of-the Athenians not-yet from — Thapsus
περιεπεπλεύκεσαν ἐς τὸν μέγαν λιμένα, ἀλλ' ἔτι οἱ
had-sailed-round into the great harbor but still the
Συρακόσιοι ἐκράτουν τῶν περὶ τὴν θάλασσαν, κατὰ γῆν
Syracusans controlled the around the sea by land
δ' ἐκ τῆς Θάψου οἱ Ἀθηναῖοι τὰ ἐπιτήδεια ἐπήγοντο.
but from — Thapsus the Athenians the supplies brought-in

100.1 ἐπειδὴ δὲ τοῖς Συρακοσίοις ἀρκούντως ἐδόκει ἔχειν ὅσα
when and to-the Syracusans sufficiently seemed to-be as-much-as
τε ἐσταυρώθη καὶ ᾠκοδομήθη τοῦ ὑποτειχίσματος, καὶ οἱ
both had-been-staked and built of-the counter-wall and the
Ἀθηναῖοι αὐτοὺς οὐκ ἦλθον κωλύσοντες, φοβούμενοι μὴ σφίσι
Athenians them not came going-to-prevent fearing lest them
δίχα γιγνομένοις ῥᾷον μάχωνται, καὶ ἅμα τὴν καθ'
divided being more-easily they-fight and at-the-same-time the on
αὑτοὺς περιτείχισιν ἐπειγόμενοι, οἱ μὲν Συρακόσιοι φυλὴν
their-own circumvallation hastening the indeed Syracusans tribe
μίαν καταλιπόντες φύλακα τοῦ οἰκοδομήματος ἀνεχώρησαν
one having-left as-guard of-the building withdrew
ἐς τὴν πόλιν, οἱ δὲ Ἀθηναῖοι τούς τε ὀχετοὺς αὐτῶν, οἳ
into the city the and Athenians the both conduits of-them which
ἐς τὴν πόλιν ὑπονομηδὸν ποτοῦ ὕδατος ἠγμένοι ἦσαν,
into the city underground of-drinking water had-been-led were
διέφθειραν, καὶ τηρήσαντες τούς τε ἄλλους Συρακοσίους
destroyed and having-watched-for the both other Syracusans
κατὰ σκηνὰς ὄντας ἐν μεσημβρίᾳ καί τινας καὶ ἐς τὴν
in tents being at noon and some also into the

πόλιν ἀποκεχωρηκότας καὶ τοὺς ἐν τῷ σταυρώματι ἀμελῶς
city having-withdrawn and those in the stockade carelessly
φυλάσσοντας, τριακοσίους μὲν σφῶν αὐτῶν λογάδας καὶ
guarding three-hundred indeed of-them selves picked-men and
τῶν ψιλῶν τινὰς ἐκλεκτοὺς ὡπλισμένους προύταξαν
of-the light-armed some chosen armed they-ordered-forward
θεῖν δρόμῳ ἐξαπιναίως πρὸς τὸ ὑποτείχισμα, ἡ δ' ἄλλη
to-run at-a-run suddenly to the counter-wall the and other
στρατιὰ δίχα, ἡ μὲν μετὰ τοῦ ἑτέρου στρατηγοῦ πρὸς
army in-two the-one indeed with the one general toward
τὴν πόλιν, εἰ ἐπιβοηθοῖεν, ἐχώρουν, ἡ δὲ μετὰ τοῦ
the city in-case they-came-to-help went the-other and with the
ἑτέρου πρὸς τὸ σταύρωμα τὸ παρὰ τὴν πυλίδα.
other toward the stockade the by the postern
καὶ προσβαλόντες οἱ τριακόσιοι αἱροῦσι τὸ σταύρωμα· καὶ 100.2
and having-attacked the three-hundred take the stockade and
οἱ φύλακες αὐτὸ ἐκλιπόντες κατέφυγον ἐς τὸ προτείχισμα
the guards it having-abandoned fled to the outwork
τὸ περὶ τὸν Τεμενίτην. καὶ αὐτοῖς ξυνεσέπεσον οἱ
the around — Temenites and with-them burst-in-with the
διώκοντες, καὶ ἐντὸς γενόμενοι βίᾳ ἐξεκρούσθησαν πάλιν
pursuers and inside having-come by-force were-driven-out again
ὑπὸ τῶν Συρακοσίων, καὶ τῶν Ἀργείων τινὲς αὐτόθι καὶ
by the Syracusans and of-the Argives some there and
τῶν Ἀθηναίων οὐ πολλοὶ διεφθάρησαν.
of-the Athenians not many perished
καὶ ἐπαναχωρήσασα ἡ πᾶσα στρατιὰ τήν τε ὑποτείχισιν 100.3
and having-returned the whole army the both counter-wall
καθεῖλον καὶ τὸ σταύρωμα ἀνέσπασαν καὶ διεφόρησαν
pulled-down and the stockade pulled-up and carried-off
τοὺς σταυροὺς παρ' ἑαυτοὺς καὶ τροπαῖον ἔστησαν.
the stakes to themselves and trophy set-up

101.1 τῇ δ' ὑστεραίᾳ ἀπὸ τοῦ κύκλου ἐτείχιζον οἱ Ἀθηναῖοι
on-the and next-day from the circle were-walling the Athenians
τὸν κρημνὸν τὸν ὑπὲρ τοῦ ἕλους, ὃς τῶν Ἐπιπολῶν
the cliff the above the marsh which — of-Epipolae
ταύτῃ πρὸς τὸν μέγαν λιμένα ὁρᾷ, καὶ ᾗπερ αὐτοῖς
here toward the great harbor looks and where-indeed for-them
βραχύτατον ἐγίγνετο καταβᾶσι διὰ τοῦ ὁμαλοῦ καὶ
shortest was having-gone-down through the level-ground and
τοῦ ἕλους ἐς τὸν λιμένα τὸ περιτείχισμα.
the marsh to the harbor the circumvallation

101.2 καὶ οἱ Συρακόσιοι ἐν τούτῳ ἐξελθόντες καὶ αὐτοὶ
and the Syracusans in this having-come-out also themselves
ἀπεσταύρουν αὖθις ἀρξάμενοι ἀπὸ τῆς πόλεως διὰ μέσου
staked-off again having-begun from the city through middle
τοῦ ἕλους, καὶ τάφρον ἅμα παρώρυσσον, ὅπως μὴ
of-the marsh and ditch at-the-same-time dug-alongside so-that not
οἷόν τε ᾖ τοῖς Ἀθηναίοις μέχρι τῆς θαλάσσης ἀποτειχίσαι.
possible — it-be for-the Athenians as-far-as the sea to-wall-off

101.3 οἱ δ', ἐπειδὴ τὸ πρὸς τὸν κρημνὸν αὐτοῖς ἐξείργαστο,
they and when the toward the cliff for-them had-been-completed
ἐπιχειροῦσιν αὖθις τῷ τῶν Συρακοσίων σταυρώματι καὶ
attack again the of-the Syracusans stockade and
τάφρῳ, τὰς μὲν ναῦς κελεύσαντες περιπλεῦσαι ἐκ τῆς
ditch the indeed ships having-ordered to-sail-round from —
Θάψου ἐς τὸν μέγαν λιμένα τὸν τῶν Συρακοσίων, αὐτοὶ δὲ
Thapsus into the great harbor the of-the Syracusans themselves and
περὶ ὄρθρον καταβάντες ἀπὸ τῶν Ἐπιπολῶν ἐς τὸ ὁμαλὸν
about dawn having-gone-down from — Epipolae to the level-ground
καὶ διὰ τοῦ ἕλους, ᾗ πηλῶδες ἦν καὶ στεριφώτατον,
and through the marsh where muddy it-was and firmest
θύρας καὶ ξύλα πλατέα ἐπιθέντες καὶ ἐπ' αὐτῶν
doors and planks broad having-laid and on them

διαβαδίσαντες, αἱροῦσιν ἅμα ἕῳ τό τε σταύρωμα πλὴν
having-walked-across they-take together-with dawn the both stockade except
ὀλίγου καὶ τὴν τάφρον, καὶ ὕστερον καὶ τὸ ὑπολειφθὲν εἷλον.
a-little and the ditch and later also the left-part took
καὶ μάχη ἐγένετο, καὶ ἐν αὐτῇ ἐνίκων οἱ Ἀθηναῖοι. καὶ 101.4
and battle took-place and in it won the Athenians and
τῶν Συρακοσίων οἱ μὲν τὸ δεξιὸν κέρας ἔχοντες πρὸς
of-the Syracusans the-ones indeed the right wing holding toward
τὴν πόλιν ἔφευγον, οἱ δ' ἐπὶ τῷ εὐωνύμῳ παρὰ
the city fled the-others and on the left along
τὸν ποταμόν. καὶ αὐτοὺς βουλόμενοι ἀποκλήσασθαι τῆς
the river and them wishing to-cut-off from-the
διαβάσεως οἱ τῶν Ἀθηναίων τριακόσιοι λογάδες δρόμῳ
crossing the of-the Athenians three-hundred picked-men at-a-run
ἠπείγοντο πρὸς τὴν γέφυραν.
hastened toward the bridge
δείσαντες δὲ οἱ Συρακόσιοι (ἦσαν γὰρ καὶ τῶν ἱππέων 101.5
having-feared and the Syracusans there-were for also of-the cavalry
αὐτοῖς οἱ πολλοὶ ἐνταῦθα) ὁμόσε χωροῦσι τοῖς
for-them the most there to-close-quarters come with-the
τριακοσίοις τούτοις, καὶ τρέπουσί τε αὐτοὺς καὶ ἐσβάλλουσιν
three-hundred these and rout both them and charge
ἐς τὸ δεξιὸν κέρας τῶν Ἀθηναίων· καὶ προσπεσόντων
into the right wing of-the Athenians and having-fallen-on
αὐτῶν ξυνεφοβήθη καὶ ἡ πρώτη φυλὴ τοῦ κέρως.
they was-panicked also the first tribe of-the wing
ἰδὼν δὲ ὁ Λάμαχος παρεβοήθει ἀπὸ τοῦ εὐωνύμου τοῦ 101.6
having-seen and — Lamachus came-to-help from the left the
ἑαυτῶν μετὰ τοξοτῶν τε οὐ πολλῶν καὶ τοὺς Ἀργείους
their-own with archers both not many and the Argives
παραλαβών, καὶ ἐπιδιαβὰς τάφρον τινὰ καὶ μονωθεὶς μετ'
having-taken and having-crossed ditch a and cut-off with

ὀλίγων τῶν ξυνδιαβάντων ἀποθνῄσκει αὐτός τε καὶ πέντε
few of-those crossing-with-him dies himself both and five
ἢ ἓξ τῶν μετ᾽ αὐτοῦ. καὶ τούτους μὲν οἱ Συρακόσιοι
or six of-those with him and these indeed the Syracusans
εὐθὺς κατὰ τάχος φθάνουσιν ἁρπάσαντες πέραν τοῦ
at-once in haste are-first having-snatched-up across the
ποταμοῦ ἐς τὸ ἀσφαλές, αὐτοὶ δὲ ἐπιόντος ἤδη καὶ
river to the safety themselves and approaching already also
τοῦ ἄλλου στρατεύματος τῶν Ἀθηναίων ἀπεχώρουν.
the other army of-the Athenians withdrew

102.1 ἐν τούτῳ δὲ οἱ πρὸς τὴν πόλιν αὐτῶν τὸ πρῶτον
in this and those toward the city of-them the first
καταφυγόντες ὡς ἑώρων ταῦτα γιγνόμενα, αὐτοί τε
having-fled when they-saw these-things happening themselves both
πάλιν ἀπὸ τῆς πόλεως ἀναθαρσήσαντες ἀντετάξαντο
again from the city having-regained-courage drew-up
πρὸς τοὺς κατὰ σφᾶς Ἀθηναίους, καὶ μέρος τι αὐτῶν
against the opposite them Athenians and part some of-themselves
πέμπουσιν ἐπὶ τὸν κύκλον τὸν ἐπὶ ταῖς Ἐπιπολαῖς,
they-send against the circle the on — Epipolae
ἡγούμενοι ἐρῆμον αἱρήσειν.
thinking undefended to-take-it

102.2 καὶ τὸ μὲν δεκάπλεθρον προτείχισμα αὐτῶν αἱροῦσι καὶ
and the indeed ten-plethra outwork of-it they-take and
διεπόρθησαν, αὐτὸν δὲ τὸν κύκλον Νικίας διεκώλυσεν·
sacked it-itself but the circle Nicias prevented
ἔτυχε γὰρ ἐν αὐτῷ δι᾽ ἀσθένειαν ὑπολελειμμένος.
happened for in it because-of illness left-behind
τὰς γὰρ μηχανὰς καὶ ξύλα ὅσα πρὸ τοῦ τείχους ἦν
the for engines and timber as-much-as before the wall was
καταβεβλημένα, ἐμπρῆσαι τοὺς ὑπηρέτας ἐκέλευσεν, ὡς
thrown-down to-set-fire-to the servants he-ordered since

ἔγνω ἀδυνάτους ἐσομένους ἐρημίᾳ ἀνδρῶν ἄλλῳ τρόπῳ
he-knew unable going-to-be through-lack of-men in-other way
περιγενέσθαι.
to-prevail
καὶ ξυνέβη οὕτως· οὐ γὰρ ἔτι προσῆλθον οἱ Συρακόσιοι 102.3
and it-turned-out so not for any-more came-on the Syracusans
διὰ τὸ πῦρ, ἀλλὰ ἀπεχώρουν πάλιν. καὶ γὰρ πρός τε τὸν
because-of the fire but withdrew again also for to both the
κύκλον βοήθεια ἤδη κάτωθεν τῶν Ἀθηναίων ἀποδιωξάντων
circle help already from-below the Athenians having-driven-off
τοὺς ἐκεῖ ἐπανῄει, καὶ αἱ νῆες ἅμα αὐτῶν ἐκ τῆς
those there was-coming-up and the ships at-the-same-time of-them from —
Θάψου, ὥσπερ εἴρητο, κατέπλεον ἐς τὸν μέγαν λιμένα.
Thapsus as had-been-ordered were-sailing-in into the great harbor
ἃ ὁρῶντες οἱ ἄνωθεν κατὰ τάχος ἀπῆσαν καὶ 102.4
which seeing those from-above in haste went-away and
ἡ ξύμπασα στρατιὰ τῶν Συρακοσίων ἐς τὴν πόλιν,
the whole army of-the Syracusans into the city
νομίσαντες μὴ ἂν ἔτι ἀπὸ τῆς παρούσης σφίσι δυνάμεως
thinking not — any-longer from the present for-them force
ἱκανοὶ γενέσθαι κωλῦσαι τὸν ἐπὶ τὴν θάλασσαν τειχισμόν.
able to-be to-prevent the to the sea walling
μετὰ δὲ τοῦτο οἱ Ἀθηναῖοι τροπαῖον ἔστησαν καὶ τοὺς 103.1
after and this the Athenians trophy set-up and the
νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Συρακοσίοις καὶ τοὺς
dead under-truce gave-back to-the Syracusans and those
μετὰ Λαμάχου καὶ αὐτὸν ἐκομίσαντο· καὶ παρόντος ἤδη
with Lamachus and him recovered and being-present already
σφίσι παντὸς τοῦ στρατεύματος καὶ τοῦ ναυτικοῦ καὶ
for-them all the army both the navy and
τοῦ πεζοῦ, ἀπὸ τῶν Ἐπιπολῶν καὶ τοῦ κρημνώδους
the infantry from — Epipolae and the cliff-like

ἀρξάμενοι ἀπετείχιζον μέχρι τῆς θαλάσσης τείχει διπλῷ
having-begun they-walled-off as-far-as the sea with-wall double
τοὺς Συρακοσίους.
the Syracusans

103.2 τὰ δ' ἐπιτήδεια τῇ στρατιᾷ ἐσήγετο ἐκ τῆς Ἰταλίας
the and supplies for-the army were-brought-in from — Italy
πανταχόθεν. ἦλθον δὲ καὶ τῶν Σικελῶν πολλοὶ ξύμμαχοι
from-all-sides came and also of-the Sicels many as-allies
τοῖς Ἀθηναίοις, οἳ πρότερον περιεωρῶντο, καὶ ἐκ τῆς
to-the Athenians who before held-back and from —
Τυρσηνίας νῆες πεντηκόντοροι τρεῖς. καὶ τἆλλα προυχώρει
Tyrrhenia ships fifty-oared three and the-rest advanced
αὐτοῖς ἐς ἐλπίδας.
for-them toward hopes

103.3 καὶ γὰρ οἱ Συρακόσιοι πολέμῳ μὲν οὐκέτι ἐνόμιζον ἂν
and for the Syracusans in-war indeed no-longer thought —
περιγενέσθαι, ὡς αὐτοῖς οὐδὲ ἀπὸ τῆς Πελοποννήσου
to-prevail since for-them not-even from — Peloponnese
ὠφελία οὐδεμία ἦκε, τοὺς δὲ λόγους ἔν τε σφίσιν
help any had-come the and proposals among both them
αὐτοῖς ἐποιοῦντο ξυμβατικοὺς καὶ πρὸς τὸν Νικίαν· οὗτος
selves they-made of-agreement and to — Nicias he
γὰρ δὴ μόνος εἶχε Λαμάχου τεθνεῶτος τὴν ἀρχήν.
for indeed alone held Lamachus being-dead the command

103.4 καὶ κύρωσις μὲν οὐδεμία ἐγίγνετο, οἷα δὲ εἰκὸς ἀνθρώπων
and ratification indeed none came-about as but likely of-men
ἀπορούντων καὶ μᾶλλον ἢ πρὶν πολιορκουμένων, πολλὰ
at-a-loss and more than before being-besieged much
ἐλέγετο πρός τε ἐκεῖνον καὶ πλείω ἔτι κατὰ τὴν πόλιν.
was-said to both him and more still in the city
καὶ γάρ τινα καὶ ὑποψίαν ὑπὸ τῶν παρόντων κακῶν ἐς
and for some also suspicion from the present evils toward

ἀλλήλους εἶχον, καὶ τοὺς στρατηγούς τε ἐφ' ὧν αὐτοῖς
each-other they-had and the generals both under whom for-them
ταῦτα ξυνέβη ἔπαυσαν, ὡς ἢ δυστυχίᾳ ἢ προδοσίᾳ τῇ
these-things happened they-deposed as either by-misfortune or by-treachery the
ἐκείνων βλαπτόμενοι, καὶ ἄλλους ἀνθείλοντο, Ἡρακλείδην
their being-harmed and others they-chose-instead Heracleides
καὶ Εὐκλέα καὶ Τελλίαν.
and Eucles and Tellias

XXVIII · GYLIPPUS SAILS

Gylippus and the Corinthian ships reach Leucas and hear that Syracuse is entirely walled off. Despairing of Sicily, he crosses to Taras to save Italy, and at Thurii he fails to win the city and is caught in a storm. Nicias hears of his coming and, thinking his squadron a privateering force, keeps no guard. In the same summer the Spartans invade Argos and ravage it. The Athenians send thirty ships to help the Argives, and they land in Laconia and ravage it, which most openly breaks the treaty with Sparta. The Argives invade Phlius, ravage its land, kill some of its men, and go home.

ἐν δὲ τούτῳ Γύλιππος ὁ Λακεδαιμόνιος καὶ αἱ ἀπὸ τῆς 104.1
in and this Gylippus the Lacedaemonian and the from —
Κορίνθου νῆες περὶ Λευκάδα ἤδη ἦσαν, βουλόμενοι ἐς τὴν
Corinth ships around Leucas already were wishing to —
Σικελίαν διὰ τάχους βοηθῆσαι. καὶ ὡς αὐτοῖς αἱ ἀγγελίαι
Sicily in haste to-bring-help and as to-them the reports
ἐφοίτων δειναὶ καὶ πᾶσαι ἐπὶ τὸ αὐτὸ ἐψευσμέναι ὡς
kept-coming alarming and all to the same false that
ἤδη παντελῶς ἀποτετειχισμέναι αἱ Συράκουσαί εἰσι, τῆς
already completely walled-off — Syracuse is of-the
μὲν Σικελίας οὐκέτι ἐλπίδα οὐδεμίαν εἶχεν ὁ Γύλιππος,
indeed Sicily no-longer hope any had — Gylippus

τὴν δὲ Ἰταλίαν βουλόμενος περιποιῆσαι αὐτὸς μὲν καὶ
— but Italy wishing to-secure himself indeed and
Πυθὴν ὁ Κορίνθιος ναυσὶ δυοῖν μὲν Λακωνικαῖν, δυοῖν
Pythen the Corinthian with-ships two indeed Laconian two
δὲ Κορινθίαιν ὅτι τάχιστα ἐπεραιώθησαν τὸν Ἰόνιον
and Corinthian as quickly-as-possible crossed the Ionian
ἐς Τάραντα, οἱ δὲ Κορίνθιοι πρὸς ταῖς σφετέραις δέκα
to Taras the and Corinthians besides the their-own ten
Λευκαδίας δύο καὶ Ἀμπρακιώτιδας τρεῖς προσπληρώσαντες
Leucadian two and Ambraciot three having-manned-additionally
ὕστερον ἔμελλον πλεύσεσθαι.
later were-going to-sail

104.2 καὶ ὁ μὲν Γύλιππος ἐκ τοῦ Τάραντος ἐς τὴν
and — indeed Gylippus from — Taras to —
Θουρίαν πρῶτον πρεσβευσάμενος καὶ τὴν τοῦ πατρὸς
Thurian-land first having-gone-as-envoy and the of-the father
ἀνανεωσάμενος πολιτείαν καὶ οὐ δυνάμενος αὐτοὺς
having-renewed citizenship and not being-able them
προσαγαγέσθαι, ἄρας παρέπλει τὴν Ἰταλίαν, καὶ
to-win-over having-set-out coasted-along — Italy and
ἁρπασθεὶς ὑπ᾽ ἀνέμου κατὰ τὸν Τεριναῖον κόλπον, ὃς
caught by wind off the Terinaean gulf which
ἐκπνεῖ ταύτῃ μέγας κατὰ βορέαν ἑστηκώς, ἀποφέρεται
blows here strong from north set-in is-carried-off
ἐς τὸ πέλαγος, καὶ πάλιν χειμασθεὶς ἐς τὰ μάλιστα
into the open-sea and again storm-tossed to the utmost
τῷ Τάραντι προσμίσγει· καὶ τὰς ναῦς, ὅσαι μάλιστα
— at-Taras touches and the ships as-many-as most
ἐπόνησαν ὑπὸ τοῦ χειμῶνος, ἀνελκύσας ἐπεσκεύαζεν.
suffered from the storm having-hauled-up repaired

ὁ δὲ Νικίας πυθόμενος αὐτὸν προσπλέοντα ὑπερεῖδε 104.3
— *and Nicias having-learned him sailing-up despised*
τὸ πλῆθος τῶν νεῶν, ὅπερ καὶ οἱ Θούριοι ἔπαθον,
the number of-the ships which-very also the Thurians felt
καὶ λῃστικώτερον ἔδοξε παρεσκευασμένους πλεῖν, καὶ
and more-like-pirates he-thought equipped to-sail and
οὐδεμίαν φυλακὴν πω ἐποιεῖτο.
no guard yet set
κατὰ δὲ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ θέρους καὶ 105.1
at and the same times of-this the summer also
Λακεδαιμόνιοι ἐς τὸ Ἄργος ἐσέβαλον αὐτοί τε καὶ οἱ
Lacedaemonians into — Argos invaded themselves both and the
ξύμμαχοι καὶ τῆς γῆς τὴν πολλὴν ἐδῄωσαν, καὶ Ἀθηναῖοι
allies and of-the land the most ravaged and Athenians
Ἀργείοις τριάκοντα ναυσὶν ἐβοήθησαν· αἵπερ τὰς σπονδὰς
to-Argives with-thirty ships came-to-help which-very the treaty
φανερώτατα τὰς πρὸς τοὺς Λακεδαιμονίους αὐτοῖς ἔλυσαν.
most-openly the with the Lacedaemonians for-them broke
πρότερον μὲν γὰρ λῃστείαις ἐκ Πύλου καὶ περὶ τὴν ἄλλην 105.2
before indeed for by-raids from Pylos and around the rest
Πελοπόννησον μᾶλλον ἢ ἐς τὴν Λακωνικὴν ἀποβαίνοντες
Peloponnese rather than into — Laconia landing
μετά τε Ἀργείων καὶ Μαντινέων ξυνεπολέμουν, καὶ πολλάκις
with both Argives and Mantineans they-joined-in-war and often
Ἀργείων κελευόντων ὅσον σχόντας μόνον ξὺν ὅπλοις ἐς
Argives urging merely having-put-in only with arms on
τὴν Λακωνικὴν καὶ τὸ ἐλάχιστον μετὰ σφῶν δῃώσαντας
— Laconia and the least with them having-ravaged
ἀπελθεῖν οὐκ ἤθελον· τότε δὲ Πυθοδώρου καὶ Λαισποδίου
to-depart not they-were-willing then but Pythodorus and Laespodias
καὶ Δημαράτου ἀρχόντων ἀποβάντες ἐς Ἐπίδαυρον τὴν
and Demaratus commanding having-landed at Epidaurus the

Λιμηρὰν καὶ Πρασιὰς καὶ ὅσα ἄλλα ἐδῄωσαν τῆς γῆς,
Limera and Prasiae and whatever other they-ravaged of-the land
καὶ τοῖς Λακεδαιμονίοις ἤδη εὐπροφάσιστον μᾶλλον τὴν
and to-the Lacedaemonians now well-grounded rather the
αἰτίαν ἐς τοὺς Ἀθηναίους τοῦ ἀμύνεσθαι ἐποίησαν.
cause against the Athenians of-the to-defend-themselves made
105.3 ἀναχωρησάντων δὲ τῶν Ἀθηναίων ἐκ τοῦ Ἄργους ταῖς
having-withdrawn and the Athenians from — Argos with-the
ναυσὶ καὶ τῶν Λακεδαιμονίων οἱ Ἀργεῖοι ἐσβαλόντες ἐς
ships and the Lacedaemonians the Argives having-invaded into
τὴν Φλειασίαν τῆς τε γῆς αὐτῶν ἔτεμον καὶ ἀπέκτεινάν
— Phliasian-land of-the both land of-them ravaged and killed
τινας, καὶ ἀπῆλθον ἐπ᾽ οἴκου.
some and went-off to home

BOOK VII

I · GYLIPPUS REACHES SYRACUSE

Gylippus and Pythen sail from Taras to Himera and raise an army of Himeraeans, Selinuntines, Geloans, and Sicels. The Corinthian Gongylus reaches Syracuse first and stops the citizens as they are about to treat for peace. Gylippus climbs Epipolae by Euryelus, offers the Athenians a truce if they leave Sicily within five days, and takes the fort at Labdalum. Nicias fortifies Plemmyrium and bases the fleet there. Gylippus is beaten in a battle between the walls and takes the blame himself, but he wins the next with his cavalry, and the Syracusan counter-wall passes the end of the Athenian wall. More Corinthian ships slip in, and the Syracusans resolve to try a fleet.

1.1 ὁ δὲ Γύλιππος καὶ ὁ Πυθὴν ἐκ τοῦ Τάραντος, ἐπεὶ
— and Gylippus and — Pythen from — Taras when
ἐπεσκεύασαν τὰς ναῦς, παρέπλευσαν ἐς Λοκροὺς τοὺς
they-had-repaired the ships coasted to Locrians the

Ἐπιζεφυρίους· καὶ πυνθανόμενοι σαφέστερον ἤδη ὅτι οὐ
Epizephyrian and learning more-clearly now that not
παντελῶς πω ἀποτετειχισμέναι αἱ Συράκουσαί εἰσιν, ἀλλ᾽
completely yet walled-off — Syracuse is but
ἔτι οἷόν τε κατὰ τὰς Ἐπιπολὰς στρατιᾷ ἀφικομένους
still possible — by — Epipolae with-an-army having-arrived
ἐσελθεῖν, ἐβουλεύοντο εἴτ᾽ ἐν δεξιᾷ λαβόντες τὴν Σικελίαν
to-get-in deliberated whether on right keeping — Sicily
διακινδυνεύσωσιν ἐσπλεῦσαι, εἴτ᾽ ἐν ἀριστερᾷ ἐς Ἱμέραν
they-should-risk to-sail-in or on left to Himera
πρῶτον πλεύσαντες καὶ αὐτούς τε ἐκείνους καὶ στρατιὰν
first having-sailed and them both those and army
ἄλλην προσλαβόντες, οὓς ἂν πείθωσι, κατὰ γῆν ἔλθωσιν.
other having-added whom — they-persuade by land they-should-come
καὶ ἔδοξεν αὐτοῖς ἐπὶ τῆς Ἱμέρας πλεῖν, ἄλλως τε 1.2
and it-seemed-good to-them to — Himera to-sail otherwise both
καὶ τῶν Ἀττικῶν τεσσάρων νεῶν οὔπω παρουσῶν ἐν τῷ
and the Attic four ships not-yet being-present at —
Ῥηγίῳ, ἃς ὁ Νικίας ὅμως πυνθανόμενος αὐτοὺς ἐν
Rhegium which — Nicias nevertheless learning them at
Λοκροῖς εἶναι ἀπέστειλεν. φθάσαντες δὲ τὴν φυλακὴν
Locrians to-be sent having-anticipated but the guard
ταύτην περαιοῦνται διὰ τοῦ πορθμοῦ, καὶ σχόντες
this they-cross through the strait and having-touched
Ῥηγίῳ καὶ Μεσσήνῃ ἀφικνοῦνται ἐς Ἱμέραν.
at-Rhegium and Messene they-arrive at Himera
ἐκεῖ δὲ ὄντες τούς τε Ἱμεραίους ἔπεισαν ξυμπολεμεῖν 1.3
there and being the both Himeraeans they-persuaded to-join-in-war
καὶ αὐτούς τε ἕπεσθαι καὶ τοῖς ἐκ τῶν νεῶν τῶν
and themselves both to-follow and to-those from the ships the
σφετέρων ναύταις ὅσοι μὴ εἶχον ὅπλα παρασχεῖν (τὰς
their-own sailors as-many-as not had arms to-provide the

γὰρ ναῦς ἀνείλκυσαν ἐν Ἰμέρᾳ), καὶ τοὺς Σελινουντίους
for ships they-hauled-up at Himera and the Selinuntians
πέμψαντες ἐκέλευον ἀπαντᾶν πανστρατιᾷ ἔς τι χωρίον.
having-sent-to bade to-meet in-full-force at some place
1.4 πέμψειν δέ τινα αὐτοῖς ὑπέσχοντο στρατιὰν οὐ πολλὴν καὶ
to-send and some them promised force not large also
οἱ Γελῷοι καὶ τῶν Σικελῶν τινές, οἳ πολὺ προθυμότερον
the Geloans and of-the Sicels some who much more-eagerly
προσχωρεῖν ἑτοῖμοι ἦσαν τοῦ τε Ἀρχωνίδου νεωστὶ
to-come-over ready were — both of-Archonidas lately
τεθνηκότος, ὃς τῶν ταύτῃ Σικελῶν βασιλεύων τινῶν
having-died who of-the here Sicels reigning-over some
καὶ ὢν οὐκ ἀδύνατος τοῖς Ἀθηναίοις φίλος ἦν, καὶ τοῦ
and being not powerless to-the Athenians friend was and —
Γυλίππου ἐκ Λακεδαίμονος προθύμως δοκοῦντος ἥκειν.
Gylippus from Lacedaemon eagerly seeming to-have-come
1.5 καὶ ὁ μὲν Γύλιππος ἀναλαβὼν τῶν τε σφετέρων ναυτῶν
and — indeed Gylippus having-taken of-the both their-own sailors
καὶ ἐπιβατῶν τοὺς ὡπλισμένους ἑπτακοσίους μάλιστα,
and marines those armed seven-hundred about
Ἱμεραίους δὲ ὁπλίτας καὶ ψιλοὺς ξυναμφοτέρους χιλίους
Himeraeans and hoplites and light-armed both-together a-thousand
καὶ ἱππέας ἑκατὸν καὶ Σελινουντίων τέ τινας ψιλοὺς
and cavalry hundred and of-Selinuntians both some light-armed
καὶ ἱππέας καὶ Γελῴων ὀλίγους, Σικελῶν τε ἐς χιλίους
and cavalry and of-Geloans few of-Sicels and about a-thousand
τοὺς πάντας, ἐχώρει πρὸς τὰς Συρακούσας·
the all marched toward — Syracuse
2.1 οἱ δ' ἐκ τῆς Λευκάδος Κορίνθιοι ταῖς τε ἄλλαις ναυσὶν
the and from — Leucas Corinthians with-the both other ships
ὡς εἶχον τάχους ἐβοήθουν καὶ Γογγύλος, εἷς τῶν Κορινθίων
as they-had of-speed came-to-help and Gongylus one of-the Corinthian

ἀρχόντων, μιᾷ νηὶ τελευταῖος ὁρμηθεὶς πρῶτος μὲν
commanders with-one ship last having-set-out first indeed
ἀφικνεῖται ἐς τὰς Συρακούσας, ὀλίγον δὲ πρὸ Γυλίππου,
arrives at — Syracuse little but before Gylippus
καὶ καταλαβὼν αὐτοὺς περὶ ἀπαλλαγῆς τοῦ πολέμου
and having-found them about deliverance from-the war
μέλλοντας ἐκκλησιάσειν διεκώλυσέ τε καὶ παρεθάρσυνε,
intending to-hold-assembly prevented both and encouraged
λέγων ὅτι νῆές τε ἄλλαι ἔτι προσπλέουσι καὶ Γύλιππος
saying that ships both other still are-sailing-up and Gylippus
ὁ Κλεανδρίδου Λακεδαιμονίων ἀποστειλάντων ἄρχων.
the son-of-Cleandridas Lacedaemonians having-sent commander
καὶ οἱ μὲν Συρακόσιοι ἐπερρώσθησάν τε καὶ τῷ Γυλίππῳ 2.2
and the indeed Syracusans took-courage both and — Gylippus
εὐθὺς πανστρατιᾷ ὡς ἀπαντησόμενοι ἐξῆλθον· ἤδη γὰρ
at-once in-full-force as going-to-meet went-out already for
καὶ ἐγγὺς ὄντα ᾐσθάνοντο αὐτόν.
also near being they-perceived him
ὁ δὲ Ἰέτας τότε τι τεῖχος ἐν τῇ παρόδῳ τῶν Σικελῶν 2.3
he and Ietae then a fort in the passage of-the Sicels
ἑλὼν καὶ ξυνταξάμενος ὡς ἐς μάχην ἀφικνεῖται ἐς τὰς
having-taken and having-formed-up as for battle arrives at —
Ἐπιπολάς· καὶ ἀναβὰς κατὰ τὸν Εὐρύηλον, ᾗπερ
Epipolae and having-gone-up by — Euryelus where-indeed
καὶ οἱ Ἀθηναῖοι τὸ πρῶτον, ἐχώρει μετὰ τῶν Συρακοσίων
also the Athenians the first advanced with the Syracusans
ἐπὶ τὸ τείχισμα τῶν Ἀθηναίων.
against the wall of-the Athenians
ἔτυχε δὲ κατὰ τοῦτο τοῦ καιροῦ ἑλθὼν ἐν ᾧ ἑπτὰ μὲν 2.4
he-happened and at this of-the moment coming at which seven indeed
ἢ ὀκτὼ σταδίων ἤδη ἀπετετέλεστο τοῖς Ἀθηναίοις ἐς τὸν
or eight stades already had-been-completed by-the Athenians to the

μέγαν λιμένα διπλοῦν τεῖχος, πλὴν κατὰ βραχύ τι τὸ
great harbor double wall except at short some-part the
πρὸς τὴν θάλασσαν (τοῦτο δ' ἔτι ᾠκοδόμουν), τῷ δὲ ἄλλῳ
toward the sea this but still they-were-building in-the and rest
τοῦ κύκλου πρὸς τὸν Τρωγίλον ἐπὶ τὴν ἑτέραν θάλασσαν
of-the circle toward — Trogilus to the other sea
λίθοι τε παραβεβλημένοι τῷ πλέονι ἤδη ἦσαν, καὶ ἔστιν
stones both laid-out for-the greater-part already were and there-are
ἃ καὶ ἡμίεργα, τὰ δὲ καὶ ἐξειργασμένα κατελέλειπτο.
which also half-finished the and also completed had-been-left
παρὰ τοσοῦτον μὲν αἱ Συράκουσαι ἦλθον κινδύνου.
by so-much indeed — Syracuse came of-danger

3.1 οἱ δὲ Ἀθηναῖοι αἰφνιδίως τοῦ τε Γυλίππου καὶ τῶν
the and Athenians suddenly — both Gylippus and the
Συρακοσίων σφίσιν ἐπιόντων ἐθορυβήθησαν μὲν τὸ
Syracusans on-them coming-on were-thrown-into-confusion indeed the
πρῶτον, παρετάξαντο δέ. ὁ δὲ θέμενος τὰ ὅπλα ἐγγὺς
first they-drew-up but he and having-grounded the arms near
κήρυκα προσπέμπει αὐτοῖς λέγοντα, εἰ βούλονται ἐξιέναι
a-herald sends to-them saying if they-wish to-go-out
ἐκ τῆς Σικελίας πέντε ἡμερῶν λαβόντες τὰ σφέτερα
from — Sicily within-five days having-taken the their-own
αὐτῶν, ἑτοῖμος εἶναι σπένδεσθαι.
of-them ready to-be to-make-truce

3.2 οἱ δ' ἐν ὀλιγωρίᾳ τε ἐποιοῦντο καὶ οὐδὲν ἀποκρινάμενοι
they but in contempt both held-it and nothing having-answered
ἀπέπεμψαν. καὶ μετὰ τοῦτο ἀντιπαρεσκευάζοντο ἀλλήλοις
sent-him-away and after this they-prepared-against each-other
ὡς ἐς μάχην.
as for battle

καὶ ὁ Γύλιππος ὁρῶν τοὺς Συρακοσίους ταρασσομένους καὶ 3.3
and — Gylippus seeing the Syracusans in-confusion and
οὐ ῥᾳδίως ξυντασσομένους, ἐπανῆγε τὸ στρατόπεδον ἐς τὴν
not easily forming-up led-back the army into the
εὐρυχωρίαν μᾶλλον. καὶ ὁ Νικίας οὐκ ἐπῆγε τοὺς Ἀθηναίους,
open-ground rather and — Nicias not led-on the Athenians
ἀλλ' ἡσύχαζε πρὸς τῷ ἑαυτῶν τείχει. ὡς δ' ἔγνω ὁ
but kept-quiet by the their-own wall when and knew —
Γύλιππος οὐ προσιόντας αὐτούς, ἀπήγαγε τὴν στρατιὰν ἐπὶ
Gylippus not coming-on them he-led-off the army to
τὴν ἄκραν τὴν Τεμενῖτιν καλουμένην, καὶ αὐτοῦ ηὐλίσαντο.
the height the Temenitis called and there they-bivouacked
τῇ δ' ὑστεραίᾳ ἄγων τὴν μὲν πλείστην τῆς στρατιᾶς 3.4
on-the and next-day leading the indeed most of-the army
παρέταξε πρὸς τὰ τείχη τῶν Ἀθηναίων, ὅπως μὴ ἐπιβοηθοῖεν
he-drew-up against the walls of-the Athenians so-that not they-might-help
ἄλλοσε, μέρος δέ τι πέμψας πρὸς τὸ φρούριον τὸ
elsewhere part and some having-sent against the fort —
Λάβδαλον αἱρεῖ, καὶ ὅσους ἔλαβεν ἐν αὐτῷ πάντας
Labdalum takes-it and as-many-as he-took in it all
ἀπέκτεινεν· ἦν δὲ οὐκ ἐπιφανὲς τοῖς Ἀθηναίοις τὸ χωρίον.
killed was and not visible to-the Athenians the place
καὶ τριήρης τῇ αὐτῇ ἡμέρᾳ ἁλίσκεται τῶν Ἀθηναίων 3.5
and a-trireme on-the same day is-captured of-the Athenians
ὑπὸ τῶν Συρακοσίων ἐφορμοῦσα τῷ λιμένι.
by the Syracusans lying-in-wait-at the harbor
καὶ μετὰ ταῦτα ἐτείχιζον οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι 4.1
and after these-things built the Syracusans and the allies
διὰ τῶν Ἐπιπολῶν ἀπὸ τῆς πόλεως ἀρξάμενοι ἄνω
through — Epipolae from the city having-begun up

πρὸς τὸ ἐγκάρσιον τεῖχος ἁπλοῦν, ὅπως οἱ Ἀθηναῖοι, εἰ
toward the cross wall single so-that the Athenians if
μὴ δύναιντο κωλῦσαι, μηκέτι οἷοί τε ὦσιν ἀποτειχίσαι.
not they-could prevent no-longer able — be to-wall-off

4.2 καὶ οἵ τε Ἀθηναῖοι ἀνεβεβήκεσαν ἤδη ἄνω, τὸ ἐπὶ
and the both Athenians had-gone-up already up the by
θαλάσσῃ τεῖχος ἐπιτελέσαντες, καὶ ὁ Γύλιππος (ἦν
sea wall having-completed and — Gylippus was
γάρ τι τοῖς Ἀθηναίοις τοῦ τείχους ἀσθενές) νυκτὸς
for some-part for-the Athenians of-the wall weak by-night
ἀναλαβὼν τὴν στρατιὰν ἐπῄει πρὸς αὐτό.
having-taken the army went against it

4.3 οἱ δ' Ἀθηναῖοι (ἔτυχον γὰρ ἔξω αὐλιζόμενοι) ὡς ᾔσθοντο,
the and Athenians happened for outside bivouacking when they-perceived
ἀντεπῆσαν· ὁ δὲ γνοὺς κατὰ τάχος ἀπήγαγε τοὺς
advanced-against-them he and knowing in haste led-back the
σφετέρους πάλιν. ἐποικοδομήσαντες δὲ αὐτὸ οἱ Ἀθηναῖοι
their-own again having-built-up and it the Athenians
ὑψηλότερον αὐτοὶ μὲν ταύτῃ ἐφύλασσον, τοὺς δὲ ἄλλους
higher themselves indeed here guarded the and other
ξυμμάχους κατὰ τὸ ἄλλο τείχισμα ἤδη διέταξαν, ᾗπερ
allies along the rest wall already they-posted where-indeed
ἔμελλον ἕκαστοι φρουρεῖν.
were-going each to-garrison

4.4 τῷ δὲ Νικίᾳ ἐδόκει τὸ Πλημμύριον καλούμενον
— and to-Nicias it-seemed-good — Plemmyrium called
τειχίσαι· ἔστι δὲ ἄκρα ἀντιπέρας τῆς πόλεως, ἥπερ
to-fortify it-is and a-headland opposite the city which-indeed
προύχουσα τοῦ μεγάλου λιμένος τὸ στόμα στενὸν ποιεῖ,
projecting of-the great harbor the mouth narrow makes
καὶ εἰ τειχισθείη, ῥᾴων αὐτῷ ἐφαίνετο ἡ ἐσκομιδὴ τῶν
and if it-were-fortified easier to-him appeared the bringing-in of-the

ἐπιτηδείων ἔσεσθαι· δι᾽ ἐλάσσονος γὰρ πρὸς τῷ λιμένι
supplies to-be within shorter for at the harbor
τῷ τῶν Συρακοσίων ἐφορμήσειν σφᾶς, καὶ οὐχ ὥσπερ
the of-the Syracusans to-lie-at-anchor them and not as
νῦν ἐκ μυχοῦ τοῦ λιμένος τὰς ἐπαναγωγὰς ποιήσεσθαι,
now from inner-recess of-the harbor the put-outs to-make
ἤν τι ναυτικῷ κινῶνται. προσεῖχέ τε ἤδη μᾶλλον τῷ
if at-all with-a-navy they-move he-turned both now more to-the
κατὰ θάλασσαν πολέμῳ, ὁρῶν τὰ ἐκ τῆς γῆς σφίσιν
at sea war seeing the from the land for-them
ἤδη, ἐπειδὴ Γύλιππος ἦκεν, ἀνελπιστότερα ὄντα.
now since Gylippus came more-hopeless being
διακομίσας οὖν στρατιὰν καὶ τὰς ναῦς ἐξετείχισε τρία 4.5
having-carried-over then army and the ships he-built three
φρούρια· καὶ ἐν αὐτοῖς τά τε σκεύη τὰ πλεῖστα ἔκειτο καὶ
forts and in them the both baggage the most lay and
τὰ πλοῖα ἤδη ἐκεῖ τὰ μεγάλα ὥρμει καὶ αἱ ταχεῖαι νῆες.
the boats now there the large lay-at-anchor and the fast ships
ὥστε καὶ τῶν πληρωμάτων οὐχ ἥκιστα τότε πρῶτον 4.6
so-that also of-the crews not least then first
κάκωσις ἐγένετο· τῷ τε γὰρ ὕδατι σπανίῳ χρώμενοι
distress came-about with-the both for water scanty using
καὶ οὐκ ἐγγύθεν, καὶ ἐπὶ φρυγανισμὸν ἅμα ὁπότε
and not from-near and for wood-gathering at-the-same-time whenever
ἐξέλθοιεν οἱ ναῦται, ὑπὸ τῶν ἱππέων τῶν Συρακοσίων
went-out the sailors by the cavalry of-the Syracusans
κρατούντων τῆς γῆς διεφθείροντο· τρίτον γὰρ μέρος τῶν
masters-of the land they-were-destroyed a-third for part of-the
ἱππέων τοῖς Συρακοσίοις διὰ τοὺς ἐν τῷ Πλημμυρίῳ,
cavalry for-the Syracusans because-of those at — Plemmyrium

ἵνα μὴ κακουργήσοντες ἐξίοιεν, ἐπὶ τῇ ἐν τῷ
so-that not to-do-harm they-should-go-out at the at —
Ὀλυμπιείῳ πολίχνῃ ἐτετάχατο.
Olympieum small-town had-been-posted

4.7 ἐπυνθάνετο δὲ καὶ τὰς λοιπὰς τῶν Κορινθίων ναῦς
he-learned and also the remaining of-the Corinthian ships
προσπλεούσας ὁ Νικίας· καὶ πέμπει ἐς φυλακὴν αὐτῶν
sailing-up — Nicias and sends to watch for-them
εἴκοσι ναῦς, αἷς εἴρητο περί τε Λοκροὺς καὶ Ῥήγιον
twenty ships which had-been-ordered about both Locrians and Rhegium
καὶ τὴν προσβολὴν τῆς Σικελίας ναυλοχεῖν αὐτάς.
and the approach — of-Sicily to-lie-in-wait-for them

5.1 ὁ δὲ Γύλιππος ἅμα μὲν ἐτείχιζε τὸ διὰ τῶν
— and Gylippus at-the-same-time indeed was-building the through —
Ἐπιπολῶν τεῖχος, τοῖς λίθοις χρώμενος οὓς οἱ Ἀθηναῖοι
Epipolae wall the stones using which the Athenians
προπαρεβάλοντο σφίσιν, ἅμα δὲ παρέτασσεν
had-laid-out for-themselves at-the-same-time and drew-up
ἐξάγων αἰεὶ πρὸ τοῦ τειχίσματος τοὺς Συρακοσίους καὶ
leading-out always before the fortification the Syracusans and
τοὺς ξυμμάχους· καὶ οἱ Ἀθηναῖοι ἀντιπαρετάσσοντο.
the allies and the Athenians drew-up-against-them

5.2 ἐπειδὴ δὲ ἔδοξε τῷ Γυλίππῳ καιρὸς εἶναι, ἦρχε τῆς ἐφόδου·
when and it-seemed — to-Gylippus occasion to-be he-began the attack
καὶ ἐν χερσὶ γενόμενοι ἐμάχοντο μεταξὺ τῶν τειχισμάτων,
and at hands having-come they-fought between the fortifications
ᾗ τῆς ἵππου τῶν Συρακοσίων οὐδεμία χρῆσις ἦν.
where of-the cavalry of-the Syracusans no use was

5.3 καὶ νικηθέντων τῶν Συρακοσίων καὶ τῶν ξυμμάχων
and having-been-defeated the Syracusans and the allies
καὶ νεκροὺς ὑποσπόνδους ἀνελομένων καὶ τῶν Ἀθηναίων
and dead under-truce having-taken-up and the Athenians

τροπαῖον στησάντων, ὁ Γύλιππος ξυγκαλέσας τὸ
trophy having-set-up — Gylippus having-called-together the
στράτευμα οὐκ ἔφη τὸ ἁμάρτημα ἐκείνων, ἀλλ᾽ ἑαυτοῦ
army not said the error theirs but his-own
γενέσθαι· τῆς γὰρ ἵππου καὶ τῶν ἀκοντιστῶν τὴν ὠφελίαν
to-have-been of-the for cavalry and of-the javelin-men the usefulness
τῇ τάξει ἐντὸς λίαν τῶν τειχῶν ποιήσας ἀφελέσθαι·
by-the formation within too-far the walls having-made to-have-taken-away
νῦν οὖν αὖθις ἐπάξειν.
now then again he-would-lead-them-on
καὶ διανοεῖσθαι οὕτως ἐκέλευεν αὐτοὺς ὡς τῇ μὲν 5.4
and to-be-minded thus he-bade them as in-the indeed
παρασκευῇ οὐκ ἔλασσον ἕξοντας, τῇ δὲ γνώμῃ οὐκ
armament not less going-to-have in-the but spirit not
ἀνεκτὸν ἐσόμενον εἰ μὴ ἀξιώσουσι Πελοποννήσιοί τε
endurable going-to-be if not they-will-think-fit Peloponnesians both
ὄντες καὶ Δωριῆς Ἰώνων καὶ νησιωτῶν καὶ ξυγκλύδων
being and Dorians Ionians and islanders and motley
ἀνθρώπων κρατήσαντες ἐξελάσασθαι ἐκ τῆς χώρας.
men having-overcome to-drive-out from the country
καὶ μετὰ ταῦτα, ἐπειδὴ καιρὸς ἦν, αὖθις ἐπῆγεν αὐτούς. 6.1
and after these-things when occasion was again he-led-on them
ὁ δὲ Νικίας καὶ οἱ Ἀθηναῖοι νομίζοντες, καὶ εἰ ἐκεῖνοι
— and Nicias and the Athenians thinking even if they
μὴ ἐθέλοιεν μάχης ἄρχειν, ἀναγκαῖον εἶναι σφίσι μὴ
not wished battle to-begin necessary to-be for-them not
περιορᾶν παροικοδομούμενον τὸ τεῖχος (ἤδη γὰρ καὶ
to-overlook being-built-alongside the wall already for also
ὅσον οὐ παρεληλύθει τὴν τῶν Ἀθηναίων τοῦ τείχους
all-but not had-passed the of-the Athenians of-the wall
τελευτὴν ἡ ἐκείνων τείχισις, καί, εἰ προέλθοι, ταὐτὸν
end the their walling and if it-advanced the-same

ἤδη ἐποίει αὐτοῖς νικᾶν τε μαχομένοις διὰ παντὸς καὶ
now made for-them to-win both fighting through all and
μηδὲ μάχεσθαι), ἀντεπῆσαν οὖν τοῖς Συρακοσίοις.
not-even to-fight advanced-against-them then the Syracusans

6.2 καὶ ὁ Γύλιππος τοὺς μὲν ὁπλίτας ἔξω τῶν τειχῶν
and — Gylippus the indeed hoplites outside the walls
μᾶλλον ἢ πρότερον προαγαγὼν ξυνέμισγεν αὐτοῖς, τοὺς
more than before having-led-forward engaged them the
δ' ἱππέας καὶ τοὺς ἀκοντιστὰς ἐκ πλαγίου τάξας
and cavalry and the javelin-men on flank having-posted
τῶν Ἀθηναίων κατὰ τὴν εὐρυχωρίαν, ᾗ τῶν τειχῶν
of-the Athenians in the open-ground where of-the walls
ἀμφοτέρων αἱ ἐργασίαι ἔληγον.
both the works ended

6.3 καὶ προσβαλόντες οἱ ἱππῆς ἐν τῇ μάχῃ τῷ εὐωνύμῳ
and having-attacked the cavalry in the battle the left
κέρᾳ τῶν Ἀθηναίων, ὅπερ κατ' αὐτοὺς ἦν, ἔτρεψαν·
wing of-the Athenians which-very opposite them was routed
καὶ δι' αὐτὸ καὶ τὸ ἄλλο στράτευμα νικηθὲν ὑπὸ τῶν
and because-of it also the rest army defeated by the
Συρακοσίων κατηράχθη ἐς τὰ τειχίσματα.
Syracusans was-driven into the fortifications

6.4 καὶ τῇ ἐπιούσῃ νυκτὶ ἔφθασαν παροικοδομήσαντες καὶ
and in-the following night they-were-first having-built-alongside and
παρελθόντες τὴν τῶν Ἀθηναίων οἰκοδομίαν, ὥστε μηκέτι
having-passed the of-the Athenians building so-that no-longer
μήτε αὐτοὶ κωλύεσθαι ὑπ' αὐτῶν, ἐκείνους τε καὶ
neither they-themselves to-be-hindered by them them both and
παντάπασιν ἀπεστερηκέναι, εἰ καὶ κρατοῖεν, μὴ ἂν ἔτι
altogether to-have-deprived if even they-should-win not — still
σφᾶς ἀποτειχίσαι.
them to-wall-off

μετὰ δὲ τοῦτο αἵ τε τῶν Κορινθίων νῆες καὶ 7.1
after and this the both of-the Corinthian ships and
Ἀμπρακιωτῶν καὶ Λευκαδίων ἐσέπλευσαν αἱ ὑπόλοιποι
Ambraciots and Leucadians sailed-in the remaining
δώδεκα, λαθοῦσαι τὴν τῶν Ἀθηναίων φυλακήν (ἦρχε
twelve having-escaped the of-the Athenians watch commanded
δ' αὐτῶν Ἐρασινίδης Κορίνθιος), καὶ ξυνετείχισαν τὸ
and them Erasinides a-Corinthian and they-helped-wall the
λοιπὸν τοῖς Συρακοσίοις μέχρι τοῦ ἐγκαρσίου τείχους.
rest with-the Syracusans as-far-as the cross wall
καὶ ὁ Γύλιππος ἐς τὴν ἄλλην Σικελίαν ἐπὶ στρατιάν 7.2
and — Gylippus to the rest Sicily for force
τε ᾤχετο, καὶ ναυτικὴν καὶ πεζὴν ξυλλέξων, καὶ τῶν
both went and naval and land going-to-collect and of-the
πόλεων ἅμα προσαξόμενος εἴ τις ἢ μὴ πρόθυμος
cities at-the-same-time going-to-win-over if any either not eager
ἦν ἢ παντάπασιν ἔτι ἀφειστήκει τοῦ πολέμου.
was or altogether still had-stood-aloof from-the war
πρέσβεις τε ἄλλοι τῶν Συρακοσίων καὶ Κορινθίων ἐς 7.3
envoys and other of-the Syracusans and Corinthians to
Λακεδαίμονα καὶ Κόρινθον ἀπεστάλησαν, ὅπως στρατιὰ
Lacedaemon and Corinth were-sent so-that force
ἔτι περαιωθῇ τρόπῳ ᾧ ἂν ἐν ὁλκάσιν ἢ πλοίοις
further be-carried-over in-way whatever — in merchant-ships or boats
ἢ ἄλλως ὅπως ἂν προχωρῇ, ὡς καὶ τῶν Ἀθηναίων
or otherwise however — it-succeeds since also the Athenians
ἐπιμεταπεμπομένων.
sending-for-more
οἵ τε Συρακόσιοι ναυτικὸν ἐπλήρουν καὶ ἀνεπειρῶντο ὡς 7.4
the and Syracusans navy manned and practiced as
καὶ τούτῳ ἐπιχειρήσοντες, καὶ ἐς τἆλλα πολὺ ἐπέρρωντο.
also with-this going-to-attempt and in the-rest much took-courage

Nicias, seeing the enemy grow stronger daily, sends a letter to Athens so that the truth will not be softened by messengers. The besiegers, he writes, are now besieged. Gylippus has cut off the siege wall and is raising more forces, the enemy will attack by sea as well as by land, and the Athenian ships are waterlogged and their crews wasted. Slaves and foreign sailors desert, the cavalry cut off the foragers, and if the places in Italy that feed them go over to the enemy, the war is lost. He asks them to recall the army or send a second force as great as the first, with money, and to relieve him of command, since he is ill.

8.1 ὁ δὲ Νικίας αἰσθόμενος τοῦτο καὶ ὁρῶν καθ' ἡμέραν
— and Nicias perceiving this and seeing by day
ἐπιδιδοῦσαν τήν τε τῶν πολεμίων ἰσχὺν καὶ τὴν σφετέραν
increasing the both of-the enemies strength and the their-own
ἀπορίαν, ἔπεμπε καὶ αὐτὸς ἐς τὰς Ἀθήνας ἀγγέλλων
helplessness sent also himself to — Athens reporting
πολλάκις μὲν καὶ ἄλλοτε καθ' ἕκαστα τῶν γιγνομένων,
often indeed also at-other-times about each of-the happenings
μάλιστα δὲ καὶ τότε, νομίζων ἐν δεινοῖς τε εἶναι καί,
most and also then thinking in dangers both to-be and
εἰ μὴ ὡς τάχιστα ἢ σφᾶς μεταπέμψουσιν ἢ ἄλλους
if not as quickly-as-possible either them they-recall or others
μὴ ὀλίγους ἀποστελοῦσιν, οὐδεμίαν εἶναι σωτηρίαν.
not few they-send no to-be safety

8.2 φοβούμενος δὲ μὴ οἱ πεμπόμενοι ἢ κατὰ τὴν τοῦ λέγειν
fearing and lest those being-sent either through the of-the to-speak
ἀδυνασίαν ἢ καὶ μνήμης ἐλλιπεῖς γιγνόμενοι ἢ τῷ ὄχλῳ
inability or also of-memory deficient becoming or to-the mob
πρὸς χάριν τι λέγοντες οὐ τὰ ὄντα ἀπαγγέλλωσιν,
for favor something saying not the facts report
ἔγραψεν ἐπιστολήν, νομίζων οὕτως ἂν μάλιστα τὴν αὐτοῦ
wrote a-letter thinking so — best the his-own

γνώμην μηδὲν ἐν τῷ ἀγγέλῳ ἀφανισθεῖσαν μαθόντας τοὺς
opinion nothing in the messenger lost having-learned the
Ἀθηναίους βουλεύσασθαι περὶ τῆς ἀληθείας.
Athenians to-deliberate about the truth
καὶ οἱ μὲν ᾤχοντο φέροντες, οὓς ἀπέστειλε, τὰ 8.3
and they indeed went carrying whom he-sent the
γράμματα καὶ ὅσα ἔδει αὐτοὺς εἰπεῖν· ὁ δὲ τὰ
letter and as-much-as was-needed them to-say he and the
κατὰ τὸ στρατόπεδον διὰ φυλακῆς μᾶλλον ἤδη ἔχων
in the camp through guarding rather now holding
ἢ δι' ἑκουσίων κινδύνων ἐπεμέλετο.
than through voluntary risks managed
ἐν δὲ τῷ αὐτῷ θέρει τελευτῶντι καὶ Εὐετίων στρατηγὸς 9.1
in and the same summer ending also Euetion general
Ἀθηναίων μετὰ Περδίκκου στρατεύσας ἐπ' Ἀμφίπολιν
of-Athenians with Perdiccas having-marched against Amphipolis
Θρᾳξὶ πολλοῖς τὴν μὲν πόλιν οὐχ εἷλεν, ἐς δὲ
with-Thracians many the indeed city not took into and
τὸν Στρυμόνα περικομίσας τριήρεις ἐκ τοῦ ποταμοῦ
the Strymon having-brought-round triremes from the river
ἐπολιόρκει ὁρμώμενος ἐξ Ἰμεραίου. καὶ τὸ θέρος ἐτελεύτα.
he-besieged setting-out from Himeraeum and the summer ended
τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἥκοντες ἐς τὰς Ἀθήνας 10.1
in-the and following winter having-come to — Athens
οἱ παρὰ τοῦ Νικίου ὅσα τε ἀπὸ γλώσσης εἴρητο
those from — Nicias as-much-as both by word-of-mouth had-been-told
αὐτοῖς εἶπον, καὶ εἴ τίς τι ἐπηρώτα ἀπεκρίνοντο, καὶ
them they-said and if anyone anything asked answered and
τὴν ἐπιστολὴν ἀπέδοσαν. ὁ δὲ γραμματεὺς ὁ τῆς πόλεως
the letter delivered the and secretary the of-the city
παρελθὼν ἀνέγνω τοῖς Ἀθηναίοις δηλοῦσαν τοιάδε.
having-come-forward read to-the Athenians showing as-follows

11.1 Τὰ μὲν πρότερον πραχθέντα, ὦ Ἀθηναῖοι, ἐν ἄλλαις
the indeed before things-done O Athenians in other
πολλαῖς ἐπιστολαῖς ἴστε· νῦν δὲ καιρὸς οὐχ ἧσσον
many letters you-know now but occasion not less
μαθόντας ὑμᾶς ἐν ᾧ ἐσμὲν βουλεύσασθαι.
having-learned you in what we-are to-deliberate

11.2 κρατησάντων γὰρ ἡμῶν μάχαις ταῖς πλέοσι Συρακοσίους
having-defeated for we in-battles the most Syracusans
ἐφ' οὓς ἐπέμφθημεν καὶ τὰ τείχη οἰκοδομησαμένων ἐν
against whom we-were-sent and the walls having-built in
οἷσπερ νῦν ἐσμέν, ἦλθε Γύλιππος Λακεδαιμόνιος στρατιὰν
which-very now we-are came Gylippus a-Lacedaemonian army
ἔχων ἔκ τε Πελοποννήσου καὶ ἀπὸ τῶν ἐν Σικελίᾳ
having from both Peloponnese and from the in Sicily
πόλεων ἔστιν ὧν. καὶ μάχῃ τῇ μὲν πρώτῃ νικᾶται
cities some of-which and in-battle the indeed first is-beaten
ὑφ' ἡμῶν, τῇ δ' ὑστεραίᾳ ἱππεῦσί τε πολλοῖς καὶ
by us on-the but next-day by-cavalry both many and
ἀκοντισταῖς βιασθέντες ἀνεχωρήσαμεν ἐς τὰ τείχη.
javelin-men being-forced we-withdrew into the walls

11.3 νῦν οὖν ἡμεῖς μὲν παυσάμενοι τοῦ περιτειχισμοῦ διὰ
now then we indeed having-ceased from-the circumvallation because-of
τὸ πλῆθος τῶν ἐναντίων ἡσυχάζομεν (οὐδὲ γὰρ ξυμπάσῃ
the number of-the opponents keep-quiet not-even for with-all
τῇ στρατιᾷ δυναίμεθ' ἂν χρήσασθαι ἀπανηλωκυίας τῆς
the army we-could — use having-used-up the
φυλακῆς τῶν τειχῶν μέρος τι τοῦ ὁπλιτικοῦ)· οἱ δὲ
guarding of-the walls part some of-the hoplite-force they and
παρῳκοδομήκασιν ἡμῖν τεῖχος ἁπλοῦν, ὥστε μὴ εἶναι
have-built-alongside us wall single so-that not to-be-possible

ἔτι περιτειχίσαι αὐτούς, ἢν μή τις τὸ παρατείχισμα τοῦτο
still to-wall-in them if not one the cross-wall this
πολλῇ στρατιᾷ ἐπελθὼν ἕλῃ.
with-large army having-attacked takes
ξυμβέβηκέ τε πολιορκεῖν δοκοῦντας ἡμᾶς ἄλλους αὐτοὺς 11.4
it-has-turned-out both to-besiege seeming us others ourselves
μᾶλλον, ὅσα γε κατὰ γῆν, τοῦτο πάσχειν· οὐδὲ γὰρ
rather so-far-as at-least by land this to-suffer not-even for
τῆς χώρας ἐπὶ πολὺ διὰ τοὺς ἱππέας ἐξερχόμεθα.
from-the country to far because-of the cavalry do-we-go-out
Ἐπέμφασι δὲ καὶ ἐς Πελοπόννησον πρέσβεις ἐπ' ἄλλην 12.1
they-have-sent and also to Peloponnese envoys for other
στρατιάν, καὶ ἐς τὰς ἐν Σικελίᾳ πόλεις Γύλιππος οἴχεται,
army and to the in Sicily cities Gylippus has-gone
τὰς μὲν καὶ πείσων ξυμπολεμεῖν ὅσαι νῦν
the-ones indeed also going-to-persuade to-join-in-war as-many-as now
ἡσυχάζουσιν, ἀπὸ δὲ τῶν καὶ στρατιὰν ἔτι πεζὴν καὶ
keep-quiet from and the-others also army further land and
ναυτικοῦ παρασκευήν, ἢν δύνηται, ἄξων.
of-navy armament if he-can going-to-bring
διανοοῦνται γάρ, ὡς ἐγὼ πυνθάνομαι, τῷ τε πεζῷ 12.2
they-intend for as I learn with-the both infantry
ἅμα τῶν τειχῶν ἡμῶν πειρᾶν καὶ ταῖς ναυσὶ
at-the-same-time the walls our to-try and with-the ships
κατὰ θάλασσαν.
by sea
καὶ δεινὸν μηδενὶ ὑμῶν δόξῃ εἶναι ὅτι καὶ κατὰ 12.3
and terrible to-none of-you let-it-seem to-be that also by
θάλασσαν. τὸ γὰρ ναυτικὸν ἡμῶν, ὅπερ κἀκεῖνοι
sea the for navy our which-very also-they
πυνθάνονται, τὸ μὲν πρῶτον ἤκμαζε καὶ τῶν νεῶν
learn the indeed first was-at-its-peak both of-the ships

τῇ ξηρότητι καὶ τῶν πληρωμάτων τῇ σωτηρίᾳ· νῦν δὲ
in-the dryness and of-the crews in-the soundness now but
αἵ τε νῆες διάβροχοι τοσοῦτον χρόνον ἤδη θαλασσεύουσαι,
the both ships waterlogged so-long time now being-at-sea
καὶ τὰ πληρώματα ἔφθαρται.
and the crews are-ruined

12.4 τὰς μὲν γὰρ ναῦς οὐκ ἔστιν ἀνελκύσαντας διαψύξαι
the indeed for ships not it-is-possible having-hauled-up to-dry-out
διὰ τὸ ἀντιπάλους τῷ πλήθει καὶ ἔτι πλείους τὰς τῶν
because-of the equal in-the number and even more the of-the
πολεμίων οὔσας αἰεὶ προσδοκίαν παρέχειν ὡς ἐπιπλεύσονται.
enemies being always expectation to-provide that they-will-sail-against

12.5 φανεραὶ δ' εἰσὶν ἀναπειρώμεναι, καὶ αἱ ἐπιχειρήσεις ἐπ'
evident and they-are practicing and the attacks with
ἐκείνοις καὶ ἀποξηρᾶναι τὰς σφετέρας μᾶλλον ἐξουσία· οὐ
them and to-dry the their-own rather power not
γὰρ ἐφορμοῦσιν ἄλλοις.
for they-blockade others

13.1 ἡμῖν δ' ἐκ πολλῆς ἂν περιουσίας νεῶν μόλις τοῦτο
for-us but from great — abundance of-ships barely this
ὑπῆρχε καὶ μὴ ἀναγκαζομένοις ὥσπερ νῦν πάσαις
would-be-possible and not being-compelled as now with-all
φυλάσσειν· εἰ γὰρ ἀφαιρήσομέν τι καὶ βραχὺ τῆς
to-keep-guard if for we-relax at-all even little of-the
τηρήσεως, τὰ ἐπιτήδεια οὐχ ἕξομεν, παρὰ τὴν ἐκείνων
watch the supplies not we-will-have past the their
πόλιν χαλεπῶς καὶ νῦν ἐσκομιζόμενοι.
city with-difficulty even now bringing-them-in

13.2 τὰ δὲ πληρώματα διὰ τόδε ἐφθάρη τε ἡμῖν καὶ
the and crews for this-reason were-ruined both for-us and
ἔτι νῦν φθείρεται, τῶν ναυτῶν μὲν διὰ φρυγανισμὸν
still now are-being-ruined of-the sailors indeed because-of wood-gathering

καὶ ἁρπαγὴν καὶ ὑδρείαν μακρὰν ὑπὸ τῶν ἱππέων
and plundering and water-fetching far by the cavalry
ἀπολλυμένων· οἱ δὲ θεράποντες, ἐπειδὴ ἐς ἀντίπαλα
perishing the and servants since into equality
καθεστήκαμεν, αὐτομολοῦσι, καὶ οἱ ξένοι οἱ μὲν
we-have-come desert and the foreigners the-ones indeed
ἀναγκαστοὶ ἐσβάντες εὐθὺς κατὰ τὰς πόλεις ἀποχωροῦσιν,
compelled having-embarked at-once to the cities go-away
οἱ δὲ ὑπὸ μεγάλου μισθοῦ τὸ πρῶτον ἐπαρθέντες καὶ
the-others and by great pay the first having-been-lured and
οἰόμενοι χρηματιεῖσθαι μᾶλλον ἢ μαχεῖσθαι, ἐπειδὴ παρὰ
thinking to-make-money rather than to-fight since against
γνώμην ναυτικόν τε δὴ καὶ τἆλλα ἀπὸ τῶν πολεμίων
expectation navy both indeed and the-rest from the enemies
ἀνθεστῶτα ὁρῶσιν, οἱ μὲν ἐπ᾽ αὐτομολίας προφάσει
resisting they-see the-ones indeed on desertion pretext
ἀπέρχονται, οἱ δὲ ὡς ἕκαστοι δύνανται (πολλὴ δ᾽ ἡ
go-away the-others and as each can large and —
Σικελία), εἰσὶ δ᾽ οἳ καὶ αὐτοὶ ἐμπορευόμενοι ἀνδράποδα
Sicily there-are and who also themselves trading slaves
Ὑκκαρικὰ ἀντεμβιβάσαι ὑπὲρ σφῶν πείσαντες τοὺς
Hyccaric to-put-aboard-in-place for themselves having-persuaded the
τριηράρχους τὴν ἀκρίβειαν τοῦ ναυτικοῦ ἀφῄρηνται.
trierarchs the precision of-the navy have-taken-away
ἐπισταμένοις δ᾽ ὑμῖν γράφω ὅτι βραχεῖα ἀκμὴ πληρώματος 14.1
knowing and you I-write that brief peak of-a-crew
καὶ ὀλίγοι τῶν ναυτῶν οἱ ἐξορμῶντές τε ναῦν καὶ
and few of-the sailors those starting both a-ship and
ξυνέχοντες τὴν εἰρεσίαν.
keeping-together the rowing

14.2 τούτων δὲ πάντων ἀπορώτατον τό τε μὴ οἷόν τε
of-these and all most-hopeless the both not possible —
εἶναι ταῦτα ἐμοὶ κωλῦσαι τῷ στρατηγῷ (χαλεπαὶ
to-be these-things for-me to-prevent the general hard
γὰρ αἱ ὑμέτεραι φύσεις ἄρξαι) καὶ ὅτι οὐδ' ὁπόθεν
for the your natures to-command and that not-even whence
ἐπιπληρωσόμεθα τὰς ναῦς ἔχομεν, ὃ τοῖς πολεμίοις
we-will-man the ships we-have which for-the enemies
πολλαχόθεν ὑπάρχει, ἀλλ' ἀνάγκη ἀφ' ὧν ἔχοντες ἤλθομεν
from-many-sources exists but necessity from what having we-came
τά τε ὄντα καὶ ἀπαναλισκόμενα γίγνεσθαι· αἱ γὰρ νῦν
the both existing and being-used-up to-come for the now
οὖσαι πόλεις ξύμμαχοι ἀδύνατοι Νάξος καὶ Κατάνη.
existing cities allies are-powerless Naxos and Catana

14.3 εἰ δὲ προσγενήσεται ἓν ἔτι τοῖς πολεμίοις, ὥστε τὰ
if and will-be-added one more to-the enemies so-that the
τρέφοντα ἡμᾶς χωρία τῆς Ἰταλίας, ὁρῶντα ἐν ᾧ τ'
feeding us places — of-Italy seeing in what both
ἐσμὲν καὶ ὑμῶν μὴ ἐπιβοηθούντων, πρὸς ἐκείνους χωρῆσαι,
we-are and you not helping to them to-go-over
διαπεπολεμήσεται αὐτοῖς ἀμαχεὶ ἐκπολιορκηθέντων ἡμῶν.
the-war-will-be-won for-them without-a-battle having-been-reduced-by-siege of-us

14.4 Τούτων ἐγὼ ἡδίω μὲν ἂν εἶχον ὑμῖν ἕτερα
of-these I more-pleasant indeed — could to-you other-things
ἐπιστέλλειν, οὐ μέντοι χρησιμώτερά γε, εἰ δεῖ σαφῶς
to-write not however more-useful at-least if one-must clearly
εἰδότας τὰ ἐνθάδε βουλεύσασθαι. καὶ ἅμα τὰς φύσεις
knowing the here to-deliberate and at-the-same-time the natures
ἐπιστάμενος ὑμῶν, βουλομένων μὲν τὰ ἥδιστα ἀκούειν,
knowing your wishing indeed the most-pleasant to-hear

αἰτιωμένων δὲ ὕστερον, ἤν τι ὑμῖν ἀπ᾽ αὐτῶν μὴ
blaming but later if anything to-you from them not
ὁμοῖον ἐκβῇ, ἀσφαλέστερον ἡγησάμην τὸ ἀληθὲς δηλῶσαι.
alike turns-out safer I-thought the truth to-reveal
καὶ νῦν ὡς ἐφ᾽ ἃ μὲν ἤλθομεν τὸ πρῶτον καὶ 15.1
and now as for what indeed we-came the first both
τῶν στρατιωτῶν καὶ τῶν ἡγεμόνων ὑμῖν μὴ μεμπτῶν
of-the soldiers and of-the leaders to-you not blameworthy
γεγενημένων, οὕτω τὴν γνώμην ἔχετε· ἐπειδὴ δὲ Σικελία
having-been so the mind have since but Sicily
τε ἅπασα ξυνίσταται καὶ ἐκ Πελοποννήσου ἄλλη στρατιὰ
both all is-combining and from Peloponnese other army
προσδόκιμος αὐτοῖς, βουλεύεσθε ἤδη ὡς τῶν γ᾽ ἐνθάδε
expected for-them deliberate now as of-the at-least here
μηδὲ τοῖς παροῦσιν ἀνταρκούντων, ἀλλ᾽ ἢ τούτους
not-even to-the present-forces being-a-match but either these
μεταπέμπειν δέον ἢ ἄλλην στρατιὰν μὴ ἐλάσσω
to-recall being-needed or another army not smaller
ἐπιπέμπειν καὶ πεζὴν καὶ ναυτικὴν καὶ χρήματα μὴ
to-send-in-addition both land and naval and money not
ὀλίγα, ἐμοὶ δὲ διάδοχόν τινα, ὡς ἀδύνατός εἰμι διὰ
little for-me and successor some as unable I-am because-of
νόσον νεφρῖτιν παραμένειν.
disease of-the-kidneys to-remain
ἀξιῶ δ᾽ ὑμῶν ξυγγνώμης τυγχάνειν· καὶ γὰρ ὅτ᾽ ἐρρώμην 15.2
I-ask and of-you pardon to-obtain also for when I-was-strong
πολλὰ ἐν ἡγεμονίαις ὑμᾶς εὖ ἐποίησα. ὅτι δὲ μέλλετε,
much in commands you well I-served what but you-intend
ἅμα τῷ ἦρι εὐθὺς καὶ μὴ ἐς ἀναβολὰς πράσσετε, ὡς
together-with the spring at-once and not to delays do since
τῶν πολεμίων τὰ μὲν ἐν Σικελίᾳ δι᾽ ὀλίγου πορισυμένων,
of-the enemies the-ones indeed in Sicily within short going-to-be-provided

τὰ δ' ἐκ Πελοποννήσου σχολαίτερον μέν, ὅμως δ',
the-others and from Peloponnese more-slowly indeed nevertheless but
ἢν μὴ προσέχητε τὴν γνώμην, τὰ μὲν λήσουσιν
if not you-attend the mind the-ones indeed will-escape-notice-of
ὑμᾶς, ὥσπερ καὶ πρότερον, τὰ δὲ φθήσονται.'
you as also before the-others and will-anticipate

III · ATHENS SENDS DEMOSTHENES

The Athenians refuse to relieve Nicias. They give him two colleagues from the army, Menander and Euthydemus, and vote a second fleet and army under Demosthenes and Eurymedon. Eurymedon sails at once in midwinter with ten ships and money. Demosthenes stays to prepare for the spring, and twenty ships are sent round the Peloponnese to keep the Corinthians from crossing to Sicily. The Corinthians and the Spartans prepare to send hoplites to Sicily in merchant ships, and the Spartans prepare to fortify Decelea. They believe that in the first war the fault was theirs, over Plataea, and that now, with the raids on Laconia and the refusal of arbitration, it has passed to Athens; and the eighteenth year of the war ends.

16.1 ἡ μὲν τοῦ Νικίου ἐπιστολὴ τοσαῦτα ἐδήλου, οἱ δὲ Ἀθηναῖοι
the indeed — of-Nicias letter so-much made-known the and Athenians
ἀκούσαντες αὐτῆς τὸν μὲν Νικίαν οὐ παρέλυσαν τῆς
having-heard it — indeed Nicias not relieved of-the
ἀρχῆς, ἀλλ' αὐτῷ, ἕως ἂν ἕτεροι ξυνάρχοντες αἱρεθέντες
command but to-him until — other fellow-commanders having-been-chosen
ἀφίκωνται, τῶν αὐτοῦ ἐκεῖ δύο προσείλοντο Μένανδρον
should-arrive of-the on-the-spot there two chose-in-addition Menander
καὶ Εὐθύδημον, ὅπως μὴ μόνος ἐν ἀσθενείᾳ ταλαιπωροίη,
and Euthydemus so-that not alone in sickness he-might-be-distressed
στρατιὰν δὲ ἄλλην ἐψηφίσαντο πέμπειν καὶ ναυτικὴν καὶ
army and another they-voted to-send both naval and
πεζὴν Ἀθηναίων τε ἐκ καταλόγου καὶ τῶν ξυμμάχων.
land of-Athenians both from muster-roll and of-the allies

καὶ ξυνάρχοντας αὐτῷ εἵλοντο Δημοσθένη τε τὸν 16.2
and fellow-commanders to-him they-chose Demosthenes both the
Ἀλκισθένους καὶ Εὐρυμέδοντα τὸν Θουκλέους. καὶ τὸν μὲν
son-of-Alcisthenes and Eurymedon the son-of-Thucles and — indeed
Εὐρυμέδοντα εὐθὺς περὶ ἡλίου τροπὰς τὰς χειμερινὰς
Eurymedon at-once about of-the-sun turnings the winter
ἀποπέμπουσιν ἐς τὴν Σικελίαν μετὰ δέκα νεῶν, ἄγοντα εἴκοσι
they-send-off to — Sicily with ten ships bringing twenty
καὶ ἑκατὸν τάλαντα ἀργυρίου, καὶ ἅμα ἀγγελοῦντα
and hundred talents of-silver and at-the-same-time to-announce
τοῖς ἐκεῖ ὅτι ἥξει βοήθεια καὶ ἐπιμέλεια αὐτῶν ἔσται·
to-the-ones there that will-come help and care of-them will-be
ὁ δὲ Δημοσθένης ὑπομένων παρεσκευάζετο τὸν ἔκπλουν 17.1
— and Demosthenes staying-behind prepared the voyage-out
ὡς ἅμα τῷ ἦρι ποιησόμενος, στρατιάν τε ἐπαγγέλλων
as together-with the spring going-to-make army both ordering
ἐς τοὺς ξυμμάχους καὶ χρήματα αὐτόθεν καὶ ναῦς καὶ
to the allies and money from-home and ships and
ὁπλίτας ἑτοιμάζων.
hoplites making-ready
πέμπουσι δὲ καὶ περὶ τὴν Πελοπόννησον οἱ Ἀθηναῖοι 17.2
they-send and also around — Peloponnese the Athenians
εἴκοσι ναῦς, ὅπως φυλάσσοιεν μηδένα ἀπὸ Κορίνθου καὶ
twenty ships so-that they-might-guard no-one from Corinth and
τῆς Πελοποννήσου ἐς τὴν Σικελίαν περαιοῦσθαι.
— Peloponnese to — Sicily to-cross
οἱ γὰρ Κορίνθιοι, ὡς αὐτοῖς οἱ πρέσβεις ἦκον καὶ τὰ ἐν 17.3
the for Corinthians when to-them the envoys came and the-things in
τῇ Σικελίᾳ βελτίω ἤγγελλον, νομίσαντες οὐκ ἄκαιρον καὶ
— Sicily better reported having-thought not untimely also
τὴν προτέραν πέμψιν τῶν νεῶν ποιήσασθαι, πολλῷ μᾶλλον
the earlier sending of-the ships to-have-made much more

ἐπέρρωντο, καὶ ἐν ὁλκάσι παρεσκευάζοντο αὐτοί τε
took-courage and in merchant-ships prepared themselves both
ἀποστελοῦντες ὁπλίτας ἐς τὴν Σικελίαν καὶ ἐκ τῆς ἄλλης
going-to-dispatch hoplites to — Sicily and from the other
Πελοποννήσου οἱ Λακεδαιμόνιοι τῷ αὐτῷ τρόπῳ πέμψοντες·
Peloponnese the Lacedaemonians in-the same way going-to-send
17.4 ναῦς τε οἱ Κορίνθιοι πέντε καὶ εἴκοσιν ἐπλήρουν, ὅπως
ships both the Corinthians five and twenty manned so-that
ναυμαχίας τε ἀποπειράσωσι πρὸς τὴν ἐν τῇ Ναυπάκτῳ
of-sea-battle both they-might-make-trial against the at — Naupactus
φυλακήν, καὶ τὰς ὁλκάδας αὐτῶν ἧσσον οἱ ἐν τῇ
guard and the merchant-ships of-them less the at —
Ναυπάκτῳ Ἀθηναῖοι κωλύοιεν ἀπαίρειν, πρὸς τὴν σφετέραν
Naupactus Athenians might-hinder to-put-out toward the their-own
ἀντίταξιν τῶν τριήρων τὴν φυλακὴν ποιούμενοι.
counter-array of-the triremes the guard making
18.1 παρεσκευάζοντο δὲ καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν οἱ
prepared and also the into — Attica invasion the
Λακεδαιμόνιοι, ὥσπερ τε προυδέδοκτο αὐτοῖς καὶ τῶν
Lacedaemonians as both had-been-resolved-before by-them and the
Συρακοσίων καὶ Κορινθίων ἐναγόντων, ἐπειδὴ ἐπυνθάνοντο
Syracusans and Corinthians urging-on since they-learned-of
τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν ἐς τὴν Σικελίαν, ὅπως
the from the Athenians help to — Sicily so-that
δὴ ἐσβολῆς γενομένης διακωλυθῇ. καὶ ὁ Ἀλκιβιάδης
indeed invasion having-happened it-might-be-hindered and — Alcibiades
προσκείμενος ἐδίδασκε τὴν Δεκέλειαν τειχίζειν καὶ μὴ
pressing taught — Decelea to-fortify and not
ἀνιέναι τὸν πόλεμον.
to-let-go the war

μάλιστα δὲ τοῖς Λακεδαιμονίοις ἐγεγένητό τις ῥώμη, 18.2
most and to-the Lacedaemonians had-come-about a-certain vigor
διότι τοὺς Ἀθηναίους ἐνόμιζον διπλοῦν τὸν πόλεμον
because the Athenians they-thought double the war
ἔχοντας, πρός τε σφᾶς καὶ Σικελιώτας, εὐκαθαιρετωτέρους
having against both them and Sicilian-Greeks more-easily-overthrown
ἔσεσθαι, καὶ ὅτι τὰς σπονδὰς προτέρους λελυκέναι
to-be and that the treaty first to-have-broken
ἡγοῦντο αὐτούς· ἐν γὰρ τῷ προτέρῳ πολέμῳ σφέτερον
they-considered them in for the former war their-own
τὸ παρανόμημα μᾶλλον γενέσθαι, ὅτι τε ἐς Πλάταιαν
the offense rather to-have-been because both to Plataea
ἦλθον Θηβαῖοι ἐν σπονδαῖς, καὶ εἰρημένον ἐν ταῖς
came Thebans in truce and it-having-been-stated in the
πρότερον ξυνθήκαις ὅπλα μὴ ἐπιφέρειν, ἢν δίκας ἐθέλωσι
before compacts arms not to-bring-against if trials they-are-willing
διδόναι, αὐτοὶ οὐχ ὑπήκουον ἐς δίκας προκαλουμένων
to-give they-themselves not obeyed into trials summoning
τῶν Ἀθηναίων. καὶ διὰ τοῦτο εἰκότως δυστυχεῖν τε
the Athenians and on-account-of this reasonably to-be-unfortunate both
ἐνόμιζον, καὶ ἐνεθυμοῦντο τήν τε περὶ Πύλον ξυμφορὰν
they-thought and they-took-to-heart the both at Pylos disaster
καὶ εἴ τις ἄλλη αὐτοῖς ἐγένετο.
and if any other to-them happened
ἐπειδὴ δὲ οἱ Ἀθηναῖοι ταῖς τριάκοντα ναυσὶν ἐξ Ἄργους 18.3
when and the Athenians with-the thirty ships from Argos
ὁρμώμενοι Ἐπιδαύρου τέ τι καὶ Πρασιῶν καὶ ἄλλα
setting-out of-Epidaurus both some and of-Prasiae and other-things
ἐδῄωσαν καὶ ἐκ Πύλου ἅμα ἐληστεύοντο, καὶ
ravaged and from Pylos at-the-same-time made-raids and
ὁσάκις περί του διαφοραὶ γένοιντο τῶν κατὰ τὰς
as-often-as about something disputes arose of-the-things under the

σπονδὰς ἀμφισβητουμένων, ἐς δίκας προκαλουμένων τῶν
treaty disputed into trials summoning the
Λακεδαιμονίων οὐκ ἤθελον ἐπιτρέπειν, τότε δὴ οἱ
Lacedaemonians not they-were-willing to-submit then indeed the
Λακεδαιμόνιοι νομίσαντες τὸ παρανόμημα, ὅπερ καὶ σφίσι
Lacedaemonians having-thought the offense which also by-them
πρότερον ἡμάρτητο, αὖθις ἐς τοὺς Ἀθηναίους τὸ αὐτὸ
before had-been-committed again onto the Athenians the same
περιεστάναι, πρόθυμοι ἦσαν ἐς τὸν πόλεμον.
to-have-come-round eager were for the war

18.4 καὶ ἐν τῷ χειμῶνι τούτῳ σίδηρόν τε περιήγγελλον κατὰ
and in the winter this iron both they-sent-round-for among
τοὺς ξυμμάχους καὶ τἆλλα ἐργαλεῖα ἡτοίμαζον ἐς τὸν
the allies and the-other tools prepared for the
ἐπιτειχισμόν, καὶ τοῖς ἐν τῇ Σικελίᾳ ἅμα ὡς
fortification and for-the-ones in — Sicily at-the-same-time as
ἀποπέμψοντες ἐν ταῖς ὁλκάσιν ἐπικουρίαν αὐτοί τε
going-to-send in the merchant-ships help themselves both
ἐπόριζον καὶ τοὺς ἄλλους Πελοποννησίους προσηνάγκαζον.
provided and the other Peloponnesians compelled
καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ ὄγδοον καὶ δέκατον ἔτος
and the winter ended and eighth and tenth year
τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.
for-the war ended this which Thucydides wrote

IV · DECELEA AND PLEMMYRIUM

At the start of spring the Peloponnesians invade Attica under Agis and fortify Decelea, in sight of Athens, and their hoplites sail for Sicily in merchant ships. Athens sends Charicles round the Peloponnese and Demosthenes with the second armament. Gylippus, with Hermocrates' help, persuades the Syracusans to fight at sea. While their ships engage the Athenians in the harbor, he takes the forts at Plemmyrium by land at dawn. The Syracusans lose the sea battle but hold Plemmyrium, where the Athenians lose men, merchants' goods and grain, the trierarchs' gear, and three triremes, and its loss most dismays the army, since the fleet can no longer take in supplies safely.

τοῦ δ' ἐπιγιγνομένου ἦρος εὐθὺς ἀρχομένου πρωίτατα δὴ 19.1
in-the and following spring at-once beginning earliest indeed
οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐς τὴν Ἀττικὴν ἐσέβαλον·
the Lacedaemonians and the allies into — Attica invaded
ἡγεῖτο δὲ Ἄγις ὁ Ἀρχιδάμου Λακεδαιμονίων βασιλεύς. καὶ
led and Agis the son-of-Archidamus of-Lacedaemonians king and
πρῶτον μὲν τῆς χώρας τὰ περὶ τὸ πεδίον ἐδῄωσαν,
first indeed of-the country the-parts around the plain they-ravaged
ἔπειτα Δεκέλειαν ἐτείχιζον, κατὰ πόλεις διελόμενοι τὸ ἔργον.
then Decelea they-fortified by cities having-divided the work
ἀπέχει δὲ ἡ Δεκέλεια σταδίους μάλιστα τῆς τῶν 19.2
is-distant and — Decelea stades about from-the of-the
Ἀθηναίων πόλεως εἴκοσι καὶ ἑκατόν, παραπλήσιον δὲ καὶ
Athenians city twenty and hundred similar and and
οὐ πολλῷ πλέον καὶ ἀπὸ τῆς Βοιωτίας. ἐπὶ δὲ τῷ πεδίῳ
not much more also from — Boeotia against and the plain
καὶ τῆς χώρας τοῖς κρατίστοις ἐς τὸ κακουργεῖν ᾠκοδομεῖτο
and of-the country the best-parts for the to-do-harm was-built
τὸ τεῖχος, ἐπιφανὲς μέχρι τῆς τῶν Ἀθηναίων πόλεως.
the wall visible as-far-as the of-the Athenians city

19.3 καὶ οἱ μὲν ἐν τῇ Ἀττικῇ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι
and the indeed in — Attica Peloponnesians and the allies
ἐτείχιζον, οἱ δ' ἐν τῇ Πελοποννήσῳ ἀπέστελλον περὶ
fortified the-ones and in — Peloponnese sent-off about
τὸν αὐτὸν χρόνον ταῖς ὁλκάσι τοὺς ὁπλίτας ἐς τὴν
the same time in-the merchant-ships the hoplites to —
Σικελίαν, Λακεδαιμόνιοι μὲν τῶν τε Εἱλώτων ἐπιλεξάμενοι
Sicily Lacedaemonians indeed of-the both Helots having-picked-out
τοὺς βελτίστους καὶ τῶν νεοδαμωδῶν, ξυναμφοτέρων ἐς
the best and of-the new-citizens both-together about
ἑξακοσίους ὁπλίτας, καὶ Ἔκκριτον Σπαρτιάτην ἄρχοντα,
six-hundred hoplites and Eccritus a-Spartiate as-commander
Βοιωτοὶ δὲ τριακοσίους ὁπλίτας, ὧν ἦρχον Ξένων τε
Boeotians and three-hundred hoplites whom commanded Xenon both
καὶ Νίκων Θηβαῖοι καὶ Ἡγήσανδρος Θεσπιεύς.
and Nicon Thebans and Hegesander a-Thespian

19.4 οὗτοι μὲν οὖν ἐν τοῖς πρῶτοι ὁρμήσαντες ἀπὸ τοῦ
these indeed then among the first having-set-out from —
Ταινάρου τῆς Λακωνικῆς ἐς τὸ πέλαγος ἀφῆκαν· μετὰ δὲ
Taenarum — of-Laconia into the open-sea put-out after and
τούτους Κορίνθιοι οὐ πολλῷ ὕστερον πεντακοσίους ὁπλίτας,
these Corinthians not much later five-hundred hoplites
τοὺς μὲν ἐξ αὐτῆς Κορίνθου, τοὺς δὲ προσμισθωσάμενοι
the-ones indeed from itself Corinth the-others and having-hired-in-addition
Ἀρκάδων, καὶ ἄρχοντα Ἀλέξαρχον Κορίνθιον προστάξαντες
of-Arcadians and commander Alexarchus a-Corinthian having-appointed
ἀπέπεμψαν. ἀπέστειλαν δὲ καὶ Σικυώνιοι διακοσίους ὁπλίτας
sent-off sent and also Sicyonians two-hundred hoplites
ὁμοῦ τοῖς Κορινθίοις, ὧν ἦρχε Σαργεὺς Σικυώνιος.
together-with the Corinthians whom commanded Sargeus a-Sicyonian

αἱ δὲ πέντε καὶ εἴκοσι νῆες τῶν Κορινθίων αἱ τοῦ χειμῶνος 19.5
the and five and twenty ships of-the Corinthians the in-the winter
πληρωθεῖσαι ἀνθώρμουν ταῖς ἐν τῇ Ναυπάκτῳ εἴκοσιν
having-been-manned lay-at-anchor-opposite to-the at — Naupactus twenty
Ἀττικαῖς, ἕωσπερ αὐτοῖς οὗτοι οἱ ὁπλῖται ταῖς ὁλκάσιν
Attic until to-them these the hoplites in-the merchant-ships
ἀπὸ τῆς Πελοποννήσου ἀπῆραν· οὗπερ ἕνεκα καὶ τὸ
from — Peloponnese put-out which-very for-the-sake-of also the
πρῶτον ἐπληρώθησαν, ὅπως μὴ οἱ Ἀθηναῖοι πρὸς τὰς
first they-were-manned so-that not the Athenians to the
ὁλκάδας μᾶλλον ἢ πρὸς τὰς τριήρεις τὸν νοῦν ἔχωσιν.
merchant-ships more than to the triremes the mind might-have
ἐν δὲ τούτῳ καὶ οἱ Ἀθηναῖοι ἅμα τῆς Δεκελείας 20.1
in and this also the Athenians together-with — of-Decelea
τῷ τειχισμῷ καὶ τοῦ ἦρος εὐθὺς ἀρχομένου περί τε
the fortifying and in-the spring at-once beginning around both
Πελοπόννησον ναῦς τριάκοντα ἔστειλαν καὶ Χαρικλέα τὸν
Peloponnese ships thirty sent and Charicles the
Ἀπολλοδώρου ἄρχοντα, ᾧ εἴρητο καὶ ἐς Ἄργος
son-of-Apollodorus as-commander to-whom it-had-been-told also to Argos
ἀφικομένῳ κατὰ τὸ ξυμμαχικὸν παρακαλεῖν Ἀργείων
having-arrived according-to the alliance to-summon of-Argives
ὁπλίτας ἐπὶ τὰς ναῦς,
hoplites onto the ships
καὶ τὸν Δημοσθένη ἐς τὴν Σικελίαν, ὥσπερ ἔμελλον, 20.2
and — Demosthenes to — Sicily as they-intended
ἀπέστελλον ἑξήκοντα μὲν ναυσὶν Ἀθηναίων καὶ πέντε
sent-off with-sixty indeed ships of-Athenians and five
Χίαις, ὁπλίταις δὲ ἐκ καταλόγου Ἀθηναίων διακοσίοις
Chian with-hoplites and from muster-roll of-Athenians two-hundred
καὶ χιλίοις, καὶ νησιωτῶν ὅσοις ἑκασταχόθεν οἷόν τ᾽
and thousand and of-islanders as-many-as from-each-place possible —

ἦν πλείστοις χρήσασθαι, καὶ ἐκ τῶν ἄλλων ξυμμάχων
was most to-use and from the other allies
τῶν ὑπηκόων, εἴ ποθέν τι εἶχον ἐπιτήδειον ἐς τὸν
the subjects if from-anywhere anything they-had useful for the
πόλεμον, ξυμπορίσαντες. εἴρητο δ' αὐτῷ πρῶτον μετὰ
war having-collected it-had-been-told and to-him first with
τοῦ Χαρικλέους ἅμα περιπλέοντα ξυστρατεύεσθαι
— Charicles at-the-same-time sailing-round to-campaign-together
περὶ τὴν Λακωνικήν.
around — Laconia

20.3 καὶ ὁ μὲν Δημοσθένης ἐς τὴν Αἴγιναν προσπλεύσας τοῦ
and — indeed Demosthenes to — Aegina having-sailed of-the
στρατεύματός τε εἴ τι ὑπελέλειπτο περιέμενε καὶ τὸν
army both if anything had-been-left-behind waited-for and —
Χαρικλέα τοὺς Ἀργείους παραλαβεῖν.
Charicles the Argives to-take-along

21.1 ἐν δὲ τῇ Σικελίᾳ ὑπὸ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ
in and — Sicily about the same times of-this the
ἦρος καὶ ὁ Γύλιππος ἦκεν ἐς τὰς Συρακούσας, ἄγων ἀπὸ
spring also — Gylippus came to — Syracuse bringing from
τῶν πόλεων ὧν ἔπεισε στρατιὰν ὅσην ἑκασταχόθεν
the cities which he-persuaded army as-much-as from-each-place
πλείστην ἐδύνατο.
most he-could

21.2 καὶ ξυγκαλέσας τοὺς Συρακοσίους ἔφη χρῆναι
and having-called-together the Syracusans he-said it-was-necessary
πληροῦν ναῦς ὡς δύνανται πλείστας καὶ ναυμαχίας
to-man ships as they-can most and of-sea-battle
ἀπόπειραν λαμβάνειν· ἐλπίζειν γὰρ ἀπ' αὐτοῦ τι ἔργον
trial to-take to-hope for from it some deed
ἄξιον τοῦ κινδύνου ἐς τὸν πόλεμον κατεργάσεσθαι.
worthy of-the danger for the war to-accomplish

ξυνανέπειθε δὲ καὶ ὁ Ἑρμοκράτης οὐχ ἥκιστα, τοῦ ταῖς 21.3
helped-persuade and also — Hermocrates not least for-the with-the
ναυσὶ μὴ ἀθυμεῖν ἐπιχειρῆσαι πρὸς τοὺς Ἀθηναίους, λέγων
ships not to-lose-heart to-attack against the Athenians saying
οὐδ' ἐκείνους πάτριον τὴν ἐμπειρίαν οὐδ' ἀίδιον τῆς
not-even those ancestral the experience nor perpetual of-the
θαλάσσης ἔχειν, ἀλλ' ἠπειρώτας μᾶλλον τῶν Συρακοσίων
sea to-have but mainlanders more than-the Syracusans
ὄντας καὶ ἀναγκασθέντας ὑπὸ Μήδων ναυτικοὺς γενέσθαι.
being and having-been-compelled by Medes seafaring to-become
καὶ πρὸς ἄνδρας τολμηρούς, οἵους καὶ Ἀθηναίους, τοὺς
and against men daring such-as also Athenians the
ἀντιτολμῶντας χαλεπωτάτους ἂν φαίνεσθαι· ᾧ γὰρ
daring-in-return most-difficult — to-appear by-what for
ἐκεῖνοι τοὺς πέλας, οὐ δυνάμει ἔστιν ὅτε προύχοντες, τῷ
those the neighbors not by-power there-is when excelling by-the
δὲ θράσει ἐπιχειροῦντες καταφοβοῦσι, καὶ σφᾶς ἂν τὸ
and boldness attacking they-terrify also them — the
αὐτὸ ὁμοίως τοῖς ἐναντίοις ὑποσχεῖν.
same likewise to-the opponents to-inflict
καὶ Συρακοσίους εὖ εἰδέναι ἔφη τῷ τολμῆσαι 21.4
and Syracusans well to-know he-said by-the to-dare
ἀπροσδοκήτως πρὸς τὸ Ἀθηναίων ναυτικὸν ἀντιστῆναι
unexpectedly against the of-Athenians navy to-stand-up
πλέον τι διὰ τὸ τοιοῦτον ἐκπλαγέντων αὐτῶν
more somewhat because-of the such having-been-terrified them
περιγενησομένους ἢ Ἀθηναίους τῇ ἐπιστήμῃ τὴν
going-to-prevail than Athenians by-the skill the
Συρακοσίων ἀπειρίαν βλάψοντας. ἰέναι οὖν ἐκέλευεν ἐς
of-Syracusans inexperience going-to-harm to-go then he-urged into
τὴν πεῖραν τοῦ ναυτικοῦ καὶ μὴ ἀποκνεῖν.
the trial of-the navy and not to-shrink

21.5 καὶ οἱ μὲν Συρακόσιοι, τοῦ τε Γυλίππου καὶ Ἑρμοκράτους
and the indeed Syracusans — both Gylippus and Hermocrates
καὶ εἴ του ἄλλου πειθόντων, ὥρμηντό τε ἐς τὴν ναυμαχίαν
and if anyone other persuading were-eager both for the sea-battle
καὶ τὰς ναῦς ἐπλήρουν·
and the ships manned

22.1 ὁ δὲ Γύλιππος ἐπειδὴ παρεσκευάσατο τὸ ναυτικόν, ἀγαγὼν
— and Gylippus when he-had-prepared the navy having-led
ὑπὸ νύκτα πᾶσαν τὴν στρατιὰν τὴν πεζὴν αὐτὸς μὲν τοῖς ἐν
under night all the army the land himself indeed the at
τῷ Πλημμυρίῳ τείχεσι κατὰ γῆν ἔμελλε προσβαλεῖν, αἱ δὲ
— Plemmyrium walls by land was-about to-attack the and
τριήρεις τῶν Συρακοσίων ἅμα καὶ ἀπὸ ξυνθήματος
triremes of-the Syracusans at-the-same-time and from signal
πέντε μὲν καὶ τριάκοντα ἐκ τοῦ μεγάλου λιμένος ἐπέπλεον,
five indeed and thirty from the great harbor sailed-against
αἱ δὲ πέντε καὶ τεσσαράκοντα ἐκ τοῦ ἐλάσσονος, οὗ
the-others and five and forty from the smaller where
ἦν καὶ τὸ νεώριον αὐτοῖς, περιέπλεον βουλόμενοι πρὸς τὰς
was also the dockyard to-them sailed-round wishing with the-ones
ἐντὸς προσμεῖξαι καὶ ἅμα ἐπιπλεῖν τῷ Πλημμυρίῳ,
inside to-join and at-the-same-time to-sail-against — Plemmyrium
ὅπως οἱ Ἀθηναῖοι ἀμφοτέρωθεν θορυβῶνται.
so-that the Athenians from-both-sides might-be-thrown-into-confusion

22.2 οἱ δ' Ἀθηναῖοι διὰ τάχους ἀντιπληρώσαντες ἑξήκοντα
the and Athenians with speed having-manned-in-turn sixty
ναῦς ταῖς μὲν πέντε καὶ εἴκοσι πρὸς τὰς πέντε
ships with-the-ones indeed five and twenty against the five
καὶ τριάκοντα τῶν Συρακοσίων τὰς ἐν τῷ μεγάλῳ
and thirty of-the Syracusans the in the great
λιμένι ἐναυμάχουν, ταῖς δ' ἐπιλοίποις ἀπήντων ἐπὶ
harbor fought-at-sea with-the and remaining they-met against

τὰς ἐκ τοῦ νεωρίου περιπλεούσας. καὶ εὐθὺς πρὸ τοῦ
the-ones from the dockyard sailing-round and at-once before the
στόματος τοῦ μεγάλου λιμένος ἐναυμάχουν, καὶ ἀντεῖχον
mouth of-the great harbor fought-at-sea and held-out
ἀλλήλοις ἐπὶ πολύ, οἱ μὲν βιάσασθαι βουλόμενοι
against-one-another for long the-ones indeed to-force wishing
τὸν ἔσπλουν, οἱ δὲ κωλύειν.
the entrance the-others and to-prevent
ἐν τούτῳ δ' ὁ Γύλιππος τῶν ἐν τῷ Πλημμυρίῳ Ἀθηναίων 23.1
in this and — Gylippus the at — Plemmyrium Athenians
πρὸς τὴν θάλασσαν ἐπικαταβάντων καὶ τῇ ναυμαχίᾳ
to the sea having-gone-down and to-the sea-battle
τὴν γνώμην προσεχόντων φθάνει προσπεσὼν ἅμα τῇ
the attention paying anticipates having-fallen-upon together-with the
ἕῳ αἰφνιδίως τοῖς τείχεσι, καὶ αἱρεῖ τὸ μέγιστον πρῶτον,
dawn suddenly the walls and takes the greatest first
ἔπειτα δὲ καὶ τὰ ἐλάσσω δύο, οὐχ ὑπομεινάντων τῶν
then and also the smaller two not having-stood-firm the
φυλάκων, ὡς εἶδον τὸ μέγιστον ῥᾳδίως ληφθέν.
guards when they-saw the greatest easily taken
καὶ ἐκ μὲν τοῦ πρώτου ἁλόντος χαλεπῶς οἱ ἄνθρωποι, 23.2
and from indeed the first taken with-difficulty the men
ὅσοι καὶ ἐς τὰ πλοῖα καὶ ὁλκάδα τινὰ κατέφυγον,
as-many-as both into the boats and merchant-ship a-certain fled
ἐς τὸ στρατόπεδον ἐξεκομίζοντο· τῶν γὰρ Συρακοσίων
to the camp were-carried-out the for Syracusans
ταῖς ἐν τῷ μεγάλῳ λιμένι ναυσὶ κρατούντων τῇ
with-the in the great harbor ships prevailing in-the
ναυμαχίᾳ ὑπὸ τριήρους μιᾶς καὶ εὖ πλεούσης ἐπεδιώκοντο·
sea-battle by trireme one and well sailing they-were-pursued
ἐπειδὴ δὲ τὰ δύο τειχίσματα ἡλίσκετο, ἐν τούτῳ καὶ
when and the two forts were-taken in this also

οἱ Συρακόσιοι ἐτύγχανον ἤδη νικώμενοι καὶ οἱ ἐξ
the Syracusans happened already being-defeated and the-ones from
αὐτῶν φεύγοντες ῥᾷον παρέπλευσαν.
them fleeing more-easily sailed-past

23.3 αἱ γὰρ τῶν Συρακοσίων αἱ πρὸ τοῦ στόματος νῆες
the for of-the Syracusans the before the mouth ships
ναυμαχοῦσαι βιασάμεναι τὰς τῶν Ἀθηναίων ναῦς οὐδενὶ
fighting-at-sea having-forced the of-the Athenians ships in-no
κόσμῳ ἐσέπλεον, καὶ ταραχθεῖσαι περὶ ἀλλήλας
order sailed-in and having-been-thrown-into-confusion around one-another
παρέδοσαν τὴν νίκην τοῖς Ἀθηναίοις· ταύτας τε γὰρ ἔτρεψαν
handed-over the victory to-the Athenians these both for they-routed
καὶ ὑφ' ὧν τὸ πρῶτον ἐνικῶντο ἐν τῷ λιμένι.
and by whom the first they-were-being-defeated in the harbor

23.4 καὶ ἕνδεκα μὲν ναῦς τῶν Συρακοσίων κατέδυσαν, καὶ
and eleven indeed ships of-the Syracusans they-sank and
τοὺς πολλοὺς τῶν ἀνθρώπων ἀπέκτειναν, πλὴν ὅσον ἐκ
the most of-the men they-killed except so-many-as from
τριῶν νεῶν οὓς ἐζώγρησαν· τῶν δὲ σφετέρων τρεῖς νῆες
three ships whom they-took-alive of-the and their-own three ships
διεφθάρησαν. τὰ δὲ ναυάγια ἀνελκύσαντες τῶν Συρακοσίων
were-destroyed the and wrecks having-hauled-up of-the Syracusans
καὶ τροπαῖον ἐν τῷ νησιδίῳ στήσαντες τῷ πρὸ τοῦ
and trophy on the islet having-set-up the before —
Πλημμυρίου, ἀνεχώρησαν ἐς τὸ ἑαυτῶν στρατόπεδον.
Plemmyrium they-withdrew to the their-own camp

24.1 οἱ δὲ Συρακόσιοι κατὰ μὲν τὴν ναυμαχίαν οὕτως
the and Syracusans in indeed the sea-battle thus
ἐπεπράγεσαν, τὰ δ' ἐν τῷ Πλημμυρίῳ τείχη εἶχον, καὶ
had-fared the and at — Plemmyrium walls they-held and
τροπαῖα ἔστησαν αὐτῶν τρία. καὶ τὸ μὲν ἕτερον τοῦν
trophies set-up of-them three and the indeed one of-the

δυοῖν τειχοῖν τοῖν ὕστερον ληφθέντοιν κατέβαλον, τὰ δὲ
two walls the later taken they-pulled-down the and
δύο ἐπισκευάσαντες ἐφρούρουν.
two having-repaired they-garrisoned

ἄνθρωποι δ' ἐν τῶν τειχῶν τῇ ἁλώσει ἀπέθανον καὶ 24.2
men and in of-the walls the capture died and
ἐζωγρήθησαν πολλοί, καὶ χρήματα πολλὰ τὰ ξύμπαντα
were-taken-alive many and goods many the all-together
ἑάλω· ὥσπερ γὰρ ταμιείῳ χρωμένων τῶν Ἀθηναίων
were-taken as for as-storehouse using the Athenians
τοῖς τείχεσι πολλὰ μὲν ἐμπόρων χρήματα καὶ σῖτος
the walls much indeed of-merchants goods and grain
ἐνῆν, πολλὰ δὲ καὶ τῶν τριηράρχων, ἐπεὶ καὶ ἱστία
was-inside much and also of-the trierarchs since also sails
τεσσαράκοντα τριήρων καὶ τἆλλα σκεύη ἐγκατελήφθη καὶ
forty of-triremes and the-other gear were-caught and
τριήρεις ἀνειλκυσμέναι τρεῖς.
triremes hauled-up three

μέγιστόν τε καὶ ἐν τοῖς πρῶτον ἐκάκωσε τὸ στράτευμα 24.3
greatest both and among the first harmed the army
τὸ τῶν Ἀθηναίων ἡ τοῦ Πλημμυρίου λῆψις· οὐ γὰρ
the of-the Athenians the — of-Plemmyrium capture not for
ἔτι οὐδ' οἱ ἔσπλοι ἀσφαλεῖς ἦσαν τῆς ἐπαγωγῆς τῶν
any-longer not-even the entrances safe were of-the bringing-in of-the
ἐπιτηδείων (οἱ γὰρ Συρακόσιοι ναυσὶν αὐτόθι ἐφορμοῦντες
supplies the for Syracusans with-ships there lying-in-wait
ἐκώλυον, καὶ διὰ μάχης ἤδη ἐγίγνοντο αἱ ἐσκομιδαί), ἔς τε
prevented and through battle now took-place the conveyances-in to both
τἆλλα κατάπληξιν παρέσχε καὶ ἀθυμίαν τῷ στρατεύματι.
the-other-things dismay it-caused and despondency to-the army

The Syracusans send ships to Italy and destroy Athenian timber, and they fight around the stakes driven into the harbor. Demosthenes and Charicles ravage Laconia and fortify a neck of land opposite Cythera. Envoys go round the cities with the news of Plemmyrium. Decelea, garrisoned all year, harms Athens as nothing before: the land is lost, more than twenty thousand slaves desert, horses are lamed, and supplies come round by sea. Short of money, Athens replaces the tribute with a tax of a twentieth on sea trade. Thracian peltasts who come too late for Demosthenes are sent home under Diitrephes. On the way they sack Mycalessus in Boeotia and kill its people, even the children in a school, a disaster as pitiable as any in the war.

25.1 μετὰ δὲ τοῦτο ναῦς τε ἐκπέμπουσι δώδεκα οἱ Συρακόσιοι
after and this ships both send-out twelve the Syracusans
καὶ Ἀγάθαρχον ἐπ᾽ αὐτῶν Συρακόσιον ἄρχοντα. καὶ
and Agatharchus over them a-Syracusan as-commander and
αὐτῶν μία μὲν ἐς Πελοπόννησον ᾤχετο, πρέσβεις ἄγουσα
of-them one indeed to Peloponnese went envoys bringing
οἵπερ τά τε σφέτερα φράσουσιν ὅτι ἐν ἐλπίσιν εἰσὶ
who the-affairs both their-own will-tell that in hopes they-are
καὶ τὸν ἐκεῖ πόλεμον ἔτι μᾶλλον ἐποτρυνοῦσι γίγνεσθαι· αἱ
and the there war still more will-urge to-be-waged the
δ᾽ ἕνδεκα νῆες πρὸς τὴν Ἰταλίαν ἔπλευσαν, πυνθανόμεναι
and eleven ships to — Italy sailed learning
πλοῖα τοῖς Ἀθηναίοις γέμοντα χρημάτων προσπλεῖν.
boats for-the Athenians laden with-goods to-be-sailing-up
25.2 καὶ τῶν τε πλοίων ἐπιτυχοῦσαι τὰ πολλὰ διέφθειραν καὶ
and the both boats having-come-upon the most they-destroyed and
ξύλα ναυπηγήσιμα ἐν τῇ Καυλωνιάτιδι κατέκαυσαν, ἃ
timbers for-shipbuilding in — Caulonian-land they-burned which
τοῖς Ἀθηναίοις ἑτοῖμα ἦν.
for-the Athenians ready were

ἔς τε Λοκροὺς μετὰ ταῦτα ἦλθον, καὶ ὁρμουσῶν αὐτῶν 25.3
to both Locrians after these-things they-came and lying-at-anchor them
κατέπλευσε μία τῶν ὁλκάδων τῶν ἀπὸ Πελοποννήσου
sailed-in one of-the merchant-ships the from Peloponnese
ἄγουσα Θεσπιῶν ὁπλίτας·
bringing of-Thespiae hoplites
καὶ ἀναλαβόντες αὐτοὺς οἱ Συρακόσιοι ἐπὶ τὰς ναῦς 25.4
and having-taken-on them the Syracusans onto the ships
παρέπλεον ἐπ᾽ οἴκου. φυλάξαντες δ᾽ αὐτοὺς οἱ Ἀθηναῖοι
sailed-along to home having-watched-for and them the Athenians
εἴκοσι ναυσὶ πρὸς τοῖς Μεγάροις μίαν μὲν ναῦν
with-twenty ships at — Megara one indeed ship
λαμβάνουσιν αὐτοῖς ἀνδράσι, τὰς δ᾽ ἄλλας οὐκ
they-take with-its-very men the and others not
ἐδυνήθησαν, ἀλλ᾽ ἀποφεύγουσιν ἐς τὰς Συρακούσας.
they-could but they-escape to — Syracuse
ἐγένετο δὲ καὶ περὶ τῶν σταυρῶν ἀκροβολισμὸς ἐν τῷ λιμένι, 25.5
happened and also about the stakes skirmishing in the harbor
οὓς οἱ Συρακόσιοι πρὸ τῶν παλαιῶν νεωσοίκων κατέπηξαν
which the Syracusans before the old ship-sheds fixed
ἐν τῇ θαλάσσῃ, ὅπως αὐτοῖς αἱ νῆες ἐντὸς ὁρμοῖεν
in the sea so-that for-them the ships inside might-lie-at-anchor
καὶ οἱ Ἀθηναῖοι ἐπιπλέοντες μὴ βλάπτοιεν ἐμβάλλοντες.
and the Athenians sailing-against not might-harm ramming
προσαγαγόντες γὰρ ναῦν μυριοφόρον αὐτοῖς οἱ Ἀθηναῖοι, 25.6
having-brought-up for ship ten-thousand-talent to-them the Athenians
πύργους τε ξυλίνους ἔχουσαν καὶ παραφράγματα, ἔκ τε τῶν
towers both wooden having and screens from both the
ἀκάτων ὤνευον ἀναδούμενοι τοὺς σταυροὺς καὶ ἀνέκλων
boats they-hauled-up tying-on the stakes and broke-off
καὶ κατακολυμβῶντες ἐξέπριον. οἱ δὲ Συρακόσιοι ἀπὸ τῶν
and diving sawed-off the and Syracusans from the

νεωσοίκων ἔβαλλον· οἱ δ' ἐκ τῆς ὁλκάδος ἀντέβαλλον,
ship-sheds shot the-ones and from the merchant-ship shot-back
καὶ τέλος τοὺς πολλοὺς τῶν σταυρῶν ἀνεῖλον οἱ Ἀθηναῖοι.
and finally the most of-the stakes removed the Athenians
25.7 χαλεπωτάτη δ' ἦν τῆς σταυρώσεως ἡ κρύφιος· ἦσαν
most-difficult and was of-the staking the hidden(-part) were
γὰρ τῶν σταυρῶν οὓς οὐχ ὑπερέχοντας τῆς θαλάσσης
for of-the stakes which not projecting-above the sea
κατέπηξαν, ὥστε δεινὸν ἦν προσπλεῦσαι, μὴ οὐ προϊδών
they-fixed so-that dangerous it-was to-sail-up lest not having-foreseen
τις ὥσπερ περὶ ἕρμα περιβάλῃ τὴν ναῦν. ἀλλὰ καὶ
someone as-if around reef might-throw the ship but also
τούτους κολυμβηταὶ δυόμενοι ἐξέπριον μισθοῦ. ὅμως δ'
these divers diving-down sawed-off for-pay nevertheless and
αὖθις οἱ Συρακόσιοι ἐσταύρωσαν.
again the Syracusans staked
25.8 πολλὰ δὲ καὶ ἄλλα πρὸς ἀλλήλους οἷον εἰκὸς τῶν
many and also other-things against one-another such-as likely the
στρατοπέδων ἐγγὺς ὄντων καὶ ἀντιτεταγμένων ἐμηχανῶντο
camps near being and drawn-up-opposite they-contrived
καὶ ἀκροβολισμοῖς καὶ πείραις παντοίαις ἐχρῶντο.
and skirmishes and attempts of-all-kinds they-used
25.9 ἔπεμψαν δὲ καὶ ἐς τὰς πόλεις πρέσβεις οἱ Συρακόσιοι
sent and also to the cities envoys the Syracusans
Κορινθίων καὶ Ἀμπρακιωτῶν καὶ Λακεδαιμονίων,
of-Corinthians and of-Ambraciots and of-Lacedaemonians
ἀγγέλλοντας τήν τε τοῦ Πλημμυρίου λῆψιν καὶ τῆς
announcing the both — of-Plemmyrium capture and the
ναυμαχίας πέρι ὡς οὐ τῇ τῶν πολεμίων ἰσχύι μᾶλλον
sea-battle about that not by-the of-the enemies strength more
ἢ τῇ σφετέρᾳ ταραχῇ ἡσσηθεῖεν, τά τε ἄλλα
than by-the their-own confusion they-had-been-worsted the both other-things

δηλώσοντας ὅτι ἐν ἐλπίσιν εἰσὶ καὶ ἀξιώσοντας
going-to-show that in hopes they-are and going-to-ask
ξυμβοηθεῖν ἐπ᾽ αὐτοὺς καὶ ναυσὶ καὶ πεζῷ, ὡς καὶ
to-come-to-help against them both with-ships and with-infantry as also
τῶν Ἀθηναίων προσδοκίμων ὄντων ἄλλῃ στρατιᾷ καί,
the Athenians expected being with-another army and
ἢν φθάσωσιν αὐτοὶ πρότερον διαφθείραντες τὸ παρὸν
if they-anticipate themselves before having-destroyed the present
στράτευμα αὐτῶν, διαπεπολεμησόμενον. καὶ οἱ μὲν ἐν
army of-them (the-war)-going-to-be-finished and the indeed in
τῇ Σικελίᾳ ταῦτα ἔπρασσον.
— Sicily these-things were-doing

ὁ δὲ Δημοσθένης, ἐπεὶ ξυνελέγη αὐτῷ τὸ στράτευμα 26.1
— and Demosthenes when was-collected for-him the army
ὃ ἔδει ἔχοντα ἐς τὴν Σικελίαν βοηθεῖν, ἄρας
which he-had-to having to — Sicily to-bring-help having-set-out
ἐκ τῆς Αἰγίνης καὶ πλεύσας πρὸς τὴν Πελοπόννησον
from — Aegina and having-sailed to — Peloponnese
τῷ τε Χαρικλεῖ καὶ ταῖς τριάκοντα ναυσὶ τῶν Ἀθηναίων
— both Charicles and the thirty ships of-the Athenians
ξυμμίσγει, καὶ παραλαβόντες τῶν Ἀργείων ὁπλίτας ἐπὶ
joins and having-taken-along of-the Argives hoplites onto
τὰς ναῦς ἔπλεον ἐς τὴν Λακωνικήν·
the ships sailed to — Laconia

καὶ πρῶτον μὲν τῆς Ἐπιδαύρου τι τῆς Λιμηρᾶς 26.2
and first indeed — of-Epidaurus some — Limera
ἐδῄωσαν, ἔπειτα σχόντες ἐς τὰ καταντικρὺ Κυθήρων
they-ravaged then having-put-in to the-parts opposite of-Cythera
τῆς Λακωνικῆς, ἔνθα τὸ ἱερὸν τοῦ Ἀπόλλωνός ἐστι, τῆς
— of-Laconia where the temple — of-Apollo is of-the
τε γῆς ἔστιν ἃ ἐδῄωσαν καὶ ἐτείχισαν ἰσθμῶδές τι
both land there-are which they-ravaged and fortified isthmus-like some

χωρίον, ἵνα δὴ οἵ τε Εἵλωτες τῶν Λακεδαιμονίων
place so-that indeed the both Helots of-the Lacedaemonians
αὐτόσε αὐτομολῶσι καὶ ἅμα λῃσταὶ ἐξ αὐτοῦ,
thither might-desert and at-the-same-time raiders from it
ὥσπερ ἐκ τῆς Πύλου, ἁρπαγὴν ποιῶνται.
as from — Pylos plunder might-make

26.3 καὶ ὁ μὲν Δημοσθένης εὐθὺς ἐπειδὴ ξυγκατέλαβε τὸ
and — indeed Demosthenes at-once when he-had-helped-seize the
χωρίον παρέπλει ἐπὶ τῆς Κερκύρας, ὅπως καὶ τῶν
place sailed-along toward — Corcyra so-that also of-the
ἐκεῖθεν ξυμμάχων παραλαβὼν τὸν ἐς τὴν Σικελίαν πλοῦν
from-there allies having-taken-along the to — Sicily voyage
ὅτι τάχιστα ποιῆται· ὁ δὲ Χαρικλῆς περιμείνας
as quickly-as-possible he-might-make — and Charicles having-waited
ἕως τὸ χωρίον ἐξετείχισε καὶ καταλιπὼν φυλακὴν αὐτοῦ
until the place he-walled-off and having-left garrison there
ἀπεκομίζετο καὶ αὐτὸς ὕστερον ταῖς τριάκοντα ναυσὶν
went-off and himself later with-the thirty ships
ἐπ᾽ οἴκου καὶ οἱ Ἀργεῖοι ἅμα.
to home and the Argives at-the-same-time

27.1 ἀφίκοντο δὲ καὶ Θρᾳκῶν τῶν μαχαιροφόρων τοῦ Διακοῦ
arrived and also of-Thracians of-the sword-bearing of-the Dian
γένους ἐς τὰς Ἀθήνας πελτασταὶ ἐν τῷ αὐτῷ θέρει τούτῳ
race to — Athens peltasts in the same summer this
τριακόσιοι καὶ χίλιοι, οὓς ἔδει τῷ Δημοσθένει ἐς
three-hundred and thousand whom it-was-necessary — with-Demosthenes to
τὴν Σικελίαν ξυμπλεῖν.
— Sicily to-sail-with

27.2 οἱ δ᾽ Ἀθηναῖοι, ὡς ὕστεροι ἦκον, διενοοῦντο αὐτοὺς
the and Athenians since late they-came intended them
πάλιν ὅθεν ἦλθον ἐς Θρᾴκην ἀποπέμπειν. τὸ γὰρ ἔχειν
back whence they-came to Thrace to-send-off the for to-keep

πρὸς τὸν ἐκ τῆς Δεκελείας πόλεμον αὐτοὺς πολυτελὲς
for the from — Decelea war them expensive
ἐφαίνετο· δραχμὴν γὰρ τῆς ἡμέρας ἕκαστος ἐλάμβανεν.
it-seemed drachma for of-the day each received
ἐπειδὴ γὰρ ἡ Δεκέλεια τὸ μὲν πρῶτον ὑπὸ πάσης 27.3
since for — Decelea the indeed first by all
τῆς στρατιᾶς ἐν τῷ θέρει τούτῳ τειχισθεῖσα, ὕστερον
the army in the summer this having-been-fortified later
δὲ φρουραῖς ἀπὸ τῶν πόλεων κατὰ διαδοχὴν χρόνου
and by-garrisons from the cities by succession of-time
ἐπιούσαις τῇ χώρᾳ ἐπῳκεῖτο, πολλὰ ἔβλαπτε τοὺς
coming-upon to-the country was-planted-upon much harmed the
Ἀθηναίους, καὶ ἐν τοῖς πρῶτον χρημάτων τ' ὀλέθρῳ
Athenians and among the first of-property both by-destruction
καὶ ἀνθρώπων φθορᾷ ἐκάκωσε τὰ πράγματα.
and of-men by-loss harmed the affairs
πρότερον μὲν γὰρ βραχεῖαι γιγνόμεναι αἱ ἐσβολαὶ τὸν ἄλλον 27.4
before indeed for short being the invasions the other
χρόνον τῆς γῆς ἀπολαύειν οὐκ ἐκώλυον· τότε δὲ ξυνεχῶς
time of-the land to-enjoy not prevented then and continuously
ἐπικαθημένων, καὶ ὁτὲ μὲν καὶ πλεόνων ἐπιόντων, ὁτὲ
(them)-sitting-upon and at-times indeed also more coming at-times
δ' ἐξ ἀνάγκης τῆς ἴσης φρουρᾶς καταθεούσης τε τὴν
and from necessity the equal garrison overrunning both the
χώραν καὶ λῃστείας ποιουμένης, βασιλέως τε παρόντος
country and raids making king both being-present
τοῦ τῶν Λακεδαιμονίων Ἄγιδος, ὃς οὐκ ἐκ παρέργου τὸν
— of-the Lacedaemonians Agis who not as a-side-matter the
πόλεμον ἐποιεῖτο, μεγάλα οἱ Ἀθηναῖοι ἐβλάπτοντο.
war made great-things the Athenians were-harmed

27.5 τῆς τε γὰρ χώρας ἁπάσης ἐστέρηντο, καὶ ἀνδραπόδων
of-the both for country all they-had-been-deprived and of-slaves
πλέον ἢ δύο μυριάδες ηὐτομολήκεσαν, καὶ τούτων τὸ
more than two ten-thousands had-deserted and of-these the
πολὺ μέρος χειροτέχναι, πρόβατά τε πάντα ἀπωλώλει καὶ
great part craftsmen sheep both all had-perished and
ὑποζύγια· ἵπποι τε, ὁσημέραι ἐξελαυνόντων τῶν ἱππέων
draft-animals horses both daily riding-out the cavalry
πρός τε τὴν Δεκέλειαν καταδρομὰς ποιουμένων καὶ
against both — Decelea raids making and
κατὰ τὴν χώραν φυλασσόντων, οἱ μὲν ἀπεχωλοῦντο
throughout the country guarding the-ones indeed were-lamed
ἐν γῇ ἀποκρότῳ τε καὶ ξυνεχῶς ταλαιπωροῦντες, οἱ
on ground hard both and continuously being-distressed the-others
δ' ἐτιτρώσκοντο.
and were-wounded

28.1 ἥ τε τῶν ἐπιτηδείων παρακομιδὴ ἐκ τῆς Εὐβοίας,
the both of-the supplies conveyance from — Euboea
πρότερον ἐκ τοῦ Ὠρωποῦ κατὰ γῆν διὰ τῆς Δεκελείας
before from — Oropus by land through — Decelea
θάσσων οὖσα, περὶ Σούνιον κατὰ θάλασσαν πολυτελὴς
quicker being around Sunium by sea costly
ἐγίγνετο· τῶν τε πάντων ὁμοίως ἐπακτῶν ἐδεῖτο ἡ
became of-the both all alike imported needed the
πόλις, καὶ ἀντὶ τοῦ πόλις εἶναι φρούριον κατέστη.
city and instead-of the city to-be fortress it-became

28.2 πρὸς γὰρ τῇ ἐπάλξει τὴν μὲν ἡμέραν κατὰ διαδοχὴν οἱ
at for the battlement the indeed day by succession the
Ἀθηναῖοι φυλάσσοντες, τὴν δὲ νύκτα καὶ ξύμπαντες πλὴν
Athenians guarding the and night also all-together except

τῶν ἱππέων, οἱ μὲν ἐφ᾽ ὅπλοις †ποιούμενοι†, οἱ δ᾽
the cavalry the-ones indeed at arms making the-others and
ἐπὶ τοῦ τείχους, καὶ θέρους καὶ χειμῶνος ἐταλαιπωροῦντο.
on the wall both in-summer and in-winter were-distressed
μάλιστα δ᾽ αὐτοὺς ἐπίεζεν ὅτι δύο πολέμους ἅμα 28.3
most and them pressed that two wars at-the-same-time
εἶχον, καὶ ἐς φιλονικίαν καθέστασαν τοιαύτην ἣν πρὶν
they-had and into contentiousness had-come such which before
γενέσθαι ἠπίστησεν ἄν τις ἀκούσας. τὸ γὰρ αὐτοὺς
to-happen would-have-disbelieved — anyone having-heard the for them
πολιορκουμένους ἐπιτειχισμῷ ὑπὸ Πελοποννησίων μηδ᾽
being-besieged by-a-fortification by Peloponnesians not-even
ὡς ἀποστῆναι ἐκ Σικελίας, ἀλλ᾽ ἐκεῖ Συρακούσας τῷ
so to-withdraw from Sicily but there Syracuse in-the
αὐτῷ τρόπῳ ἀντιπολιορκεῖν, πόλιν οὐδὲν ἐλάσσω αὐτήν
same way to-besiege-in-turn a-city in-no-way smaller itself
γε καθ᾽ αὑτὴν τῆς τῶν Ἀθηναίων, καὶ τὸν παράλογον
at-least by itself than-the of-the Athenians and the surprise
τοσοῦτον ποιῆσαι τοῖς Ἕλλησι τῆς δυνάμεως καὶ τόλμης,
so-great to-make for-the Greeks of-the power and daring
ὅσον κατ᾽ ἀρχὰς τοῦ πολέμου οἱ μὲν ἐνιαυτόν, οἱ
as-much-as at beginnings of-the war the-ones indeed a-year the-others
δὲ δύο, οἱ δὲ τριῶν γε ἐτῶν οὐδεὶς πλείω χρόνον
and two the-others and three at-least years no-one more time
ἐνόμιζον περιοίσειν αὐτούς, εἰ οἱ Πελοποννήσιοι ἐσβάλοιεν
thought to-hold-out them if the Peloponnesians should-invade
ἐς τὴν χώραν, ὥστε ἔτει ἑπτακαιδεκάτῳ μετὰ τὴν πρώτην
into the country so-that in-year seventeenth after the first
ἐσβολὴν ἦλθον ἐς Σικελίαν ἤδη τῷ πολέμῳ κατὰ πάντα
invasion they-came to Sicily already by-the war in all-respects

τετρυχωμένοι, καὶ πόλεμον οὐδὲν ἐλάσσω προσανείλοντο
worn-out and war in-no-way smaller took-on-in-addition
τοῦ πρότερον ὑπάρχοντος ἐκ Πελοποννήσου.
than-the before existing from Peloponnese
28.4 δι' ἃ καὶ τότε ὑπό τε τῆς Δεκελείας πολλὰ
because-of which-things also then by both — Decelea much
βλαπτούσης καὶ τῶν ἄλλων ἀναλωμάτων μεγάλων
harming and the other expenses great
προσπιπτόντων ἀδύνατοι ἐγένοντο τοῖς χρήμασιν. καὶ τὴν
falling-upon unable they-became in-the money and the
εἰκοστὴν ὑπὸ τοῦτον τὸν χρόνον τῶν κατὰ θάλασσαν
twentieth about this the time of-the(-goods) by sea
ἀντὶ τοῦ φόρου τοῖς ὑπηκόοις ἐποίησαν, πλείω νομίζοντες
instead-of the tribute for-the subjects they-imposed more thinking
ἂν σφίσι χρήματα οὕτω προσιέναι. αἱ μὲν γὰρ δαπάναι οὐχ
— to-them money thus to-come-in the indeed for expenses not
ὁμοίως καὶ πρίν, ἀλλὰ πολλῷ μείζους καθέστασαν, ὅσῳ
alike as before but much greater had-become by-as-much-as
καὶ μείζων ὁ πόλεμος ἦν· αἱ δὲ πρόσοδοι ἀπώλλυντο.
also greater the war was the and revenues were-perishing
29.1 τοὺς οὖν Θρᾳκας τοὺς τῷ Δημοσθένει ὑστερήσαντας διὰ
the then Thracians the — for-Demosthenes having-come-too-late because-of
τὴν παροῦσαν ἀπορίαν τῶν χρημάτων οὐ βουλόμενοι
the present lack of-the money not wishing
δαπανᾶν εὐθὺς ἀπέπεμπον, προστάξαντες κομίσαι αὐτοὺς
to-spend at-once they-sent-back having-assigned to-convey them
Διειτρέφει, καὶ εἰπόντες ἅμα ἐν τῷ παράπλῳ
to-Diitrephes and having-told at-the-same-time in the voyage-along
(ἐπορεύοντο γὰρ δι' Εὐρίπου) καὶ τοὺς πολεμίους, ἤν
they-were-going for through Euripus also the enemies if
τι δύνηται, ἀπ' αὐτῶν βλάψαι.
anything he-can from them to-harm

ὁ δὲ ἔς τε τὴν Τάναγραν ἀπεβίβασεν αὐτοὺς καὶ ἁρπαγὴν 29.2
he and to both — Tanagra landed them and plunder
τινα ἐποιήσατο διὰ τάχους καὶ ἐκ Χαλκίδος τῆς Εὐβοίας
some made with speed and from Chalcis — of-Euboea
ἀφ᾽ ἑσπέρας διέπλευσε τὸν Εὔριπον καὶ ἀποβιβάσας ἐς
from evening sailed-across — Euripus and having-landed into
τὴν Βοιωτίαν ἦγεν αὐτοὺς ἐπὶ Μυκαλησσόν.
— Boeotia led them against Mycalessus
καὶ τὴν μὲν νύκτα λαθὼν πρὸς τῷ Ἑρμαίῳ ηὐλίσατο 29.3
and the indeed night escaping-notice at — Hermaeum bivouacked
(ἀπέχει δὲ τῆς Μυκαλησσοῦ ἑκκαίδεκα μάλιστα σταδίους),
it-is-distant and — from-Mycalessus sixteen about stades
ἅμα δὲ τῇ ἡμέρᾳ τῇ πόλει προσέκειτο οὔσῃ οὐ μεγάλῃ,
together-with and the day the city he-pressed-upon being not great
καὶ αἱρεῖ ἀφυλάκτοις τε ἐπιπεσὼν καὶ ἀπροσδοκήτοις
and takes unguarded both having-fallen-upon and unexpecting
μὴ ἄν ποτέ τινας σφίσιν ἀπὸ θαλάσσης τοσοῦτον
not — ever any them from sea so-far
ἐπαναβάντας ἐπιθέσθαι, τοῦ τείχους ἀσθενοῦς ὄντος καὶ
having-come-up to-attack the wall weak being and
ἔστιν ᾗ καὶ πεπτωκότος, τοῦ δὲ βραχέος ᾠκοδομημένου,
there-is where also having-fallen the and low having-been-built
καὶ πυλῶν ἅμα διὰ τὴν ἄδειαν ἀνεῳγμένων.
and gates at-the-same-time because-of the security having-been-opened
ἐσπεσόντες δὲ οἱ Θρᾷκες ἐς τὴν Μυκαλησσὸν τάς τε 29.4
having-burst-in and the Thracians into — Mycalessus the both
οἰκίας καὶ τὰ ἱερὰ ἐπόρθουν καὶ τοὺς ἀνθρώπους ἐφόνευον
houses and the temples sacked and the people slaughtered
φειδόμενοι οὔτε πρεσβυτέρας οὔτε νεωτέρας ἡλικίας, ἀλλὰ
sparing neither older nor younger age but
πάντας ἑξῆς, ὅτῳ ἐντύχοιεν, καὶ παῖδας καὶ γυναῖκας
all in-order whomever they-met both children and women

κτείνοντες, καὶ προσέτι καὶ ὑποζύγια καὶ ὅσα ἄλλα ἔμψυχα
killing and besides also draft-animals and whatever other living-things
ἴδοιεν· τὸ γὰρ γένος τὸ τῶν Θρᾳκῶν ὁμοῖα τοῖς μάλιστα
they-saw the for race the of-the Thracians equally with-the most
τοῦ βαρβαρικοῦ, ἐν ᾧ ἂν θαρσήσῃ, φονικώτατόν ἐστιν.
of-the barbarian in what — it-may-be-bold most-murderous is
29.5 καὶ τότε ἄλλη τε ταραχὴ οὐκ ὀλίγη καὶ ἰδέα πᾶσα
and then other both confusion not small and form every
καθειστήκει ὀλέθρου, καὶ ἐπιπεσόντες διδασκαλείῳ παίδων,
prevailed of-destruction and having-fallen-upon school of-boys
ὅπερ μέγιστον ἦν αὐτόθι καὶ ἄρτι ἔτυχον οἱ παῖδες
which greatest was there and just-now happened the boys
ἐσεληλυθότες, κατέκοψαν πάντας· καὶ ξυμφορὰ τῇ πόλει
having-gone-in they-cut-down all and disaster to-the city
πάσῃ οὐδεμιᾶς ἥσσων μᾶλλον ἑτέρας ἀδόκητός τε
whole than-none less more than-another unexpected both
ἐπέπεσεν αὕτη καὶ δεινή.
fell-upon this and terrible
30.1 οἱ δὲ Θηβαῖοι αἰσθόμενοι ἐβοήθουν, καὶ καταλαβόντες
the and Thebans having-perceived came-to-help and having-overtaken
προκεχωρηκότας ἤδη τοὺς Θρᾷκας οὐ πολὺ τήν τε
having-advanced already the Thracians not far the both
λείαν ἀφείλοντο καὶ αὐτοὺς φοβήσαντες καταδιώκουσιν
booty took-away and them having-routed pursue
ἐπὶ τὸν Εὔριπον καὶ τὴν θάλασσαν, οὗ αὐτοῖς τὰ πλοῖα
to — Euripus and the sea where for-them the boats
ἃ ἤγαγεν ὥρμει.
which he-brought lay-at-anchor
30.2 καὶ ἀποκτείνουσιν αὐτῶν ἐν τῇ ἐσβάσει τοὺς πλείστους οὔτε
and they-kill of-them in the embarking the most neither
ἐπισταμένους νεῖν τῶν τε ἐν τοῖς πλοίοις, ὡς ἑώρων τὰ
knowing-how to-swim of-the and in the boats when they-saw the-things

ἐν τῇ γῇ, ὁρμισάντων ἔξω τοξεύματος τὰ πλοῖα, ἐπεὶ ἔν γε
on the land having-moored out-of bowshot the boats since in at-least
τῇ ἄλλῃ ἀναχωρήσει οὐκ ἀτόπως οἱ Θρᾷκες πρὸς τὸ τῶν
the other retreat not unskillfully the Thracians against the of-the
Θηβαίων ἱππικόν, ὅπερ πρῶτον προσέκειτο, προεκθέοντές
Thebans cavalry which first pressed-on running-out
τε καὶ ξυστρεφόμενοι ἐν ἐπιχωρίῳ τάξει τὴν φυλακὴν
both and rallying in native formation the guard
ἐποιοῦντο, καὶ ὀλίγοι αὐτῶν ἐν τούτῳ διεφθάρησαν. μέρος
made and few of-them in this were-destroyed part
δέ τι καὶ ἐν τῇ πόλει αὐτῇ δι᾽ ἁρπαγὴν ἐγκαταληφθὲν
and some also in the city itself because-of plunder caught
ἀπώλετο. οἱ δὲ ξύμπαντες τῶν Θρᾳκῶν πεντήκοντα καὶ
perished the and all-together of-the Thracians fifty and
διακόσιοι ἀπὸ τριακοσίων καὶ χιλίων ἀπέθανον.
two-hundred out-of three-hundred and thousand died
διέφθειραν δὲ καὶ τῶν Θηβαίων καὶ τῶν ἄλλων οἳ 30.3
they-destroyed and also of-the Thebans and of-the others who
ξυνεβοήθησαν ἐς εἴκοσι μάλιστα ἱππέας τε καὶ ὁπλίτας
came-to-help-together up-to twenty about cavalry both and hoplites
ὁμοῦ καὶ Θηβαίων τῶν βοιωταρχῶν Σκιρφώνδαν· τῶν
together and of-Thebans of-the boeotarchs Scirphondas of-the
δὲ Μυκαλησσίων μέρος τι ἀπανηλώθη. τὰ μὲν
and Mycalessians part some was-destroyed the-things indeed
κατὰ τὴν Μυκαλησσὸν πάθει χρησαμένην οὐδενὸς ὡς ἐπὶ
about — Mycalessus suffering having-experienced than-none as for
μεγέθει τῶν κατὰ τὸν πόλεμον ἧσσον ὀλοφύρασθαι
size of-the-things in the war less to-lament
ἀξίῳ τοιαῦτα ξυνέβη.
worthy such-things happened

Demosthenes, sailing for Corcyra after the raid on Laconia, destroys a merchant ship at Pheia, takes on hoplites at Zacynthus and Cephallenia, and gathers slingers and javelin-men in Acarnania. Eurymedon meets him with news of Plemmyrium, and Conon at Naupactus asks for ships against the Corinthians. In Sicily the Sicels ambush a force bound for Syracuse and kill about eight hundred, though some fifteen hundred get through, and Camarina and Gela send help. Off Erineus in Achaea the Corinthian fleet, with strengthened prows, fights the Athenian squadron from Naupactus, and both sides set up a trophy. Demosthenes and Eurymedon gather troops from Thurii and come down the coast of Italy to Petra in the territory of Rhegium.

31.1 ὁ δὲ Δημοσθένης τότε ἀποπλέων ἐπὶ τῆς Κερκύρας μετὰ
— and Demosthenes then sailing-away toward — Corcyra after
τὴν ἐκ τῆς Λακωνικῆς τείχισιν, ὁλκάδα ὁρμοῦσαν ἐν
the from — Laconia fortification merchant-ship lying-at-anchor at
Φειᾷ τῇ Ἠλείων εὑρών, ἐν ᾗ οἱ Κορίνθιοι ὁπλῖται ἐς
Pheia — of-Eleans having-found in which the Corinthian hoplites to
τὴν Σικελίαν ἔμελλον περαιοῦσθαι, αὐτὴν μὲν διαφθείρει,
— Sicily were-about to-cross it indeed destroys
οἱ δ' ἄνδρες ἀποφυγόντες ὕστερον λαβόντες ἄλλην ἔπλεον.
the and men having-escaped later having-taken another sailed
31.2 καὶ μετὰ τοῦτο ἀφικόμενος ὁ Δημοσθένης ἐς τὴν
and after this having-arrived — Demosthenes at —
Ζάκυνθον καὶ Κεφαλληνίαν ὁπλίτας τε παρέλαβε καὶ ἐκ
Zacynthus and Cephallenia hoplites both took-on and from
τῆς Ναυπάκτου τῶν Μεσσηνίων μετεπέμψατο καὶ ἐς τὴν
— Naupactus of-the Messenians sent-for and to the
ἀντιπέρας ἤπειρον τῆς Ἀκαρνανίας διέβη, ἐς Ἀλύζιάν τε
opposite mainland — of-Acarnania crossed to Alyzia both
καὶ Ἀνακτόριον, ὃ αὐτοὶ εἶχον.
and Anactorium which they-themselves held

ὄντι δ᾽ αὐτῷ περὶ ταῦτα ὁ Εὐρυμέδων ἀπαντᾷ ἐκ 31.3
being and to-him about these-things — Eurymedon meets from
τῆς Σικελίας ἀποπλέων, ὃς τότε τοῦ χειμῶνος τὰ
— Sicily sailing-back who then in-the winter the
χρήματα ἄγων τῇ στρατιᾷ ἀπεπέμφθη, καὶ ἀγγέλλει
money bringing for-the army had-been-sent and announces
τά τε ἄλλα καὶ ὅτι πύθοιτο κατὰ πλοῦν ἤδη ὢν
the both other-things and that he-had-learned on voyage already being
τὸ Πλημμύριον ὑπὸ τῶν Συρακοσίων ἑαλωκός.
— Plemmyrium by the Syracusans captured
ἀφικνεῖται δὲ καὶ Κόνων παρ᾽ αὐτούς, ὃς ἦρχε 31.4
arrives and also Conon to them who commanded
Ναυπάκτου, ἀγγέλλων ὅτι αἱ πέντε καὶ εἴκοσι νῆες τῶν
Naupactus announcing that the five and twenty ships of-the
Κορινθίων αἱ σφίσιν ἀνθορμοῦσαι οὔτε καταλύουσι τὸν
Corinthians the to-them lying-opposite neither end the
πόλεμον ναυμαχεῖν τε μέλλουσιν· πέμπειν οὖν ἐκέλευεν
war to-fight-at-sea and are-about to-send then he-urged
αὐτοὺς ναῦς, ὡς οὐχ ἱκανὰς οὔσας δυοῖν δεούσας εἴκοσι
them ships as not sufficient being two lacking-from twenty
τὰς ἑαυτῶν πρὸς τὰς ἐκείνων πέντε καὶ εἴκοσι ναυμαχεῖν.
the their-own against the of-those five and twenty to-fight-at-sea
τῷ μὲν οὖν Κόνωνι δέκα ναῦς ὁ Δημοσθένης καὶ 31.5
— indeed then to-Conon ten ships — Demosthenes and
ὁ Εὐρυμέδων τὰς ἄριστα σφίσι πλεούσας ἀφ᾽ ὧν
— Eurymedon the best for-them sailing from which
αὐτοὶ εἶχον ξυμπέμπουσι πρὸς τὰς ἐν τῇ Ναυπάκτῳ·
they-themselves had send-with to the-ones at — Naupactus
αὐτοὶ δὲ τὰ περὶ τῆς στρατιᾶς τὸν ξύλλογον
themselves and the-things about the army the gathering
ἡτοιμάζοντο, Εὐρυμέδων μὲν ἐς τὴν Κέρκυραν πλεύσας
prepared Eurymedon indeed to — Corcyra having-sailed

καὶ πέντε καὶ δέκα τε ναῦς πληροῦν κελεύσας αὐτοὺς καὶ
and five and ten both ships to-man having-ordered them and
ὁπλίτας καταλεγόμενος (ξυνῆρχε γὰρ ἤδη Δημοσθένει
hoplites enlisting was-co-commander for already with-Demosthenes
ἀποτραπόμενος, ὥσπερ καὶ ἡρέθη), Δημοσθένης δ'
having-turned-back as also he-had-been-chosen Demosthenes and
ἐκ τῶν περὶ τὴν Ἀκαρνανίαν χωρίων σφενδονήτας τε
from the around — Acarnania places slingers both
καὶ ἀκοντιστὰς ξυναγείρων.
and javelin-men collecting

32.1 οἱ δ' ἐκ τῶν Συρακουσῶν τότε μετὰ τὴν τοῦ Πλημμυρίου
the and from — Syracuse then after the — of-Plemmyrium
ἅλωσιν πρέσβεις οἰχόμενοι ἐς τὰς πόλεις ἐπειδὴ ἔπεισάν
capture envoys going to the cities when they-persuaded
τε καὶ ξυναγείραντες ἔμελλον ἄξειν τὸν στρατόν, ὁ
both and having-collected were-about to-lead the army —
Νικίας προπυθόμενος πέμπει ἐς τῶν Σικελῶν τοὺς
Nicias having-learned-beforehand sends to of-the Sicels the-ones
τὴν δίοδον ἔχοντας καὶ σφίσι ξυμμάχους, Κεντόριπάς
the passage holding and to-them allies Centoripes
τε καὶ Ἀλικυαίους καὶ ἄλλους, ὅπως μὴ διαφρήσωσι
both and Halicyaeans and others so-that not they-let-through
τοὺς πολεμίους, ἀλλὰ ξυστραφέντες κωλύσωσι διελθεῖν·
the enemies but having-combined they-may-prevent to-pass-through
ἄλλῃ γὰρ αὐτοὺς οὐδὲ πειράσειν· Ἀκραγαντῖνοι γὰρ
by-another for them not-even to-attempt Acragantines for
οὐκ ἐδίδοσαν διὰ τῆς ἑαυτῶν ὁδόν.
not granted through the their-own road

32.2 πορευομένων δ' ἤδη τῶν Σικελιωτῶν οἱ Σικελοί, καθάπερ
marching and already the Sicilian-Greeks the Sicels as
ἐδέοντο οἱ Ἀθηναῖοι, ἐνέδραν τινὰ τριχῇ ποιησάμενοι,
asked the Athenians ambush some in-three-places having-made

ἀφυλάκτοις τε καὶ ἐξαίφνης ἐπιγενόμενοι διέφθειραν
unguarded both and suddenly having-come-upon destroyed
ἐς ὀκτακοσίους μάλιστα καὶ τοὺς πρέσβεις πλὴν ἑνὸς
up-to eight-hundred about and the envoys except one
τοῦ Κορινθίου πάντας· οὗτος δὲ τοὺς διαφυγόντας ἐς
the Corinthian all this-one and the having-escaped about
πεντακοσίους καὶ χιλίους ἐκόμισεν ἐς τὰς Συρακούσας.
five-hundred and thousand brought to — Syracuse
καὶ περὶ τὰς αὐτὰς ἡμέρας καὶ οἱ Καμαριναῖοι ἀφικνοῦνται 33.1
and about the same days also the Camarinaeans arrive
αὐτοῖς βοηθοῦντες, πεντακόσιοι μὲν ὁπλῖται, τριακόσιοι
for-them helping five-hundred indeed hoplites three-hundred
δὲ ἀκοντισταὶ καὶ τοξόται τριακόσιοι. ἔπεμψαν δὲ καὶ
and javelin-men and archers three-hundred sent and also
οἱ Γελῷοι ναυτικόν τε ἐς πέντε ναῦς καὶ ἀκοντιστὰς
the Geloans naval-force both about five ships and javelin-men
τετρακοσίους καὶ ἱππέας διακοσίους.
four-hundred and cavalry two-hundred
σχεδὸν γάρ τι ἤδη πᾶσα ἡ Σικελία πλὴν 33.2
nearly for somewhat already all — Sicily except
Ἀκραγαντίνων (οὗτοι δ' οὐδὲ μεθ' ἑτέρων ἦσαν), οἱ
Acragantines these and not-even with others were the
δ' ἄλλοι ἐπὶ τοὺς Ἀθηναίους μετὰ τῶν Συρακοσίων οἱ
and others against the Athenians with the Syracusans the
πρότερον περιορώμενοι ξυστάντες ἐβοήθουν.
before looking-on having-combined came-to-help
καὶ οἱ μὲν Συρακόσιοι, ὡς αὐτοῖς τὸ ἐν τοῖς Σικελοῖς πάθος 33.3
and the indeed Syracusans when to-them the in the Sicels disaster
ἐγένετο, ἐπέσχον τὸ εὐθέως τοῖς Ἀθηναίοις ἐπιχειρεῖν· ὁ δὲ
happened held-off the at-once the Athenians to-attack — and
Δημοσθένης καὶ Εὐρυμέδων, ἑτοίμης ἤδη τῆς στρατιᾶς οὔσης
Demosthenes and Eurymedon ready already the army being

ἔκ τε τῆς Κερκύρας καὶ ἀπὸ τῆς ἠπείρου, ἐπεραιώθησαν
from both — Corcyra and from the mainland crossed
ξυμπάσῃ τῇ στρατιᾷ τὸν Ἰόνιον ἐπ᾽ ἄκραν Ἰαπυγίαν·
with-all the army the Ionian to cape Iapygia
33.4 καὶ ὁρμηθέντες αὐτόθεν κατίσχουσιν ἐς τὰς Χοιράδας
and having-set-out from-there they-put-in at the Choerades
νήσους Ἰαπυγίας, καὶ ἀκοντιστάς τέ τινας τῶν Ἰαπύγων
islands of-Iapygia and javelin-men both some of-the Iapygians
πεντήκοντα καὶ ἑκατὸν τοῦ Μεσσαπίου ἔθνους ἀναβιβάζονται
fifty and hundred of-the Messapian nation take-on-board
ἐπὶ τὰς ναῦς, καὶ τῷ Ἄρτᾳ, ὅσπερ καὶ τοὺς ἀκοντιστὰς
onto the ships and — with-Artas who also the javelin-men
δυνάστης ὢν παρέσχετο αὐτοῖς, ἀνανεωσάμενοί τινα
ruler being provided for-them having-renewed some
παλαιὰν φιλίαν ἀφικνοῦνται ἐς Μεταπόντιον τῆς Ἰταλίας.
old friendship they-arrive at Metapontum — of-Italy
33.5 καὶ τοὺς Μεταποντίους πείσαντες κατὰ τὸ ξυμμαχικὸν
and the Metapontines having-persuaded according-to the alliance
ἀκοντιστάς τε ξυμπέμπειν τριακοσίους καὶ τριήρεις
javelin-men both to-send-with three-hundred and triremes
δύο καὶ ἀναλαβόντες ταῦτα παρέπλευσαν ἐς Θουρίαν.
two and having-taken-on these-things sailed-along to Thurian-land
καὶ καταλαμβάνουσι νεωστὶ στάσει τοὺς τῶν Ἀθηναίων
and find recently by-faction the of-the Athenians
ἐναντίους ἐκπεπτωκότας·
opponents having-been-expelled
33.6 καὶ βουλόμενοι τὴν στρατιὰν αὐτόθι πᾶσαν ἀθροίσαντες εἴ
and wishing the army there all having-assembled if
τις ὑπελέλειπτο ἐξετάσαι, καὶ τοὺς Θουρίους πεῖσαι σφίσι
anyone had-been-left-behind to-review and the Thurians to-persuade with-them
ξυστρατεύειν τε ὡς προθυμότατα καί, ἐπειδήπερ ἐν τούτῳ
to-campaign-with both as most-eagerly and since in this

τύχης εἰσί, τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους τοῖς Ἀθηναίοις
of-fortune they-are the same enemies and friends with-the Athenians
νομίζειν, περιέμενον ἐν τῇ Θουρίᾳ καὶ ἔπρασσον ταῦτα.
to-consider waited in — Thurian-land and were-doing these-things
οἱ δὲ Πελοποννήσιοι περὶ τὸν αὐτὸν χρόνον τοῦτον οἱ 34.1
the and Peloponnesians about the same time this the-ones
ἐν ταῖς πέντε καὶ εἴκοσι ναυσίν, οἵπερ τῶν ὁλκάδων
in the five and twenty ships who-very of-the merchant-ships
ἕνεκα τῆς ἐς Σικελίαν κομιδῆς ἀνθώρμουν πρὸς τὰς ἐν
for-the-sake the to Sicily conveyance lay-opposite against the at
Ναυπάκτῳ ναῦς, παρασκευασάμενοι ὡς ἐπὶ ναυμαχίᾳ καὶ
Naupactus ships having-prepared as for sea-battle and
προσπληρώσαντες ἔτι ναῦς ὥστε ὀλίγῳ ἐλάσσους εἶναι
having-manned-in-addition more ships so-that by-little fewer to-be
αὐτοῖς τῶν Ἀττικῶν νεῶν, ὁρμίζονται κατὰ Ἐρινεὸν τῆς
for-them than-the Attic ships anchor at Erineus —
Ἀχαΐας ἐν τῇ Ῥυπικῇ.
of-Achaea in — Rhypic-land
καὶ αὐτοῖς τοῦ χωρίου μηνοειδοῦς ὄντος ἐφ' ᾧ ὥρμουν, ὁ 34.2
and for-them the place crescent-shaped being at which they-lay the
μὲν πεζὸς ἑκατέρωθεν προσβεβοηθηκὼς τῶν τε Κορινθίων
indeed infantry on-both-sides having-come-to-help of-the both Corinthians
καὶ τῶν αὐτόθεν ξυμμάχων ἐπὶ ταῖς προανεχούσαις ἄκραις
and of-the from-there allies on the projecting headlands
παρετέτακτο, αἱ δὲ νῆες τὸ μεταξὺ εἶχον ἐμφάρξασαι·
had-been-drawn-up the and ships the between held having-blocked
ἦρχε δὲ τοῦ ναυτικοῦ Πολυάνθης Κορίνθιος.
commanded and of-the fleet Polyanthes a-Corinthian
οἱ δ' Ἀθηναῖοι ἐκ τῆς Ναυπάκτου τριάκοντα ναυσὶ καὶ 34.3
the and Athenians from — Naupactus with-thirty ships and
τρισίν (ἦρχε δὲ αὐτῶν Δίφιλος) ἐπέπλευσαν αὐτοῖς.
three commanded and them Diphilus sailed-against them

34.4 καὶ οἱ Κορίνθιοι τὸ μὲν πρῶτον ἡσύχαζον, ἔπειτα
and the Corinthians the indeed first kept-quiet then
ἀρθέντος αὐτοῖς τοῦ σημείου, ἐπεὶ καιρὸς ἐδόκει εἶναι,
having-been-raised for-them the signal when the-moment seemed to-be
ὥρμησαν ἐπὶ τοὺς Ἀθηναίους καὶ ἐναυμάχουν. καὶ χρόνον
they-rushed against the Athenians and fought-at-sea and time
ἀντεῖχον πολὺν ἀλλήλοις.
held-out long against-one-another

34.5 καὶ τῶν μὲν Κορινθίων τρεῖς νῆες διαφθείρονται, τῶν
and of-the indeed Corinthians three ships are-destroyed of-the
δ' Ἀθηναίων κατέδυ μὲν οὐδεμία ἁπλῶς, ἑπτὰ δέ
and Athenians sank indeed none outright seven and
τινες ἄπλοι ἐγένοντο ἀντίπρῳροι ἐμβαλλόμεναι καὶ
some unseaworthy became prow-to-prow being-struck and
ἀναρραγεῖσαι τὰς παρεξειρεσίας ὑπὸ τῶν Κορινθίων νεῶν
broken-through the outriggers by the Corinthian ships
ἐπ' αὐτὸ τοῦτο παχυτέρας τὰς ἐπωτίδας ἐχουσῶν.
for very this thicker the catheads having

34.6 ναυμαχήσαντες δὲ ἀντίπαλα μὲν καὶ ὡς αὐτοὺς ἑκατέρους
having-fought-at-sea and evenly indeed and so-that themselves each-side
ἀξιοῦν νικᾶν, ὅμως δὲ τῶν ναυαγίων κρατησάντων
to-claim to-win nevertheless and of-the wrecks having-mastered
τῶν Ἀθηναίων διά τε τὴν τοῦ ἀνέμου ἄπωσιν αὐτῶν
the Athenians because-of both the of-the wind driving of-them
ἐς τὸ πέλαγος καὶ διὰ τὴν τῶν Κορινθίων οὐκέτι
into the open-sea and because-of the of-the Corinthians no-longer
ἐπαναγωγήν, διεκρίθησαν ἀπ' ἀλλήλων, καὶ δίωξις οὐδεμία
putting-out-again they-parted from one-another and pursuit none
ἐγένετο, οὐδ' ἄνδρες οὐδετέρων ἑάλωσαν· οἱ μὲν γὰρ
happened nor men of-neither were-taken the indeed for

Κορίνθιοι καὶ Πελοποννήσιοι πρὸς τῇ γῇ ναυμαχοῦντες
Corinthians and Peloponnesians near the land fighting-at-sea
ῥᾳδίως διεσῴζοντο, τῶν δὲ Ἀθηναίων οὐδεμία κατέδυ ναῦς.
easily were-saved of-the and Athenians none sank ship
ἀποπλευσάντων δὲ τῶν Ἀθηναίων ἐς τὴν Ναύπακτον οἱ 34.7
having-sailed-away and the Athenians to — Naupactus the
Κορίνθιοι εὐθὺς τροπαῖον ἔστησαν ὡς νικῶντες, ὅτι πλείους
Corinthians at-once trophy set-up as winning because more
τῶν ἐναντίων ναῦς ἄπλους ἐποίησαν καὶ νομίσαντες αὐτοὶ
of-the opponents ships unseaworthy they-made and having-thought themselves
οὐχ ἡσσᾶσθαι δι᾽ ὅπερ οὐδ᾽ οἱ ἕτεροι νικᾶν· οἵ τε
not to-be-defeated because-of which-very not-even the others to-win the both
γὰρ Κορίνθιοι ἡγήσαντο κρατεῖν εἰ μὴ καὶ πολὺ ἐκρατοῦντο,
for Corinthians considered to-prevail if not also greatly they-were-beaten
οἵ τ᾽ Ἀθηναῖοι ἐνόμιζον ἡσσᾶσθαι ὅτι οὐ πολὺ ἐνίκων.
the and Athenians thought to-be-defeated because not greatly they-were-winning
ἀποπλευσάντων δὲ τῶν Πελοποννησίων καὶ τοῦ πεζοῦ 34.8
having-sailed-away and the Peloponnesians and the infantry
διαλυθέντος οἱ Ἀθηναῖοι ἔστησαν τροπαῖον καὶ αὐτοὶ
having-been-dispersed the Athenians set-up trophy also themselves
ἐν τῇ Ἀχαΐᾳ ὡς νικήσαντες, ἀπέχον τοῦ Ἐρινεοῦ, ἐν
in — Achaea as having-won being-distant — from-Erineus in
ᾧ οἱ Κορίνθιοι ὥρμουν, ὡς εἴκοσι σταδίους. καὶ ἡ
which the Corinthians lay about twenty stades and the
μὲν ναυμαχία οὕτως ἐτελεύτα.
indeed sea-battle thus ended
ὁ δὲ Δημοσθένης καὶ Εὐρυμέδων, ἐπειδὴ ξυστρατεύειν 35.1
— and Demosthenes and Eurymedon when to-campaign-with
αὐτοῖς οἱ Θούριοι παρεσκευάσθησαν ἑπτακοσίοις μὲν
them the Thurians had-been-made-ready with-seven-hundred indeed
ὁπλίταις, τριακοσίοις δὲ ἀκοντισταῖς, τὰς μὲν ναῦς
hoplites three-hundred and javelin-men the indeed ships

παραπλεῖν ἐκέλευον ἐπὶ τῆς Κροτωνιάτιδος, αὐτοὶ δὲ
to-sail-along they-ordered toward — Crotoniate-land themselves and
τὸν πεζὸν πάντα ἐξετάσαντες πρῶτον ἐπὶ τῷ Συβάρει
the infantry all having-reviewed first at — Sybaris
ποταμῷ ἦγον διὰ τῆς Θουριάδος γῆς.
river led through the Thurian land

35.2 καὶ ὡς ἐγένοντο ἐπὶ τῷ Ὑλίᾳ ποταμῷ καὶ αὐτοῖς οἱ
and when they-came to — Hylias river and to-them the
Κροτωνιᾶται προσπέμψαντες εἶπον οὐκ ἂν σφίσι βουλομένοις
Crotoniates having-sent said not — to-them wishing
εἶναι διὰ τῆς γῆς σφῶν τὸν στρατὸν ἰέναι, ἐπικαταβάντες
to-be through the land of-them the army to-go having-gone-down
ηὐλίσαντο πρὸς τὴν θάλασσαν καὶ τὴν ἐκβολὴν τοῦ Ὑλίου·
bivouacked toward the sea and the mouth — of-Hylias
καὶ αἱ νῆες αὐτοῖς ἐς τὸ αὐτὸ ἀπήντων. τῇ δ' ὑστεραίᾳ
and the ships for-them at the same(-place) met on-the and next-day
ἀναβιβασάμενοι παρέπλεον, ἴσχοντες πρὸς ταῖς πόλεσι
having-embarked sailed-along putting-in at the cities
πλὴν Λοκρῶν, ἕως ἀφίκοντο ἐπὶ Πέτραν τῆς Ῥηγίνης.
except Locrians until they-arrived at Petra — of-Rhegian-land

Hearing of the second force, the Syracusans attack again before it can arrive. Taught by the Corinthian battle, they shorten and strengthen their prows to ram head on in the narrow harbor, where the Athenians cannot sail round them. The first day's fighting by land and sea ends without result. After a day of quiet, in which Nicias moors merchant ships before the stockade as a refuge, they attack again, and the Corinthian helmsman Ariston has the market brought to the shore, so that the crews eat and attack at once while the Athenians are at their meal. The Athenians are routed and saved only by the merchant ships. The Syracusans now believe themselves superior at sea.

οἱ δὲ Συρακόσιοι ἐν τούτῳ πυνθανόμενοι αὐτῶν τὸν 36.1
the and Syracusans in this learning of-them the
ἐπίπλουν αὖθις ταῖς ναυσὶν ἀποπειρᾶσαι ἐβούλοντο καὶ
sailing-against again with-the ships to-make-trial wished and
τῇ ἄλλῃ παρασκευῇ τοῦ πεζοῦ, ἥνπερ ἐπ᾽ αὐτὸ τοῦτο
with-the other force of-the infantry which-very for very this
πρὶν ἐλθεῖν αὐτοὺς φθάσαι βουλόμενοι ξυνέλεγον.
before to-come them to-anticipate wishing they-were-collecting
παρεσκευάσαντο δὲ τό τε ἄλλο ναυτικὸν ὡς ἐκ τῆς 36.2
they-prepared and the both other navy as from the
προτέρας ναυμαχίας τι πλέον ἐνεῖδον σχήσοντες,
former sea-battle something more they-had-observed going-to-have
καὶ τὰς πρῴρας τῶν νεῶν ξυντεμόντες ἐς ἔλασσον
and the prows of-the ships having-cut-down into less
στεριφωτέρας ἐποίησαν, καὶ τὰς ἐπωτίδας ἐπέθεσαν ταῖς
more-solid made and the catheads put-on to-the
πρῴραις παχείας, καὶ ἀντηρίδας ἀπ᾽ αὐτῶν ὑπέτειναν
prows thick and stays from them stretched-under
πρὸς τοὺς τοίχους ὡς ἐπὶ ἓξ πήχεις ἐντός τε καὶ
against the sides about to six cubits inside both and

ἔξωθεν· ᾧπερ τρόπῳ καὶ οἱ Κορίνθιοι πρὸς τὰς ἐν τῇ
outside in-which-very way also the Corinthians against the at —
Ναυπάκτῳ ναῦς ἐπισκευασάμενοι πρῴραθεν ἐναυμάχουν.
Naupactus ships having-refitted from-the-prow fought-at-sea

36.3 ἐνόμισαν γὰρ οἱ Συρακόσιοι πρὸς τὰς τῶν Ἀθηναίων ναῦς
thought for the Syracusans against the of-the Athenians ships
οὐχ ὁμοίως ἀντινεναυπηγημένας, ἀλλὰ λεπτὰ τὰ πρῴραθεν
not similarly built-in-response but slight the at-the-prow
ἐχούσας διὰ τὸ μὴ ἀντιπρῴροις μᾶλλον αὐτοὺς
having because-of the not prow-to-prow rather them
ἢ ἐκ περίπλου ταῖς ἐμβολαῖς χρῆσθαι, οὐκ ἔλασσον
than from sailing-round the rammings to-use not less
σχήσειν, καὶ τὴν ἐν τῷ μεγάλῳ λιμένι ναυμαχίαν, οὐκ ἐν
to-have and the in the great harbor sea-battle not in
πολλῷ πολλαῖς ναυσὶν οὖσαν, πρὸς ἑαυτῶν ἔσεσθαι·
much(-room) with-many ships being in-favor-of themselves to-be
ἀντιπρῴροις γὰρ ταῖς ἐμβολαῖς χρώμενοι ἀναρρήξειν τὰ
prow-to-prow for with-the rammings using to-break-through the
πρῴραθεν αὐτοῖς, στερίφοις καὶ παχέσι πρὸς κοῖλα καὶ
at-the-prow for-them solid and thick against hollow and
ἀσθενῆ παίοντες τοῖς ἐμβόλοις.
weak striking with-the beaks

36.4 τοῖς δὲ Ἀθηναίοις οὐκ ἔσεσθαι σφῶν ἐν στενοχωρίᾳ οὔτε
for-the and Athenians not to-be of-them in confined-space neither
περίπλουν οὔτε διέκπλουν, ᾧπερ τῆς τέχνης μάλιστα
sailing-round nor breaking-through in-which-very of-the art most
ἐπίστευον· αὐτοὶ γὰρ κατὰ τὸ δυνατὸν τὸ μὲν οὐ
they-trusted themselves for as-far-as the possible the-one indeed not
δώσειν διεκπλεῖν, τὸ δὲ τὴν στενοχωρίαν κωλύσειν
to-allow to-break-through the-other and the confined-space to-prevent
ὥστε μὴ περιπλεῖν.
so-that not to-sail-round

τῇ τε πρότερον ἀμαθίᾳ τῶν κυβερνητῶν δοκούσῃ εἶναι, 36.5
the both before unskill of-the helmsmen seeming to-be
τὸ ἀντίπρῳρον ξυγκροῦσαι, μάλιστ' ἂν αὐτοὶ χρήσασθαι·
the prow-to-prow to-strike-together most — themselves to-use
πλεῖστον γὰρ ἐν αὐτῷ σχήσειν· τὴν γὰρ ἀνάκρουσιν οὐκ
most for in it to-have the for backing-water not
ἔσεσθαι τοῖς Ἀθηναίοις ἐξωθουμένοις ἄλλοσε ἢ ἐς τὴν
to-be for-the Athenians being-pushed-out elsewhere than to the
γῆν, καὶ ταύτην δι' ὀλίγου καὶ ἐς ὀλίγον, κατ' αὐτὸ
land and this through little and into little at very
τὸ στρατόπεδον τὸ ἑαυτῶν· τοῦ δ' ἄλλου λιμένος αὐτοὶ
the camp the their-own of-the and other harbor themselves
κρατήσειν, καὶ ξυμφερομένους αὐτούς, ἤν πῃ βιάζωνται,
to-control and crowding-together them if anywhere they-are-forced
ἐς ὀλίγον τε καὶ πάντας ἐς τὸ αὐτό, προσπίπτοντας 36.6
into little both and all into the same falling-upon
ἀλλήλοις ταράξεσθαι (ὅπερ καὶ ἔβλαπτε μάλιστα
one-another to-be-thrown-into-confusion which-very also harmed most
τοὺς Ἀθηναίους ἐν ἁπάσαις ταῖς ναυμαχίαις, οὐκ οὔσης
the Athenians in all the sea-battles not being
αὐτοῖς ἐς πάντα τὸν λιμένα τῆς ἀνακρούσεως, ὥσπερ
for-them into all the harbor of-the backing-water as
τοῖς Συρακοσίοις)· περιπλεῦσαι δὲ ἐς τὴν εὐρυχωρίαν,
for-the Syracusans to-sail-round and into the open-water
σφῶν ἐχόντων τὴν ἐπίπλευσιν ἀπὸ τοῦ πελάγους τε
themselves having the sailing-against from the open-sea both
καὶ ἀνάκρουσιν, οὐ δυνήσεσθαι αὐτούς, ἄλλως τε καὶ
and backing-water not to-be-able them otherwise both and
τοῦ Πλημμυρίου πολεμίου τε αὐτοῖς ἐσομένου καὶ τοῦ
— Plemmyrium hostile both to-them going-to-be and the
στόματος οὐ μεγάλου ὄντος τοῦ λιμένος.
mouth not great being of-the harbor

37.1 τοιαῦτα οἱ Συρακόσιοι πρὸς τὴν ἑαυτῶν ἐπιστήμην
such-things the Syracusans with-regard-to the their-own skill
τε καὶ δύναμιν ἐπινοήσαντες καὶ ἅμα τεθαρσηκότες
both and power having-devised and at-the-same-time having-taken-courage
μᾶλλον ἤδη ἀπὸ τῆς προτέρας ναυμαχίας, ἐπεχείρουν
more already from the former sea-battle attacked
τῷ τε πεζῷ ἅμα καὶ ταῖς ναυσίν.
with-the both infantry at-the-same-time and with-the ships
37.2 καὶ τὸν μὲν πεζὸν ὀλίγῳ πρότερον τὸν ἐκ τῆς πόλεως
and the indeed infantry by-a-little before the from the city
Γύλιππος προεξαγαγὼν προσῆγε τῷ τείχει τῶν Ἀθηναίων,
Gylippus having-led-out-first brought-up to-the wall of-the Athenians
καθ' ὅσον πρὸς τὴν πόλιν αὐτοῦ ἑώρα· καὶ οἱ ἀπὸ
at where toward the city of-it it-faced and the-ones from
τοῦ Ὀλυμπιείου, οἵ τε ὁπλῖται ὅσοι ἐκεῖ ἦσαν καὶ
— Olympieum the both hoplites as-many-as there were and
οἱ ἱππῆς καὶ ἡ γυμνητεία τῶν Συρακοσίων ἐκ τοῦ ἐπὶ
the cavalry and the light-troops of-the Syracusans from the on
θάτερα προσῄει τῷ τείχει· αἱ δὲ νῆες μετὰ τοῦτο εὐθὺς
the-other-side approached the wall the and ships after this at-once
ἐπεξέπλεον τῶν Συρακοσίων καὶ ξυμμάχων.
sailed-out of-the Syracusans and allies
37.3 καὶ οἱ Ἀθηναῖοι τὸ πρῶτον αὐτοὺς οἰόμενοι τῷ πεζῷ
and the Athenians the first them thinking with-the infantry
μόνῳ πειράσειν, ὁρῶντες δὲ καὶ τὰς ναῦς ἐπιφερομένας
alone to-attempt seeing but also the ships bearing-down
ἄφνω, ἐθορυβοῦντο, καὶ οἱ μὲν ἐπὶ τὰ τείχη
suddenly were-thrown-into-confusion and the-ones indeed onto the walls
καὶ πρὸ τῶν τειχῶν τοῖς προσιοῦσιν ἀντιπαρετάσσοντο,
and before the walls the approaching drew-up-opposite
οἱ δὲ πρὸς τοὺς ἀπὸ τοῦ Ὀλυμπιείου καὶ τῶν
the-others and against the-ones from — Olympieum and the

ἔξω κατὰ τάχος χωροῦντας ἱππέας τε πολλοὺς καὶ
outside with speed coming cavalry both many and
ἀκοντιστὰς ἀντεπεξῆσαν, ἄλλοι δὲ τὰς ναῦς ἐπλήρουν
javelin-men went-out-against others and the ships manned
καὶ ἅμα ἐπὶ τὸν αἰγιαλὸν παρεβοήθουν, καὶ ἐπειδὴ
and at-the-same-time to the beach came-to-help and when
πλήρεις ἦσαν, ἀντανῆγον πέντε καὶ ἑβδομήκοντα ναῦς·
full they-were they-put-out-against five and seventy ships
καὶ τῶν Συρακοσίων ἦσαν ὀγδοήκοντα μάλιστα.
and of-the Syracusans were eighty about
τῆς δὲ ἡμέρας ἐπὶ πολὺ προσπλέοντες καὶ ἀνακρουόμενοι 38.1
of-the and day for long sailing-up and backing-water
καὶ πειράσαντες ἀλλήλων καὶ οὐδέτεροι δυνάμενοι ἄξιόν
and having-tested one-another and neither being-able worthy
τι λόγου παραλαβεῖν, εἰ μὴ ναῦν μίαν ἢ δύο τῶν
anything of-account to-gain if not ship one or two of-the
Ἀθηναίων οἱ Συρακόσιοι καταδύσαντες, διεκρίθησαν· καὶ
Athenians the Syracusans having-sunk they-parted and
ὁ πεζὸς ἅμα ἀπὸ τῶν τειχῶν ἀπῆλθεν.
the infantry at-the-same-time from the walls went-away
τῇ δ' ὑστεραίᾳ οἱ μὲν Συρακόσιοι ἡσύχαζον, οὐδὲν 38.2
on-the and next-day the indeed Syracusans kept-quiet nothing
δηλοῦντες ὁποῖόν τι τὸ μέλλον ποιήσουσιν· ὁ δὲ
showing what-sort anything the future they-will-do — and
Νικίας ἰδὼν ἀντίπαλα τὰ τῆς ναυμαχίας γενόμενα
Nicias having-seen evenly the-things of-the sea-battle having-turned-out
καὶ ἐλπίζων αὐτοὺς αὖθις ἐπιχειρήσειν τούς τε τριηράρχους
and expecting them again to-attack the both trierarchs
ἠνάγκαζεν ἐπισκευάζειν τὰς ναῦς, εἴ τίς τι ἐπεπονήκει,
compelled to-repair the ships if anyone anything had-suffered
καὶ ὁλκάδας προώρμισε πρὸ τοῦ σφετέρου σταυρώματος,
and merchant-ships moored-in-front before the their-own stockade

ὃ αὐτοῖς πρὸ τῶν νεῶν ἀντὶ λιμένος κληστοῦ ἐν τῇ
which for-them before the ships instead-of harbor closed in the
θαλάσσῃ ἐπεπήγει.
sea had-been-fixed

38.3 διαλειπούσας δὲ τὰς ὁλκάδας ὅσον δύο πλέθρα
being-spaced and the merchant-ships as-much-as two plethra
ἀπ᾽ ἀλλήλων κατέστησεν, ὅπως, εἴ τις βιάζοιτο ναῦς,
from one-another be-set so-that if any be-hard-pressed ship
εἴη κατάφευξις ἀσφαλὴς καὶ πάλιν καθ᾽ ἡσυχίαν
there-might-be refuge safe and again at leisure
ἔκπλους. παρασκευαζόμενοι δὲ ταῦτα ὅλην τὴν ἡμέραν
sailing-out preparing and these-things whole the day
διετέλεσαν οἱ Ἀθηναῖοι μέχρι νυκτός.
continued the Athenians until night

39.1 τῇ δ᾽ ὑστεραίᾳ οἱ Συρακόσιοι τῆς μὲν ὥρας πρωίτερον,
on-the and next-day the Syracusans of-the indeed hour earlier
τῇ δ᾽ ἐπιχειρήσει τῇ αὐτῇ τοῦ τε πεζοῦ καὶ τοῦ
with-the and attack the same of-the both infantry and of-the
ναυτικοῦ προσέμισγον τοῖς Ἀθηναίοις,
navy engaged with-the Athenians

39.2 καὶ ἀντικαταστάντες ταῖς ναυσὶ τὸν αὐτὸν τρόπον
and having-taken-position-opposite with-the ships the same way
αὖθις ἐπὶ πολὺ διῆγον τῆς ἡμέρας πειρώμενοι ἀλλήλων,
again for long spent of-the day testing one-another
πρὶν δὴ Ἀρίστων ὁ Πυρρίχου Κορίνθιος, ἄριστος ὢν
until indeed Ariston the son-of-Pyrrhichus a-Corinthian best being
κυβερνήτης τῶν μετὰ Συρακοσίων, πείθει τοὺς σφετέρους
helmsman of-the-ones with Syracusans persuades the their-own
τοῦ ναυτικοῦ ἄρχοντας, πέμψαντας ὡς τοὺς ἐν τῇ πόλει
of-the navy commanders having-sent to the in the city
ἐπιμελομένους, κελεύειν ὅτι τάχιστα τὴν ἀγορὰν τῶν
in-charge to-urge as quickly-as-possible the market of-the-things

πωλουμένων παρὰ τὴν θάλασσαν μεταστῆσαι κομίσαντας,
being-sold to the sea to-move having-brought
καὶ ὅσα τις ἔχει ἐδώδιμα, πάντας ἐκεῖσε φέροντας
and whatever anyone has edible all thither carrying
ἀναγκάσαι πωλεῖν, ὅπως αὐτοῖς ἐκβιβάσαντες τοὺς ναύτας
to-compel to-sell so-that for-them having-landed the sailors
εὐθὺς παρὰ τὰς ναῦς ἀριστοποιήσωνται, καὶ δι' ὀλίγου αὖθις
at-once beside the ships they-may-take-their-meal and in short-time again
καὶ αὐθημερὸν ἀπροσδοκήτοις τοῖς Ἀθηναίοις ἐπιχειρῶσιν.
and on-the-same-day unexpecting the Athenians they-may-attack
καὶ οἱ μὲν πεισθέντες ἔπεμψαν ἄγγελον, καὶ ἡ 40.1
and the-ones indeed having-been-persuaded sent messenger and the
ἀγορὰ παρεσκευάσθη, καὶ οἱ Συρακόσιοι ἐξαίφνης πρύμναν
market was-prepared and the Syracusans suddenly stern
κρουσάμενοι πάλιν πρὸς τὴν πόλιν ἔπλευσαν καὶ εὐθὺς
having-backed again toward the city sailed and at-once
ἐκβάντες αὐτοῦ ἄριστον ἐποιοῦντο·
having-disembarked there meal made
οἱ δ' Ἀθηναῖοι νομίσαντες αὐτοὺς ὡς ἡσσημένους σφῶν 40.2
the and Athenians having-thought them as defeated by-them
πρὸς τὴν πόλιν ἀνακρούσασθαι, καθ' ἡσυχίαν ἐκβάντες
toward the city to-have-backed-water at leisure having-disembarked
τά τε ἄλλα διεπράσσοντο καὶ τὰ ἀμφὶ τὸ ἄριστον
the both other-things were-doing and the-things about the meal
ὡς τῆς γε ἡμέρας ταύτης οὐκέτι οἰόμενοι ἂν ναυμαχῆσαι.
as of-the at-least day this no-longer thinking — to-fight-at-sea
ἐξαίφνης δὲ οἱ Συρακόσιοι πληρώσαντες τὰς ναῦς ἐπέπλεον 40.3
suddenly and the Syracusans having-manned the ships sailed-against
αὖθις· οἱ δὲ διὰ πολλοῦ θορύβου καὶ ἄσιτοι οἱ πλείους
again they and through much confusion and without-food the most
οὐδενὶ κόσμῳ ἐσβάντες μόλις ποτὲ ἀντανήγοντο.
in-no order having-embarked with-difficulty at-last put-out-against

40.4 καὶ χρόνον μέν τινα ἀπέσχοντο ἀλλήλων φυλασσόμενοι·
and time indeed some they-held-off one-another guarding
ἔπειτα οὐκ ἐδόκει τοῖς Ἀθηναίοις ὑπὸ σφῶν
then not it-seemed-good to-the Athenians by them
αὐτῶν διαμέλλοντας κόπῳ ἁλίσκεσθαι, ἀλλ᾽ ἐπιχειρεῖν ὅτι
selves delaying by-toil to-be-overcome but to-attack as
τάχιστα, καὶ ἐπιφερόμενοι ἐκ παρακελεύσεως ἐναυμάχουν.
quickly-as-possible and bearing-down with exhortation they-fought-at-sea
40.5 οἱ δὲ Συρακόσιοι δεξάμενοι καὶ ταῖς ναυσὶν ἀντιπρῴροις
the and Syracusans having-received and with-the ships prow-to-prow
χρώμενοι, ὥσπερ διενοήθησαν, τῶν ἐμβόλων τῇ παρασκευῇ
using as they-had-planned of-the beaks by-the preparation
ἀνερρήγνυσαν τὰς τῶν Ἀθηναίων ναῦς ἐπὶ πολὺ τῆς
broke-open the of-the Athenians ships for much of-the
παρεξειρεσίας, καὶ οἱ ἀπὸ τῶν καταστρωμάτων αὐτοῖς
outrigger and the-ones from the decks at-them
ἀκοντίζοντες μεγάλα ἔβλαπτον τοὺς Ἀθηναίους, πολὺ δ᾽
hurling-javelins greatly harmed the Athenians much and
ἔτι μείζω οἱ ἐν τοῖς λεπτοῖς πλοίοις περιπλέοντες τῶν
still more the-ones in the light boats sailing-around of-the
Συρακοσίων καὶ ἔς τε τοὺς ταρσοὺς ὑποπίπτοντες τῶν
Syracusans and into both the oar-banks slipping-under of-the
πολεμίων νεῶν καὶ ἐς τὰ πλάγια παραπλέοντες καὶ ἐξ
enemy ships and into the sides sailing-along and from
αὐτῶν ἐς τοὺς ναύτας ἀκοντίζοντες.
them at the sailors hurling-javelins
41.1 τέλος δὲ τούτῳ τῷ τρόπῳ κατὰ κράτος ναυμαχοῦντες οἱ
finally and in-this the way by force fighting-at-sea the
Συρακόσιοι ἐνίκησαν, καὶ οἱ Ἀθηναῖοι τραπόμενοι διὰ τῶν
Syracusans won and the Athenians having-been-routed through the
ὁλκάδων τὴν κατάφευξιν ἐποιοῦντο ἐς τὸν ἑαυτῶν ὅρμον.
merchant-ships the refuge made to the their-own anchorage

αἱ δὲ τῶν Συρακοσίων νῆες μέχρι μὲν τῶν ὁλκάδων 41.2
the and of-the Syracusans ships as-far-as indeed the merchant-ships
ἐπεδίωκον· ἔπειτα αὐτοὺς αἱ κεραῖαι ὑπὲρ τῶν ἔσπλων
pursued then them the yards over the entrances
αἱ ἀπὸ τῶν ὁλκάδων δελφινοφόροι ἠρμέναι ἐκώλυον.
the from the merchant-ships dolphin-bearing raised prevented
δύο δὲ νῆες τῶν Συρακοσίων ἐπαιρόμεναι τῇ νίκῃ 41.3
two and ships of-the Syracusans being-elated by-the victory
προσέμειξαν αὐτῶν ἐγγὺς καὶ διεφθάρησαν, καὶ ἡ ἑτέρα
approached them near and were-destroyed and the one
αὐτοῖς ἀνδράσιν ἑάλω.
with-its-very men was-taken
καταδύσαντες δ' οἱ Συρακόσιοι τῶν Ἀθηναίων ἑπτὰ ναῦς 41.4
having-sunk and the Syracusans of-the Athenians seven ships
καὶ κατατραυματίσαντες πολλὰς ἄνδρας τε τοὺς μὲν
and having-disabled many men both the indeed
πολλοὺς ζωγρήσαντες, τοὺς δὲ ἀποκτείναντες ἀπεχώρησαν,
most having-taken-alive the-others and having-killed withdrew
καὶ τροπαῖά τε ἀμφοτέρων τῶν ναυμαχιῶν ἔστησαν, καὶ
and trophies both of-both the sea-battles set-up and
τὴν ἐλπίδα ἤδη ἐχυρὰν εἶχον ταῖς μὲν ναυσὶ καὶ πολὺ
the hope already firm had with-the indeed ships also far
κρείσσους εἶναι, ἐδόκουν δὲ καὶ τὸν πεζὸν χειρώσεσθαι.
superior to-be they-thought and also the infantry to-subdue

Demosthenes and Eurymedon arrive with seventy-three ships, about five thousand hoplites, and many light troops, to the dismay of the Syracusans. Demosthenes, resolved not to repeat Nicias' delay, attacks the counter-wall but fails with his engines. He then leads a night attack up Epipolae by Euryelus, takes the fort, and drives back the first troops he meets. The Boeotians stand firm and break the Athenian advance. In the moonlight friend and foe cannot be told apart, the paeans of the Dorian allies cause panic, and many Athenians are killed or fall from the cliffs. Gylippus goes round the cities for more men, and the Syracusans hope to take the camp by storm.

42.1 καὶ οἱ μὲν ὡς ἐπιθησόμενοι κατ' ἀμφότερα
and the-ones indeed as going-to-attack on both(-elements)
παρεσκευάζοντο αὖθις, ἐν τούτῳ δὲ Δημοσθένης καὶ
were-preparing again in this and Demosthenes and
Εὐρυμέδων ἔχοντες τὴν ἀπὸ τῶν Ἀθηνῶν βοήθειαν
Eurymedon having the from — Athens help
παραγίγνονται, ναῦς τε τρεῖς καὶ ἑβδομήκοντα μάλιστα
arrive ships both three and seventy about
ξὺν ταῖς ξενικαῖς καὶ ὁπλίτας περὶ πεντακισχιλίους
with the foreign and hoplites about five-thousand
ἑαυτῶν τε καὶ τῶν ξυμμάχων, ἀκοντιστάς τε βαρβάρους
of-themselves both and of-the allies javelin-men both barbarian
καὶ Ἕλληνας οὐκ ὀλίγους, καὶ σφενδονήτας καὶ τοξότας
and Greek not few and slingers and archers
καὶ τὴν ἄλλην παρασκευὴν ἱκανήν.
and the other armament sufficient

42.2 καὶ τοῖς μὲν Συρακοσίοις καὶ ξυμμάχοις κατάπληξις ἐν
and to-the indeed Syracusans and allies dismay in
τῷ αὐτίκα οὐκ ὀλίγη ἐγένετο, εἰ πέρας μηδὲν ἔσται σφίσι
the immediate not small happened if end none will-be for-them

τοῦ ἀπαλλαγῆναι τοῦ κινδύνου, ὁρῶντες οὔτε διὰ τὴν
of-the to-be-freed of-the danger seeing neither because-of —
Δεκέλειαν τειχιζομένην οὐδὲν ἧσσον στρατὸν ἴσον καὶ
Decelea being-fortified nothing less army equal and
παραπλήσιον τῷ προτέρῳ ἐπεληλυθότα τήν τε τῶν
similar to-the former having-come the both of-the
Ἀθηναίων δύναμιν πανταχόσε πολλὴν φαινομένην· τῷ δὲ
Athenians power everywhere great appearing to-the and
προτέρῳ στρατεύματι τῶν Ἀθηναίων ὡς ἐκ κακῶν ῥώμη
former army of-the Athenians as from evils strength
τις ἐγεγένητο.
some had-arisen

ὁ δὲ Δημοσθένης ἰδὼν ὡς εἶχε τὰ πράγματα καὶ 42.3
— and Demosthenes having-seen how stood the affairs and
νομίσας οὐχ οἷόν τε εἶναι διατρίβειν οὐδὲ παθεῖν ὅπερ
having-thought not possible — to-be to-delay nor to-suffer what-very
ὁ Νικίας ἔπαθεν (ἀφικόμενος γὰρ τὸ πρῶτον ὁ Νικίας
— Nicias suffered having-arrived for the first — Nicias
φοβερός, ὡς οὐκ εὐθὺς προσέκειτο ταῖς Συρακούσαις, ἀλλ᾽
formidable since not at-once he-pressed-on — Syracuse but
ἐν Κατάνῃ διεχείμαζεν, ὑπερώφθη τε καὶ ἔφθασεν αὐτὸν
in Catana wintered was-despised both and anticipated him
ἐκ τῆς Πελοποννήσου στρατιᾷ ὁ Γύλιππος ἀφικόμενος,
from — Peloponnese with-an-army — Gylippus having-arrived
ἣν οὐδ᾽ ἂν μετέπεμψαν οἱ Συρακόσιοι, εἰ ἐκεῖνος εὐθὺς
which not-even — would-have-sent-for the Syracusans if that-man at-once
ἐπέκειτο· ἱκανοὶ γὰρ αὐτοὶ οἰόμενοι εἶναι ἅμα τ᾽
had-pressed sufficient for themselves thinking to-be at-the-same-time both
ἂν ἔμαθον ἥσσους ὄντες καὶ ἀποτετειχισμένοι ἂν
— would-have-learned weaker being and walled-off —
ἦσαν, ὥστε μηδ᾽ εἰ μετέπεμψαν ἔτι ὁμοίως ἂν
would-have-been so-that not-even if they-sent-for any-longer equally —

αὐτοὺς ὠφελεῖν), ταῦτα οὖν ἀνασκοπῶν ὁ Δημοσθένης,
them to-help these-things then considering — Demosthenes
καὶ γιγνώσκων ὅτι καὶ αὐτὸς ἐν τῷ παρόντι τῇ
and knowing that also himself in the present on-the
πρώτῃ ἡμέρᾳ μάλιστα δεινότατός ἐστι τοῖς ἐναντίοις,
first day most most-formidable is to-the opponents
ἐβούλετο ὅτι τάχος ἀποχρήσασθαι τῇ παρούσῃ τοῦ
wished as quickly-as-possible to-make-full-use-of the present of-the
στρατεύματος ἐκπλήξει.
army dismay

42.4 καὶ ὁρῶν τὸ παρατείχισμα τῶν Συρακοσίων, ᾧ
and seeing the counter-wall of-the Syracusans by-which
ἐκώλυσαν περιτειχίσαι σφᾶς τοὺς Ἀθηναίους, ἁπλοῦν
they-prevented to-wall-in them the Athenians single
ὂν καί, εἰ κρατήσειέ τις τῶν τε Ἐπιπολῶν τῆς
being and if should-gain-control-of anyone — both of-Epipolae the
ἀναβάσεως καὶ αὖθις τοῦ ἐν αὐταῖς στρατοπέδου, ῥᾳδίως
ascent and again of-the on them camp easily
ἂν αὐτὸ ληφθέν (οὐδὲ γὰρ ὑπομεῖναι ἂν σφᾶς οὐδένα),
— it would-be-taken not-even for to-withstand — them anyone
42.5 ἠπείγετο ἐπιθέσθαι τῇ πείρᾳ, καί οἱ ξυντομωτάτην ἡγεῖτο
he-hastened to-make the attempt and to-him shortest he-thought
διαπολέμησιν· ἢ γὰρ κατορθώσας ἔξειν Συρακούσας, ἢ
ending-of-the-war either for having-succeeded to-hold Syracuse or
ἀπάξειν τὴν στρατιὰν καὶ οὐ τρίψεσθαι ἄλλως Ἀθηναίους
to-lead-away the army and not to-wear-out otherwise Athenians
τε τοὺς ξυστρατευομένους καὶ τὴν ξύμπασαν πόλιν.
both the campaigning-with and the whole city

42.6 πρῶτον μὲν οὖν τήν τε γῆν ἐξελθόντες τῶν Συρακοσίων
first indeed then the both land having-gone-out of-the Syracusans
ἔτεμον οἱ Ἀθηναῖοι περὶ τὸν Ἄναπον, καὶ τῷ στρατεύματι
ravaged the Athenians about — Anapus and with-the army

ἐπεκράτουν ὥσπερ τὸ πρῶτον, τῷ τε πεζῷ καὶ ταῖς
were-superior as the first with-the both infantry and with-the
ναυσίν (οὐδὲ γὰρ καθ' ἕτερα οἱ Συρακόσιοι ἀντεπεξῇσαν
ships not-even for on either(-element) the Syracusans went-out-against
ὅτι μὴ τοῖς ἱππεῦσι καὶ ἀκοντισταῖς ἀπὸ τοῦ Ὀλυμπιείου)·
except — with-the cavalry and javelin-men from — Olympieum
ἔπειτα μηχαναῖς ἔδοξε τῷ Δημοσθένει πρότερον 43.1
then with-engines it-seemed-good — to-Demosthenes first
ἀποπειρᾶσαι τοῦ παρατειχίσματος. ὡς δὲ αὐτῷ
to-make-trial of-the counter-wall when and for-him
προσαγαγόντι κατεκαύθησάν τε ὑπὸ τῶν ἐναντίων ἀπὸ
having-brought-up were-burned both by the opponents from
τοῦ τείχους ἀμυνομένων αἱ μηχαναὶ καὶ τῇ ἄλλῃ
the wall defending the engines and with-the other
στρατιᾷ πολλαχῇ προσβάλλοντες ἀπεκρούοντο, οὐκέτι
army in-many-places attacking they-were-repulsed no-longer
ἐδόκει διατρίβειν, ἀλλὰ πείσας τόν τε Νικίαν καὶ
it-seemed-good to-delay but having-persuaded — both Nicias and
τοὺς ἄλλους ξυνάρχοντας, ὡς ἐπενόει, τὴν ἐπιχείρησιν
the other fellow-commanders as he-planned the attempt
τῶν Ἐπιπολῶν ἐποιεῖτο.
— of-Epipolae he-made
καὶ ἡμέρας μὲν ἀδύνατα ἐδόκει εἶναι λαθεῖν 43.2
and by-day indeed impossible it-seemed to-be to-escape-notice
προσελθόντας τε καὶ ἀναβάντας, παραγγείλας δὲ πέντε
having-approached both and having-gone-up having-ordered and of-five
ἡμερῶν σιτία καὶ τοὺς λιθολόγους καὶ τέκτονας πάντας
days provisions and the stone-masons and builders all
λαβὼν καὶ ἄλλην παρασκευὴν τοξευμάτων τε καὶ ὅσα
having-taken and other preparation of-arrows both and whatever
ἔδει, ἢν κρατῶσι, τειχίζοντας ἔχειν, αὐτὸς μὲν ἀπὸ
was-needed if they-prevail fortifying to-have himself indeed from

πρώτου ὕπνου καὶ Εὐρυμέδων καὶ Μένανδρος ἀναλαβὼν
first sleep and Eurymedon and Menander having-taken-up
τὴν πᾶσαν στρατιὰν ἐχώρει πρὸς τὰς Ἐπιπολάς, Νικίας
the whole army went toward — Epipolae Nicias
δὲ ἐν τοῖς τείχεσιν ὑπελέλειπτο.
and in the walls had-been-left-behind

43.3 καὶ ἐπειδὴ ἐγένοντο πρὸς αὐταῖς κατὰ τὸν Εὐρύηλον, ᾗπερ
and when they-came at them by — Euryelus where
καὶ ἡ προτέρα στρατιὰ τὸ πρῶτον ἀνέβη, λανθάνουσί
also the former army the first went-up they-escape-notice-of
τε τοὺς φύλακας τῶν Συρακοσίων, καὶ προσβάντες τὸ
both the guards of-the Syracusans and having-gone-up-to the
τείχισμα ὃ ἦν αὐτόθι τῶν Συρακοσίων αἱροῦσι καὶ
fort which was there of-the Syracusans they-take and
ἄνδρας τῶν φυλάκων ἀποκτείνουσιν.
men of-the guards they-kill

43.4 οἱ δὲ πλείους διαφυγόντες εὐθὺς πρὸς τὰ στρατόπεδα,
the and most having-escaped at-once to the camps
ἃ ἦν ἐπὶ τῶν Ἐπιπολῶν τρία ἐν προτειχίσμασιν, ἓν
which were on — Epipolae three in outworks one
μὲν τῶν Συρακοσίων, ἓν δὲ τῶν ἄλλων Σικελιωτῶν,
indeed of-the Syracusans one and of-the other Sicilian-Greeks
ἓν δὲ τῶν ξυμμάχων, ἀγγέλλουσι τὴν ἔφοδον καὶ τοῖς
one and of-the allies announce the approach and to-the
ἑξακοσίοις τῶν Συρακοσίων, οἳ καὶ πρῶτοι κατὰ τοῦτο
six-hundred of-the Syracusans who also first at this
τὸ μέρος τῶν Ἐπιπολῶν φύλακες ἦσαν, ἔφραζον.
the part — of-Epipolae guards were told

43.5 οἱ δ' ἐβοήθουν τ' εὐθύς, καὶ αὐτοῖς ὁ Δημοσθένης καὶ
they and came-to-help both at-once and them — Demosthenes and
οἱ Ἀθηναῖοι ἐντυχόντες ἀμυνομένους προθύμως ἔτρεψαν.
the Athenians having-encountered defending-themselves eagerly routed

καὶ αὐτοὶ μὲν εὐθὺς ἐχώρουν ἐς τὸ πρόσθεν, ὅπως
and themselves indeed at-once advanced to the front so-that
τῇ παρούσῃ ὁρμῇ τοῦ περαίνεσθαι ὧν ἕνεκα ἦλθον
with-the present impetus of-the to-be-accomplished which for-the-sake-of they-came
μὴ βραδεῖς γένωνται· ἄλλοι δὲ ἀπὸ τῆς πρώτης τὸ
not slow they-might-become others and from the first(-onset) the
παρατείχισμα τῶν Συρακοσίων οὐχ ὑπομενόντων τῶν
counter-wall of-the Syracusans not standing-firm the
φυλάκων ᾕρουν τε καὶ τὰς ἐπάλξεις ἀπέσυρον.
guards took both and the battlements tore-down
οἱ δὲ Συρακόσιοι καὶ οἱ ξύμμαχοι καὶ ὁ Γύλιππος καὶ 43.6
the and Syracusans and the allies and — Gylippus and
οἱ μετ᾽ αὐτοῦ ἐβοήθουν ἐκ τῶν προτειχισμάτων, καὶ
the-ones with him came-to-help from the outworks and
ἀδοκήτου τοῦ τολμήματος σφίσιν ἐν νυκτὶ γενομένου
unexpected the daring for-them in night having-happened
προσέβαλόν τε τοῖς Ἀθηναίοις ἐκπεπληγμένοι καὶ
attacked both the Athenians being-dismayed and
βιασθέντες ὑπ᾽ αὐτῶν τὸ πρῶτον ὑπεχώρησαν.
having-been-forced by them the first gave-way
προϊόντων δὲ τῶν Ἀθηναίων ἐν ἀταξίᾳ μᾶλλον ἤδη ὡς 43.7
advancing and the Athenians in disorder rather already as
κεκρατηκότων καὶ βουλομένων διὰ παντὸς τοῦ μήπω
having-prevailed and wishing through all the not-yet
μεμαχημένου τῶν ἐναντίων ὡς τάχιστα διελθεῖν,
having-fought of-the opponents as quickly-as-possible to-pass-through
ἵνα μὴ ἀνέντων σφῶν τῆς ἐφόδου αὖθις ξυστραφῶσιν,
so-that not having-relaxed them of-the attack again they-might-rally
οἱ Βοιωτοὶ πρῶτοι αὐτοῖς ἀντέσχον καὶ προσβαλόντες
the Boeotians first them withstood and having-attacked
ἔτρεψάν τε καὶ ἐς φυγὴν κατέστησαν.
routed both and to flight put

44.1 καὶ ἐνταῦθα ἤδη ἐν πολλῇ ταραχῇ καὶ ἀπορίᾳ ἐγίγνοντο
and there already in much confusion and perplexity became
οἱ Ἀθηναῖοι, ἦν οὐδὲ πυθέσθαι ῥᾴδιον ἦν οὐδ᾽ ἀφ᾽
the Athenians which not-even to-learn easy was not-even from
ἑτέρων ὅτῳ τρόπῳ ἕκαστα ξυνηνέχθη. ἐν μὲν γὰρ ἡμέρᾳ
others in-what way each-thing happened in indeed for day
σαφέστερα μέν, ὅμως δὲ οὐδὲ ταῦτα οἱ παραγενόμενοι
clearer indeed nevertheless but not-even these-things the having-been-present
πάντα πλὴν τὸ καθ᾽ ἑαυτὸν ἕκαστος μόλις οἶδεν· ἐν δὲ
all except the by himself each scarcely knows in and
νυκτομαχίᾳ, ἣ μόνη δὴ στρατοπέδων μεγάλων ἔν γε
night-battle which alone indeed of-armies great in at-least
τῷδε τῷ πολέμῳ ἐγένετο, πῶς ἄν τις σαφῶς τι ᾔδει;
this the war happened how — anyone clearly anything would-know
44.2 ἦν μὲν γὰρ σελήνη λαμπρά, ἑώρων δὲ οὕτως ἀλλήλους
was indeed for moon bright they-saw and thus one-another
ὡς ἐν σελήνῃ εἰκὸς τὴν μὲν ὄψιν τοῦ σώματος προορᾶν,
as in moonlight likely the indeed sight of-the body to-see-ahead
τὴν δὲ γνῶσιν τοῦ οἰκείου ἀπιστεῖσθαι. ὁπλῖται δὲ
the and recognition of-the own to-be-doubted hoplites and
ἀμφοτέρων οὐκ ὀλίγοι ἐν στενοχωρίᾳ ἀνεστρέφοντο.
of-both not few in confined-space were-turning-about
44.3 καὶ τῶν Ἀθηναίων οἱ μὲν ἤδη ἐνικῶντο, οἱ δ᾽
and of-the Athenians the-ones indeed already were-being-defeated the-others and
ἔτι τῇ πρώτῃ ἐφόδῳ ἀήσσητοι ἐχώρουν. πολὺ δὲ καὶ τοῦ
still in-the first onset undefeated advanced much and also of-the
ἄλλου στρατεύματος αὐτοῖς τὸ μὲν ἄρτι ἀνεβεβήκει, τὸ
other army for-them the-part indeed just had-gone-up the-other
δ᾽ ἔτι προσανῄει, ὥστ᾽ οὐκ ἠπίσταντο πρὸς ὅτι χρὴ
and still was-coming-up so-that not they-knew toward what it-is-necessary

χωρῆσαι. ἤδη γὰρ τὰ πρόσθεν τῆς τροπῆς γεγενημένης
to-go already for the-things in-front the rout having-happened
ἐτετάρακτο πάντα καὶ χαλεπὰ ἦν ὑπὸ τῆς βοῆς διαγνῶναι.
had-been-confused all and difficult was by the shouting to-distinguish
οἵ τε γὰρ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ὡς κρατοῦντες 44.4
the both for Syracusans and the allies as prevailing
παρεκελεύοντό τε κραυγῇ οὐκ ὀλίγῃ χρώμενοι, ἀδύνατον
were-cheering-on both with-shouting not small using impossible
ὂν ἐν νυκτὶ ἄλλῳ τῳ σημῆναι, καὶ ἅμα τοὺς
being in night by-other any(-means) to-signal and at-the-same-time the
προσφερομένους ἐδέχοντο· οἵ τε Ἀθηναῖοι ἐζήτουν τε
attackers they-received the both Athenians were-seeking both
σφᾶς αὐτοὺς καὶ πᾶν τὸ ἐξ ἐναντίας, καὶ εἰ φίλιον
them selves and all the from opposite(-side) even if friendly
εἴη τῶν ἤδη πάλιν φευγόντων, πολέμιον ἐνόμιζον, καὶ
it-were of-the already back fleeing hostile they-thought and
τοῖς ἐρωτήμασι τοῦ ξυνθήματος πυκνοῖς χρώμενοι διὰ
with-the askings of-the watchword frequent using because-of
τὸ μὴ εἶναι ἄλλῳ τῳ γνωρίσαι σφίσι τε αὐτοῖς
the not to-be by-other any(-means) to-recognize to-them both selves
θόρυβον πολὺν παρεῖχον ἅμα πάντες ἐρωτῶντες
confusion much caused at-the-same-time all asking
καὶ τοῖς πολεμίοις σαφὲς αὐτὸ κατέστησαν·
and to-the enemies clear it made
τὸ δ' ἐκείνων οὐχ ὁμοίως ἠπίσταντο διὰ τὸ κρατοῦντας 44.5
the and of-those not similarly they-knew because-of the prevailing
αὐτοὺς καὶ μὴ διεσπασμένους ἧσσον ἀγνοεῖσθαι, ὥστ'
them and not scattered less to-be-unknown so-that
εἰ μὲν ἐντύχοιέν τισι κρείσσους ὄντες τῶν πολεμίων,
if indeed they-met some stronger being than-the enemies

διέφευγον αὐτοὺς ἅτε ἐκείνων ἐπιστάμενοι τὸ ξύνθημα,
they-escaped them inasmuch-as of-those knowing the watchword
εἰ δ' αὐτοὶ μὴ ἀποκρίνοιντο, διεφθείροντο.
if and they-themselves not should-answer they-were-destroyed

44.6 μέγιστον δὲ καὶ οὐχ ἥκιστα ἔβλαψε καὶ ὁ παιανισμός·
greatest and and not least harmed also the paean-singing
ἀπὸ γὰρ ἀμφοτέρων παραπλήσιος ὢν ἀπορίαν παρεῖχεν.
from for both-sides similar being perplexity it-caused
οἵ τε γὰρ Ἀργεῖοι καὶ οἱ Κερκυραῖοι καὶ ὅσον Δωρικὸν
the both for Argives and the Corcyraeans and as-much-as Dorian
μετ' Ἀθηναίων ἦν, ὁπότε παιανίσειαν, φόβον παρεῖχε
with Athenians was whenever they-sang-the-paean fear it-caused
τοῖς Ἀθηναίοις, οἵ τε πολέμιοι ὁμοίως.
to-the Athenians the both enemies likewise

44.7 ὥστε τέλος ξυμπεσόντες αὐτοῖς κατὰ πολλὰ τοῦ
so-that finally having-fallen-upon with-themselves at many(-points) of-the
στρατοπέδου, ἐπεὶ ἅπαξ ἐταράχθησαν, φίλοι τε
camp when once they-were-thrown-into-confusion friends both
φίλοις καὶ πολῖται πολίταις, οὐ μόνον ἐς φόβον
with-friends and citizens with-citizens not only into fear
κατέστησαν, ἀλλὰ καὶ ἐς χεῖρας ἀλλήλοις ἐλθόντες
came but also to hands with-one-another having-come
μόλις ἀπελύοντο.
with-difficulty were-separated

44.8 καὶ διωκόμενοι κατά τε τῶν κρημνῶν πολλοὶ ῥίπτοντες
and being-pursued down both the cliffs many throwing
ἑαυτοὺς ἀπώλλυντο, στενῆς οὔσης τῆς ἀπὸ τῶν Ἐπιπολῶν
themselves perished narrow being the from — Epipolae
πάλιν καταβάσεως, καὶ ἐπειδὴ ἐς τὸ ὁμαλὸν οἱ σῳζόμενοι
back descent and when to the level the being-saved
ἄνωθεν καταβαῖεν, οἱ μὲν πολλοὶ αὐτῶν καὶ ὅσοι
from-above came-down the indeed most of-them and as-many-as

ἦσαν τῶν προτέρων στρατιωτῶν ἐμπειρίᾳ μᾶλλον τῆς
were of-the earlier soldiers by-experience rather of-the
χώρας ἐς τὸ στρατόπεδον διεφύγγανον, οἱ δὲ ὕστερον
country to the camp escaped the-others and later
ἥκοντες εἰσὶν οἳ διαμαρτόντες τῶν ὁδῶν κατὰ τὴν
having-come there-are who having-missed the roads in the
χώραν ἐπλανήθησαν· οὕς, ἐπειδὴ ἡμέρα ἐγένετο, οἱ ἱππῆς
country wandered whom when day came the cavalry
τῶν Συρακοσίων περιελάσαντες διέφθειραν.
of-the Syracusans having-ridden-round destroyed
τῇ δ' ὑστεραίᾳ οἱ μὲν Συρακόσιοι δύο τροπαῖα ἔστησαν, 45.1
on-the and next-day the indeed Syracusans two trophies set-up
ἐπί τε ταῖς Ἐπιπολαῖς ᾗ ἡ πρόσβασις καὶ κατὰ
at both — Epipolae where the ascent and at
τὸ χωρίον ᾗ οἱ Βοιωτοὶ πρῶτον ἀντέστησαν, οἱ δ'
the place where the Boeotians first withstood the and
Ἀθηναῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἐκομίσαντο.
Athenians the dead under-truce recovered
ἀπέθανον δὲ οὐκ ὀλίγοι αὐτῶν τε καὶ τῶν ξυμμάχων, 45.2
died and not few of-them both and of-the allies
ὅπλα μέντοι ἔτι πλείω ἢ κατὰ τοὺς νεκροὺς
arms however still more than in-proportion-to the dead
ἐλήφθη· οἱ γὰρ κατὰ τῶν κρημνῶν βιασθέντες ἄλλεσθαι
were-taken the for down the cliffs having-been-forced to-leap
ψιλοὶ οἱ μὲν ἀπώλλυντο, οἱ δ' ἐσώθησαν.
stripped the-ones indeed perished the-others and were-saved
μετὰ δὲ τοῦτο οἱ μὲν Συρακόσιοι ὡς ἐπὶ ἀπροσδοκήτῳ 46.1
after and this the indeed Syracusans as at unexpected
εὐπραγίᾳ πάλιν αὖ ἀναρρωσθέντες, ὥσπερ καὶ πρότερον,
success again in-turn having-been-encouraged as also before
ἐς μὲν Ἀκράγαντα στασιάζοντα πέντε καὶ δέκα ναυσὶ
to indeed Acragas being-in-faction five and ten with-ships

Σικανὸν ἀπέστειλαν, ὅπως ὑπαγάγοιτο τὴν πόλιν, εἰ
Sicanus sent so-that he-might-win-over the city if
δύναιτο· Γύλιππος δὲ κατὰ γῆν ἐς τὴν ἄλλην Σικελίαν
he-could Gylippus and by land to the other Sicily
ᾤχετο αὖθις, ἄξων στρατιὰν ἔτι, ὡς ἐν ἐλπίδι ὢν
went again going-to-bring army still as in hope being
καὶ τὰ τείχη τῶν Ἀθηναίων αἱρήσειν βίᾳ, ἐπειδὴ τὰ
also the walls of-the Athenians to-take by-force since the-things
ἐν ταῖς Ἐπιπολαῖς οὕτω ξυνέβη.
on — Epipolae thus happened

IX · THE GENERALS' DEBATE

The Athenian generals take counsel over their defeat and the sickness in the camp beside the marsh. Demosthenes wants to sail home at once while they still command the sea. Nicias, knowing their weakness, will not vote openly to leave. He says the Athenians at home would condemn them and that the Syracusans' money is running out, and he knows privately that a party in the city wants to surrender. Demosthenes then urges moving to Thapsus or Catana, where they can feed the army and fight in open water. Nicias opposes this too, and they delay and remain where they are.

47.1 οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ ἐν τούτῳ ἐβουλεύοντο
the and of-the Athenians generals in this deliberated
πρός τε τὴν γεγενημένην ξυμφορὰν καὶ πρὸς τὴν
with-regard-to both the having-happened disaster and with-regard-to the
παροῦσαν ἐν τῷ στρατοπέδῳ κατὰ πάντα ἀρρωστίαν.
present in the camp in all-respects weakness
τοῖς τε γὰρ ἐπιχειρήμασιν ἑώρων οὐ κατορθοῦντες καὶ
in-the both for attempts they-saw not succeeding and
τοὺς στρατιώτας ἀχθομένους τῇ μονῇ·
the soldiers being-vexed at-the staying

νόσῳ τε γὰρ ἐπιέζοντο κατ᾽ ἀμφότερα, τῆς τε 47.2
with-disease both for they-were-pressed on both(-counts) the both
ὥρας τοῦ ἐνιαυτοῦ ταύτης οὔσης ἐν ᾗ ἀσθενοῦσιν
season of-the year this being in which are-sick
ἄνθρωποι μάλιστα, καὶ τὸ χωρίον ἅμα ἐν ᾧ
men most and the place at-the-same-time in which
ἐστρατοπεδεύοντο ἑλῶδες καὶ χαλεπὸν ἦν, τά τε ἄλλα
they-were-encamped marshy and difficult was the both other-things
ὅτι ἀνέλπιστα αὐτοῖς ἐφαίνετο.
because hopeless to-them appeared
τῷ οὖν Δημοσθένει οὐκ ἐδόκει ἔτι χρῆναι μένειν, 47.3
— then to-Demosthenes not it-seemed any-longer it-was-necessary to-stay
ἀλλ᾽ ἅπερ καὶ διανοηθεὶς ἐς τὰς Ἐπιπολὰς διεκινδύνευσεν,
but which-very also having-planned to — Epipolae he-had-risked
ἐπειδὴ ἔσφαλτο, ἀπιέναι ἐψηφίζετο καὶ μὴ διατρίβειν, ἕως
since he-had-failed to-depart he-voted and not to-delay while
ἔτι τὸ πέλαγος οἷόν τε περαιοῦσθαι καὶ τοῦ στρατεύματος
still the sea possible — to-cross and of-the army
ταῖς γοῦν ἐπελθούσαις ναυσὶ κρατεῖν.
with-the at-least having-come ships to-prevail
καὶ τῇ πόλει ὠφελιμώτερον ἔφη εἶναι πρὸς τοὺς ἐν 47.4
and to-the city more-beneficial he-said to-be against the-ones in
τῇ χώρᾳ σφῶν ἐπιτειχίζοντας τὸν πόλεμον ποιεῖσθαι
the country of-them fortifying-against the war to-make
ἢ Συρακοσίους, οὓς οὐκέτι ῥᾴδιον εἶναι χειρώσασθαι·
than Syracusans whom no-longer easy to-be to-subdue
οὐδ᾽ αὖ ἄλλως χρήματα πολλὰ δαπανῶντας εἰκὸς εἶναι
nor again otherwise money much spending likely to-be
προσκαθῆσθαι.
to-sit-before

48.1 καὶ ὁ μὲν Δημοσθένης τοιαῦτα ἐγίγνωσκεν· ὁ δὲ Νικίας
and — indeed Demosthenes such-things judged — and Nicias
ἐνόμιζε μὲν καὶ αὐτὸς πονηρά σφῶν τὰ πράγματα εἶναι,
thought indeed also himself bad of-them the affairs to-be
τῷ δὲ λόγῳ οὐκ ἐβούλετο αὐτὰ ἀσθενῆ ἀποδεικνύναι, οὐδ'
in-the and word not wished them weak to-show nor
ἐμφανῶς σφᾶς ψηφιζομένους μετὰ πολλῶν τὴν ἀναχώρησιν
openly them voting with many the withdrawal
τοῖς πολεμίοις καταγγέλτους γίγνεσθαι· λαθεῖν γὰρ ἄν,
to-the enemies reported to-become to-escape-notice for —
ὁπότε βούλοιντο, τοῦτο ποιοῦντες πολλῷ ἧσσον.
whenever they-wished this doing much less

48.2 τὸ δέ τι καὶ τὰ τῶν πολεμίων, ἀφ' ὧν ἐπὶ
the and somewhat also the-affairs of-the enemies from which to
πλέον ἢ οἱ ἄλλοι ᾐσθάνετο αὐτῶν, ἐλπίδος τι
more than the others he-perceived of-them of-hope something
ἔτι παρεῖχε πονηρότερα τῶν σφετέρων ἔσεσθαι, ἢν
still gave worse than-the their-own to-be if
καρτερῶσι προσκαθήμενοι· χρημάτων γὰρ ἀπορίᾳ αὐτοὺς
they-persevere sitting-before of-money for by-lack them
ἐκτρυχώσειν, ἄλλως τε καὶ ἐπὶ πλέον ἤδη ταῖς
to-wear-out otherwise both and to more already with-the
ὑπαρχούσαις ναυσὶ θαλασσοκρατούντων. καὶ ἦν γάρ
existing ships commanding-the-sea and there-was for
τι καὶ ἐν ταῖς Συρακούσαις βουλόμενον τοῖς Ἀθηναίοις
something also in — Syracuse wishing to-the Athenians
τὰ πράγματα ἐνδοῦναι, ἐπεκηρυκεύετο ὡς αὐτὸν καὶ οὐκ
the affairs to-hand-over it-was-negotiating to him and not
εἴα ἀπανίστασθαι.
allowed to-withdraw

ἃ ἐπιστάμενος τῷ μὲν ἔργῳ ἔτι ἐπ᾽ ἀμφότερα ἔχων 48.3
which-things knowing in-the indeed deed still on both(-sides) holding
καὶ διασκοπῶν ἀνεῖχε, τῷ δ᾽ ἐμφανεῖ τότε λόγῳ οὐκ ἔφη
and considering he-held-back in-the and open then word not he-said
ἀπάξειν τὴν στρατιάν. εὖ γὰρ εἰδέναι ὅτι Ἀθηναῖοι σφῶν
to-lead-away the army well for to-know that Athenians from-them
ταῦτα οὐκ ἀποδέξονται, ὥστε μὴ αὐτῶν ψηφισαμένων
these-things not will-accept so-that not them having-voted
ἀπελθεῖν. καὶ γὰρ οὐ τοὺς αὐτοὺς ψηφιεῖσθαί τε περὶ
to-depart and for not the same to-vote both about
σφῶν καὶ τὰ πράγματα ὥσπερ καὶ αὐτοὶ ὁρῶντας καὶ
them and the affairs as also themselves seeing and
οὐκ ἄλλων ἐπιτιμήσει ἀκούσαντας γνώσεσθαι, ἀλλ᾽ ἐξ ὧν
not of-others by-censure having-heard to-judge but from what
ἄν τις εὖ λέγων διαβάλλοι, ἐκ τούτων αὐτοὺς πείσεσθαι.
— anyone well speaking might-slander from these them to-be-persuaded
τῶν τε παρόντων στρατιωτῶν πολλοὺς καὶ τοὺς πλείους 48.4
of-the both present soldiers many and the most
ἔφη, οἳ νῦν βοῶσιν ὡς ἐν δεινοῖς ὄντες, ἐκεῖσε ἀφικομένους
he-said who now shout as in dangers being there having-arrived
τἀναντία βοήσεσθαι ὡς ὑπὸ χρημάτων καταπροδόντες
the-opposite will-shout as by money having-betrayed
οἱ στρατηγοὶ ἀπῆλθον. οὔκουν βούλεσθαι αὐτός γε
the generals departed not-therefore to-wish himself at-least
ἐπιστάμενος τὰς Ἀθηναίων φύσεις ἐπ᾽ αἰσχρᾷ τε αἰτίᾳ
knowing the of-Athenians natures on shameful both charge
καὶ ἀδίκως ὑπ᾽ Ἀθηναίων ἀπολέσθαι μᾶλλον ἢ ὑπὸ τῶν
and unjustly by Athenians to-perish rather than by the
πολεμίων, εἰ δεῖ, κινδυνεύσας τοῦτο παθεῖν ἰδίᾳ.
enemies if it-is-necessary having-run-risk this to-suffer privately
68.2 ὡς δὲ ἐχθροὶ καὶ ἔχθιστοι, πάντες ἴστε, οἵ γε ἐπὶ
that and enemies and most-hated all you-know who at-least against
τὴν ἡμετέραν ἦλθον δουλωσόμενοι, ἐν ᾧ, εἰ κατώρθωσαν,
the our(-land) came going-to-enslave in which if they-had-succeeded
ἀνδράσι μὲν ἂν τἆλγιστα προσέθεσαν, παισὶ δὲ
to-men indeed — the-most-painful-things would-have-inflicted to-children and
καὶ γυναιξὶ τὰ ἀπρεπέστατα, πόλει δὲ τῇ πάσῃ τὴν
and to-women the most-unseemly-things to-city and the whole the
αἰσχίστην ἐπίκλησιν.
most-shameful name

68.3 ἀνθ' ὧν μὴ μαλακισθῆναί τινα πρέπει μηδὲ τὸ
instead-of which not to-be-softened anyone is-fitting nor the
ἀκινδύνως ἀπελθεῖν αὐτοὺς κέρδος νομίσαι. τοῦτο μὲν γὰρ
safely to-depart them gain to-consider this indeed for
καὶ ἐὰν κρατήσωσιν ὁμοίως δράσουσιν· τὸ δὲ πραξάντων
even if they-prevail similarly they-will-do the and having-accomplished
ἐκ τοῦ εἰκότος ἃ βουλόμεθα τούσδε τε κολασθῆναι
from the likely what we-wish these both to-be-punished
καὶ τῇ πάσῃ Σικελίᾳ καρπουμένῃ καὶ πρὶν ἐλευθερίαν
and to-the whole Sicily enjoying also before freedom
βεβαιοτέραν παραδοῦναι, καλὸς ὁ ἀγών. καὶ κινδύνων
more-secure to-hand-down fine the contest and of-dangers

οὗτοι σπανιώτατοι οἳ ἂν ἐλάχιστα ἐκ τοῦ σφαλῆναι
these rarest which — least from the to-fail
βλάπτοντες πλεῖστα διὰ τὸ εὐτυχῆσαι ὠφελῶσιν.'
harming most because-of the to-succeed benefit

XIV · THE BATTLE IN THE GREAT HARBOR

Nicias, dismayed, calls on each trierarch by name and by his father's name, appealing to his country's freedom, his family, and the gods. Demosthenes, Menander, and Euthydemus lead the fleet against the harbor mouth. The battle is the fiercest of the war, nearly two hundred ships in a narrow space. The armies on shore watch, swaying with what they see, crying out in joy or grief. At last the Syracusans rout the Athenians and drive them to the land. The army on shore breaks into lamentation, some running to the ships, some to the wall, most thinking how to save themselves, in a dismay like the Spartans' at Pylos: now even escape by land seems hopeless without a miracle.

καὶ οἱ μὲν τῶν Συρακοσίων στρατηγοὶ καὶ Γύλιππος 69.1
and the indeed of-the Syracusans generals and Gylippus
τοιαῦτα καὶ αὐτοὶ τοῖς σφετέροις στρατιώταις
such-things also themselves to-the their-own soldiers
παρακελευσάμενοι ἀντεπλήρουν τὰς ναῦς εὐθὺς ἐπειδὴ καὶ
having-exhorted manned-in-turn the ships at-once when also
τοὺς Ἀθηναίους ᾐσθάνοντο.
the Athenians they-perceived
ὁ δὲ Νικίας ὑπὸ τῶν παρόντων ἐκπεπληγμένος καὶ ὁρῶν 69.2
— and Nicias by the present having-been-dismayed and seeing
οἷος ὁ κίνδυνος καὶ ὡς ἐγγὺς ἤδη, ἐπειδὴ καὶ ὅσον
of-what-sort the danger and how near already when also all-but
οὐκ ἔμελλον ἀνάγεσθαι, καὶ νομίσας, ὅπερ πάσχουσιν
not they-were-about to-put-out and having-thought which-very they-suffer
ἐν τοῖς μεγάλοις ἀγῶσι, πάντα τε ἔργῳ ἔτι σφίσιν ἐνδεᾶ
in the great contests all both in-deed still to-them lacking

εἶναι καὶ λόγῳ αὐτοῖς οὔπω ἱκανὰ εἰρῆσθαι, αὖθις
to-be and in-word to-them not-yet sufficient to-have-been-said again
τῶν τριηράρχων ἕνα ἕκαστον ἀνεκάλει, πατρόθεν τε
of-the trierarchs one each he-called-up by-father's-name both
ἐπονομάζων καὶ αὐτοὺς ὀνομαστὶ καὶ φυλήν, ἀξιῶν τό
naming and themselves by-name and tribe claiming the
τε καθ' ἑαυτόν, ᾧ ὑπῆρχε λαμπρότητός τι, μὴ
both by himself in-which existed of-distinction something not
προδιδόναι τινὰ καὶ τὰς πατρικὰς ἀρετάς, ὧν ἐπιφανεῖς
to-betray anyone and the ancestral virtues of-which illustrious
ἦσαν οἱ πρόγονοι, μὴ ἀφανίζειν, πατρίδος τε τῆς
were the forefathers not to-obscure of-fatherland both the
ἐλευθερωτάτης ὑπομιμνήσκων καὶ τῆς ἐν αὐτῇ ἀνεπιτάκτου
freest reminding and of-the in it unregimented
πᾶσιν ἐς τὴν δίαιταν ἐξουσίας, ἄλλα τε λέγων ὅσα
for-all in the way-of-life liberty other-things both saying as-many-as
ἐν τῷ τοιούτῳ ἤδη τοῦ καιροῦ ὄντες ἄνθρωποι οὐ πρὸς
in the such already of-the moment being men not against
τὸ δοκεῖν τινὶ ἀρχαιολογεῖν φυλαξάμενοι εἴποιεν ἄν,
the to-seem to-someone to-talk-old-fashioned having-guarded-against would-say —
καὶ ὑπὲρ ἁπάντων παραπλήσια ἔς τε γυναῖκας καὶ
and on-behalf-of all similar to both wives and
παῖδας καὶ θεοὺς πατρῴους προφερόμενα, ἀλλ' ἐπὶ
children and gods ancestral brought-forward but in-view-of
τῇ παρούσῃ ἐκπλήξει ὠφέλιμα νομίζοντες ἐπιβοῶνται.
the present dismay useful thinking they-invoke
69.3 καὶ ὁ μὲν οὐχ ἱκανὰ μᾶλλον ἢ καὶ ἀναγκαῖα νομίσας
and he indeed not sufficient rather than also necessary having-thought
παρῃνῆσθαι, ἀποχωρήσας ἦγε τὸν πεζὸν πρὸς τὴν θάλασσαν
to-have-exhorted having-withdrawn led the infantry to the sea

καὶ παρέταξεν ὡς ἐπὶ πλεῖστον ἐδύνατο, ὅπως ὅτι μεγίστη
and drew-up as to most(-extent) he-could so-that as greatest
τοῖς ἐν ταῖς ναυσὶν ὠφελία ἐς τὸ θαρσεῖν γίγνοιτο·
to-the-ones in the ships help for the to-take-courage might-be
ὁ δὲ Δημοσθένης καὶ Μένανδρος καὶ Εὐθύδημος (οὗτοι 69.4
— and Demosthenes and Menander and Euthydemus these
γὰρ ἐπὶ τὰς ναῦς τῶν Ἀθηναίων στρατηγοὶ ἐπέβησαν)
for onto the ships of-the Athenians generals embarked
ἄραντες ἀπὸ τοῦ ἑαυτῶν στρατοπέδου εὐθὺς ἔπλεον πρὸς
having-set-out from the their-own camp at-once sailed toward
τὸ ζεῦγμα τοῦ λιμένος καὶ τὸν παραλειφθέντα διέκπλουν,
the bar of-the harbor and the left passage-through
βουλόμενοι βιάσασθαι ἐς τὸ ἔξω.
wishing to-force to the outside
προεξαγαγόμενοι δὲ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ναυσὶ 70.1
having-put-out-first and the Syracusans and the allies with-ships
παραπλησίαις τὸν ἀριθμὸν καὶ πρότερον, κατά τε τὸν
similar the number also before at both the
ἔκπλουν μέρει αὐτῶν ἐφύλασσον καὶ κατὰ τὸν ἄλλον
passage-out with-part of-them guarded and at the other
κύκλῳ λιμένα, ὅπως πανταχόθεν ἅμα προσπίπτοιεν
around harbor so-that from-all-sides at-the-same-time they-might-fall-upon
τοῖς Ἀθηναίοις, καὶ ὁ πεζὸς ἅμα αὐτοῖς παρεβοήθει
the Athenians and the infantry at-the-same-time with-them came-to-help
ᾗπερ καὶ αἱ νῆες κατίσχοιεν. ἦρχον δὲ τοῦ ναυτικοῦ τοῖς
where-very also the ships might-put-in commanded and of-the fleet for-the
Συρακοσίοις Σικανὸς μὲν καὶ Ἀγάθαρχος, κέρας ἑκάτερος
Syracusans Sicanus indeed and Agatharchus wing each
τοῦ παντὸς ἔχων, Πυθὴν δὲ καὶ οἱ Κορίνθιοι τὸ μέσον.
of-the whole holding Pythen and and the Corinthians the center

70.2 ἐπειδὴ δὲ οἱ ἄλλοι Ἀθηναῖοι προσέμισγον τῷ ζεύγματι,
when and the other Athenians engaged with-the bar
τῇ μὲν πρώτῃ ῥύμῃ ἐπιπλέοντες ἐκράτουν τῶν
in-the indeed first rush sailing-against they-overpowered the
τεταγμένων νεῶν πρὸς αὐτῷ καὶ ἐπειρῶντο λύειν τὰς
drawn-up ships at it and tried to-break the
κλῄσεις· μετὰ δὲ τοῦτο πανταχόθεν σφίσι τῶν Συρακοσίων
barriers after and this from-all-sides on-them of-the Syracusans
καὶ ξυμμάχων ἐπιφερομένων οὐ πρὸς τῷ ζεύγματι ἔτι
and allies bearing-down not at the bar any-longer
μόνον ἡ ναυμαχία, ἀλλὰ καὶ κατὰ τὸν λιμένα ἐγίγνετο,
only the sea-battle but also throughout the harbor happened
καὶ ἦν καρτερὰ καὶ οἵα οὐχ ἑτέρα τῶν προτέρων.
and was fierce and such-as not other of-the earlier
70.3 πολλὴ μὲν γὰρ ἑκατέροις προθυμία ἀπὸ τῶν ναυτῶν
great indeed for to-each-side eagerness from the sailors
ἐς τὸ ἐπιπλεῖν ὁπότε κελευσθείη ἐγίγνετο, πολλὴ δὲ
for the to-sail-against whenever it-was-ordered arose great and
ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν καὶ ἀγωνισμὸς πρὸς
the counter-skill of-the helmsmen and rivalry with
ἀλλήλους· οἵ τε ἐπιβάται ἐθεράπευον, ὁπότε προσπέσοι
one-another the both marines took-care whenever should-strike
ναῦς νηί, μὴ λείπεσθαι τὰ ἀπὸ τοῦ καταστρώματος
ship against-ship not to-be-left-behind the-things from the deck
τῆς ἄλλης τέχνης· πᾶς τέ τις ἐν ᾧ προσετέτακτο
of-the other skill every both one in what he-had-been-assigned
αὐτὸς ἕκαστος ἠπείγετο πρῶτος φαίνεσθαι.
himself each hastened first to-appear
70.4 ξυμπεσουσῶν δὲ ἐν ὀλίγῳ πολλῶν νεῶν (πλεῖσται γὰρ
having-collided and in little(-room) many ships most for
δὴ αὗται ἐν ἐλαχίστῳ ἐναυμάχησαν· βραχὺ γὰρ ἀπέλιπον
indeed these in least(-space) fought-at-sea little for they-fell-short-of

ξυναμφότεραι διακόσιαι γενέσθαι) αἱ μὲν ἐμβολαὶ διὰ τὸ
both-together two-hundred to-be the indeed rammings because-of the
μὴ εἶναι τὰς ἀνακρούσεις καὶ διέκπλους ὀλίγαι ἐγίγνοντο,
not to-be the backings-water and breakings-through few happened
αἱ δὲ προσβολαί, ὡς τύχοι ναῦς νηὶ προσπεσοῦσα
the and collisions as might-happen ship against-ship falling-upon
ἢ διὰ τὸ φεύγειν ἢ ἄλλῃ ἐπιπλέουσα, πυκνότεραι ἦσαν.
either because-of the to-flee or another sailing-against more-frequent were
καὶ ὅσον μὲν χρόνον προσφέροιτο ναῦς, οἱ ἀπὸ τῶν 70.5
and as-much-as indeed time might-bear-down ship the-ones from the
καταστρωμάτων τοῖς ἀκοντίοις καὶ τοξεύμασι καὶ λίθοις
decks the javelins and arrows and stones
ἀφθόνως ἐπ᾽ αὐτὴν ἐχρῶντο· ἐπειδὴ δὲ προσμείξειαν,
abundantly upon it used when and they-closed
οἱ ἐπιβάται ἐς χεῖρας ἰόντες ἐπειρῶντο ταῖς ἀλλήλων
the marines to hands going tried the of-one-another
ναυσὶν ἐπιβαίνειν.
ships to-board
ξυνετύγχανέ τε πολλαχοῦ διὰ τὴν στενοχωρίαν τὰ μὲν 70.6
it-happened both in-many-places because-of the narrowness partly indeed
ἄλλοις ἐμβεβληκέναι, τὰ δὲ αὐτοὺς ἐμβεβλῆσθαι, δύο τε
others to-have-rammed partly and themselves to-have-been-rammed two both
περὶ μίαν καὶ ἔστιν ᾗ καὶ πλείους ναῦς κατ᾽ ἀνάγκην
around one and there-is where also more ships by necessity
ξυνηρτῆσθαι, καὶ τοῖς κυβερνήταις τῶν μὲν φυλακήν,
to-be-locked-together and for-the helmsmen of-the-ones indeed guarding
τῶν δ᾽ ἐπιβουλήν, μὴ καθ᾽ ἓν ἕκαστον, κατὰ πολλὰ δὲ
of-the-others and attacking not by one each at many(-points) but
πανταχόθεν, περιεστάναι, καὶ τὸν κτύπον μέγαν ἀπὸ πολλῶν
from-all-sides to-surround and the noise great from many

νεῶν ξυμπιπτουσῶν ἔκπληξίν τε ἅμα καὶ ἀποστέρησιν
ships colliding dismay both at-the-same-time and deprivation
τῆς ἀκοῆς ὧν οἱ κελευσταὶ φθέγγοιντο παρέχειν.
of-the hearing of-what the boatswains might-utter to-cause
70.7 πολλὴ γὰρ δὴ ἡ παρακέλευσις καὶ βοὴ ἀφ' ἑκατέρων
great for indeed the exhortation and shouting from each-side
τοῖς κελευσταῖς κατά τε τὴν τέχνην καὶ πρὸς
by-the boatswains in-accordance-with both the skill and with-regard-to
τὴν αὐτίκα φιλονικίαν ἐγίγνετο, τοῖς μὲν Ἀθηναίοις
the immediate rivalry arose to-the indeed Athenians
βιάζεσθαί τε τὸν ἔκπλουν ἐπιβοῶντες καὶ περὶ τῆς ἐς
to-force both the passage-out shouting and about the to
τὴν πατρίδα σωτηρίας νῦν, εἴ ποτε καὶ αὖθις, προθύμως
the fatherland safety now if ever also again eagerly
ἀντιλαβέσθαι, τοῖς δὲ Συρακοσίοις καὶ ξυμμάχοις καλὸν
to-lay-hold to-the and Syracusans and allies fine
εἶναι κωλῦσαί τε αὐτοὺς διαφυγεῖν καὶ τὴν οἰκείαν
to-be to-prevent both them to-escape and the own
ἑκάστους πατρίδα νικήσαντας ἐπαυξῆσαι.
each fatherland having-won to-exalt
70.8 καὶ οἱ στρατηγοὶ προσέτι ἑκατέρων, εἴ τινά που ὁρῷεν
and the generals besides of-each-side if anyone somewhere they-saw
μὴ κατ' ἀνάγκην πρύμναν κρουόμενον, ἀνακαλοῦντες
not by necessity stern backing calling-out
ὀνομαστὶ τὸν τριήραρχον ἠρώτων, οἱ μὲν Ἀθηναῖοι
by-name the trierarch asked the indeed Athenians
εἰ τὴν πολεμιωτάτην γῆν οἰκειοτέραν ἤδη τῆς
whether the most-hostile land more-their-own already than-the
οὐ δι' ὀλίγου πόνου κεκτημένης θαλάσσης ἡγούμενοι
not through little toil acquired sea thinking
ὑποχωροῦσιν, οἱ δὲ Συρακόσιοι εἰ οὓς σαφῶς ἴσασι
they-are-retreating the and Syracusans whether whom clearly they-know

προθυμουμένους Ἀθηναίους παντὶ τρόπῳ διαφυγεῖν, τούτους
eager Athenians in-every way to-escape these
αὐτοὶ φεύγοντας φεύγουσιν.
themselves fleeing they-flee
ὅ τε ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων ἰσορρόπου τῆς 71.1
the both from the land infantry of-both evenly-balanced the
ναυμαχίας καθεστηκυίας πολὺν τὸν ἀγῶνα καὶ ξύστασιν
sea-battle having-become great the struggle and tension
τῆς γνώμης εἶχε, φιλονικῶν μὲν ὁ αὐτόθεν περὶ τοῦ
of-the mind had being-ambitious indeed the native(-side) for the
πλέονος ἤδη καλοῦ, δεδιότες δὲ οἱ ἐπελθόντες μὴ τῶν
greater already honor fearing and the having-come lest than-the
παρόντων ἔτι χείρω πράξωσιν.
present still worse they-should-fare
πάντων γὰρ δὴ ἀνακειμένων τοῖς Ἀθηναίοις ἐς τὰς 71.2
all for indeed having-been-staked for-the Athenians on the
ναῦς ὅ τε φόβος ἦν ὑπὲρ τοῦ μέλλοντος οὐδενὶ ἐοικώς,
ships the both fear was for the future to-nothing like
καὶ διὰ τὸ ἀνώμαλον τῆς ναυμαχίας ἀνώμαλον καὶ
and because-of the uneven of-the sea-battle uneven also
τὴν ἔποψιν ἐκ τῆς γῆς ἠναγκάζοντο ἔχειν.
the viewing from the land they-were-compelled to-have
δι᾽ ὀλίγου γὰρ οὔσης τῆς θέας καὶ οὐ πάντων 71.3
through little(-distance) for being the spectacle and not all
ἅμα ἐς τὸ αὐτὸ σκοπούντων, εἰ μέν τινες ἴδοιέν
at-the-same-time to the same looking if indeed some saw
πῃ τοὺς σφετέρους ἐπικρατοῦντας, ἀνεθάρσησάν τε
somewhere the their-own prevailing they-took-heart both
ἂν καὶ πρὸς ἀνάκλησιν θεῶν μὴ στερῆσαι σφᾶς τῆς
— and to invocation of-gods not to-deprive them of-the
σωτηρίας ἐτρέποντο, οἱ δ᾽ ἐπὶ τὸ ἡσσώμενον βλέψαντες
safety turned the-others and on the being-worsted having-looked

ὀλοφυρμῷ τε ἅμα μετὰ βοῆς ἐχρῶντο καὶ ἀπὸ τῶν
with-lamentation both at-the-same-time with shouting used and from the
δρωμένων τῆς ὄψεως καὶ τὴν γνώμην μᾶλλον τῶν ἐν
things-being-done of-the sight also the mind more than-the-ones in
τῷ ἔργῳ ἐδουλοῦντο· ἄλλοι δὲ καὶ πρὸς ἀντίπαλόν τι
the action were-enslaved others and also toward evenly-matched some(-part)
τῆς ναυμαχίας ἀπιδόντες, διὰ τὸ ἀκρίτως ξυνεχὲς
of-the sea-battle having-looked because-of the indecisively continuous
τῆς ἁμίλλης καὶ τοῖς σώμασιν αὐτοῖς ἴσα τῇ δόξῃ
of-the struggle also with-the bodies themselves equally with-the opinion
περιδεῶς ξυναπονεύοντες ἐν τοῖς χαλεπώτατα διῆγον·
fearfully swaying-with in the most-wretched they-passed-the-time
αἰεὶ γὰρ παρ᾽ ὀλίγον ἢ διέφευγον ἢ ἀπώλλυντο.
always for by little either they-were-escaping or they-were-perishing

71.4 ἦν τε ἐν τῷ αὐτῷ στρατεύματι τῶν Ἀθηναίων, ἕως
was both in the same army of-the Athenians while
ἀγχώμαλα ἐναυμάχουν, πάντα ὁμοῦ ἀκοῦσαι, ὀλοφυρμὸς
evenly-matched they-fought-at-sea all together to-hear lamentation
βοή, νικῶντες κρατούμενοι, ἄλλα ὅσα ἐν μεγάλῳ
shouting winning being-beaten other-things as-many-as in great
κινδύνῳ μέγα στρατόπεδον πολυειδῆ ἀναγκάζοιτο φθέγγεσθαι.
danger great army varied might-be-compelled to-utter

71.5 παραπλήσια δὲ καὶ οἱ ἐπὶ τῶν νεῶν αὐτοῖς ἔπασχον,
similar and also the-ones on the ships to-them suffered
πρίν γε δὴ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ἐπὶ πολὺ
until at-least indeed the Syracusans and the allies for long
ἀντισχούσης τῆς ναυμαχίας ἔτρεψάν τε τοὺς Ἀθηναίους
having-held-out the sea-battle routed both the Athenians
καὶ ἐπικείμενοι λαμπρῶς, πολλῇ κραυγῇ καὶ διακελευσμῷ
and pressing brilliantly with-much shouting and cheering
χρώμενοι, κατεδίωκον ἐς τὴν γῆν.
using pursued to the land

τότε δὲ ὁ μὲν ναυτικὸς στρατὸς ἄλλος ἄλλῃ, ὅσοι 71.6
then and the indeed naval force other other-where as-many-as
μὴ μετέωροι ἐάλωσαν, κατενεχθέντες ἐξέπεσον ἐς τὸ
not afloat were-taken having-been-driven fell to the
στρατόπεδον· ὁ δὲ πεζὸς οὐκέτι διαφόρως, ἀλλ᾽ ἀπὸ μιᾶς
camp the and infantry no-longer diversely but from one
ὁρμῆς οἰμωγῇ τε καὶ στόνῳ πάντες δυσανασχετοῦντες
impulse with-wailing both and groaning all bearing-with-difficulty
τὰ γιγνόμενα, οἱ μὲν ἐπὶ τὰς ναῦς παρεβοήθουν,
the things-happening the-ones indeed to the ships came-to-help
οἱ δὲ πρὸς τὸ λοιπὸν τοῦ τείχους ἐς φυλακήν, ἄλλοι
the-others and to the remainder of-the wall for guard others
δὲ καὶ οἱ πλεῖστοι ἤδη περὶ σφᾶς αὐτοὺς καὶ ὅπῃ
and also the most already about them selves and how
σωθήσονται διεσκόπουν.
they-will-be-saved considered
ἦν τε ἐν τῷ παραυτίκα οὐδεμιᾶς δὴ τῶν ξυμπασῶν 71.7
was both in the immediate than-none indeed of-the all
ἐλάσσων ἔκπληξις. παραπλήσιά τε ἐπεπόνθεσαν καὶ
less dismay similar-things both they-had-suffered and
ἔδρασαν αὐτοὶ ἐν Πύλῳ· διαφθαρεισῶν γὰρ τῶν νεῶν
done themselves at Pylos having-been-destroyed for the ships
τοῖς Λακεδαιμονίοις προσαπώλλυντο αὐτοῖς καὶ οἱ ἐν
for-the Lacedaemonians were-lost-besides for-them also the-ones on
τῇ νήσῳ ἄνδρες διαβεβηκότες, καὶ τότε τοῖς Ἀθηναίοις
the island men having-crossed and then for-the Athenians
ἀνέλπιστον ἦν τὸ κατὰ γῆν σωθήσεσθαι, ἢν μή τι
hopeless it-was the by land to-be-saved if not something
παρὰ λόγον γίγνηται.
contrary-to reason happens

After the battle the Syracusans collect the wrecks and the dead, and the Athenians do not even ask leave to take up theirs. Demosthenes proposes manning the sixty remaining ships for another attempt at dawn, and Nicias agrees, but the sailors refuse. They decide to retreat by land. Hermocrates, fearing they will escape while the Syracusans celebrate a festival, sends men who claim to be friends of the Athenians and warn them not to march by night because the roads are held. The Athenians wait a day, and the Syracusans block the roads and the fords and tow away the Athenian ships from the shore.

72.1 γενομένης δ' ἰσχυρᾶς τῆς ναυμαχίας καὶ πολλῶν νεῶν
having-been and fierce the sea-battle and many ships
ἀμφοτέροις καὶ ἀνθρώπων ἀπολομένων οἱ Συρακόσιοι
for-both and men having-perished the Syracusans
καὶ οἱ ξύμμαχοι ἐπικρατήσαντες τά τε ναυάγια καὶ τοὺς
and the allies having-prevailed the both wrecks and the
νεκροὺς ἀνείλοντο, καὶ ἀποπλεύσαντες πρὸς τὴν πόλιν
dead took-up and having-sailed-back to the city
τροπαῖον ἔστησαν,
trophy set-up

72.2 οἱ δ' Ἀθηναῖοι ὑπὸ μεγέθους τῶν παρόντων κακῶν
the and Athenians by size of-the present evils
νεκρῶν μὲν πέρι ἢ ναυαγίων οὐδὲ ἐπενόουν αἰτῆσαι
of-dead indeed about or of-wrecks not-even thought to-ask
ἀναίρεσιν, τῆς δὲ νυκτὸς ἐβουλεύοντο εὐθὺς ἀναχωρεῖν.
recovery in-the but night they-were-deliberating at-once to-retreat

72.3 Δημοσθένης δὲ Νικίᾳ προσελθὼν γνώμην ἐποιεῖτο
Demosthenes and to-Nicias having-come opinion made
πληρώσαντας ἔτι τὰς λοιπὰς τῶν νεῶν βιάσασθαι, ἢν
having-manned still the remaining of-the ships to-force if
δύνωνται, ἅμα ἕῳ τὸν ἔκπλουν, λέγων ὅτι πλείους

ἔτι αἱ λοιπαί εἰσι νῆες χρήσιμαι σφίσιν ἢ τοῖς πολεμίοις·
still the remaining are ships useful for-them than for-the enemies
ἦσαν γὰρ τοῖς μὲν Ἀθηναίοις περίλοιποι ὡς ἑξήκοντα,
were for to-the indeed Athenians left about sixty
τοῖς δ' ἐναντίοις ἐλάσσους ἢ πεντήκοντα.
to-the and opponents fewer than fifty
καὶ ξυγχωροῦντος Νικίου τῇ γνώμῃ καὶ βουλομένων 72.4
and agreeing Nicias with-the opinion and wishing
πληροῦν αὐτῶν οἱ ναῦται οὐκ ἤθελον ἐσβαίνειν διὰ τὸ
to-man them the sailors not were-willing to-embark because-of the
καταπεπλῆχθαί τε τῇ ἥσσῃ καὶ μὴ ἂν ἔτι οἴεσθαι
to-have-been-dismayed both by-the defeat and not — any-longer to-think
κρατῆσαι.
to-prevail
καὶ οἱ μὲν ὡς κατὰ γῆν ἀναχωρήσοντες ἤδη ξύμπαντες 73.1
and they indeed as by land going-to-retreat already all
τὴν γνώμην εἶχον, Ἑρμοκράτης δὲ ὁ Συρακόσιος ὑπονοήσας
the mind had Hermocrates and the Syracusan having-suspected
αὐτῶν τὴν διάνοιαν καὶ νομίσας δεινὸν εἶναι εἰ τοσαύτη
of-them the plan and having-thought terrible to-be if so-great
στρατιὰ κατὰ γῆν ὑποχωρήσασα καὶ καθεζομένη ποι τῆς
army by land having-withdrawn and having-settled somewhere —
Σικελίας βουλήσεται αὖθις σφίσι τὸν πόλεμον ποιεῖσθαι,
of-Sicily will-wish again against-them the war to-make
ἐσηγεῖται ἐλθὼν τοῖς ἐν τέλει οὖσιν ὡς οὐ χρεὼν
proposes having-gone to-the-ones in office being that not necessary
ἀποχωρῆσαι τῆς νυκτὸς αὐτοὺς περιδεῖν, λέγων ταῦτα ἃ
to-retreat in-the night them to-allow saying these-things which
καὶ αὐτῷ ἐδόκει, ἀλλὰ ἐξελθόντας ἤδη πάντας Συρακοσίους
also to-him seemed but having-gone-out already all Syracusans

καὶ τοὺς ξυμμάχους τάς τε ὁδοὺς ἀποικοδομῆσαι καὶ τὰ
and the allies the both roads to-wall-off and the
στενόπορα τῶν χωρίων προδιαλαβόντας φυλάσσειν.
narrow-passes of-the places having-occupied-beforehand to-guard

73.2 οἱ δὲ ξυνεγίγνωσκον μὲν καὶ αὐτοὶ οὐχ ἧσσον ταῦτα
they and agreed indeed also themselves not less these-things
ἐκείνου, καὶ ἐδόκει ποιητέα εἶναι, τοὺς δὲ ἀνθρώπους
than-that-man and it-seemed must-be-done to-be the and men
ἄρτι ἀσμένους ἀπὸ ναυμαχίας τε μεγάλης ἀναπεπαυμένους
just glad from sea-battle both great having-rested
καὶ ἅμα ἑορτῆς οὔσης (ἔτυχε γὰρ αὐτοῖς Ἡρακλεῖ
and at-the-same-time festival being it-happened for for-them to-Heracles
ταύτην τὴν ἡμέραν θυσία οὖσα) οὐ δοκεῖν ἂν ῥᾳδίως
this the day sacrifice being not to-seem — easily
ἐθελῆσαι ὑπακοῦσαι· ὑπὸ γὰρ τοῦ περιχαροῦς τῆς νίκης
to-be-willing to-obey by for the exultation of-the victory
πρὸς πόσιν τετράφθαι τοὺς πολλοὺς ἐν τῇ ἑορτῇ, καὶ
to drinking to-have-turned the many in the festival and
πάντα μᾶλλον ἐλπίζειν ἂν σφῶν πείθεσθαι αὐτοὺς ἢ
anything rather to-expect — them to-obey them than
ὅπλα λαβόντας ἐν τῷ παρόντι ἐξελθεῖν.
arms having-taken in the present to-go-out

73.3 ὡς δὲ τοῖς ἄρχουσι ταῦτα λογιζομένοις ἐφαίνετο ἄπορα
when and to-the rulers these-things considering appeared impracticable
καὶ οὐκέτι ἔπειθεν αὐτοὺς ὁ Ἑρμοκράτης, αὐτὸς ἐπὶ τούτοις
and no-longer persuaded them — Hermocrates himself on these
τάδε μηχανᾶται, δεδιὼς μὴ οἱ Ἀθηναῖοι καθ' ἡσυχίαν
the-following devises fearing lest the Athenians at leisure
προφθάσωσιν ἐν τῇ νυκτὶ διελθόντες τὰ χαλεπώτατα τῶν
should-get-ahead in the night having-passed-through the most-difficult of-the
χωρίων. πέμπει τῶν ἑταίρων τινὰς τῶν ἑαυτοῦ μετὰ ἱππέων
places sends of-the companions some of-the his-own with cavalry

πρὸς τὸ τῶν Ἀθηναίων στρατόπεδον, ἡνίκα ξυνεσκόταζεν·
to the of-the Athenians camp when it-was-getting-dark
οἳ προσελάσαντες ἐξ ὅσου τις ἔμελλεν ἀκούσεσθαι καὶ
who having-ridden-up from as-far-as anyone was-likely to-hear and
ἀνακαλεσάμενοί τινας ὡς ὄντες τῶν Ἀθηναίων ἐπιτήδειοι
having-called-out some as being of-the Athenians friends
(ἦσαν γάρ τινες τῷ Νικίᾳ διάγγελοι τῶν ἔνδοθεν)
were for some — to-Nicias informers of-the-ones inside
ἐκέλευον φράζειν Νικίᾳ μὴ ἀπάγειν τῆς νυκτὸς τὸ
they-ordered to-tell to-Nicias not to-lead-away in-the night the
στράτευμα ὡς Συρακοσίων τὰς ὁδοὺς φυλασσόντων, ἀλλὰ
army as Syracusans the roads guarding but
καθ' ἡσυχίαν τῆς ἡμέρας παρασκευασάμενον ἀποχωρεῖν.
at leisure by-the day having-prepared to-withdraw
καὶ οἱ μὲν εἰπόντες ἀπῆλθον, καὶ οἱ ἀκούσαντες 73.4
and the-ones indeed having-spoken went-away and the having-heard
διήγγειλαν τοῖς στρατηγοῖς τῶν Ἀθηναίων·
reported to-the generals of-the Athenians
οἱ δὲ πρὸς τὸ ἄγγελμα ἐπέσχον τὴν νύκτα, νομίσαντες 74.1
they and at the message held-off the night having-thought
οὐκ ἀπάτην εἶναι. καὶ ἐπειδὴ καὶ ὡς οὐκ εὐθὺς ὥρμησαν,
not deception to-be and since also so not at-once they-set-out
ἔδοξεν αὐτοῖς καὶ τὴν ἐπιοῦσαν ἡμέραν περιμεῖναι,
it-seemed-good to-them also the coming day to-wait
ὅπως ξυσκευάσαιντο ὡς ἐκ τῶν δυνατῶν οἱ στρατιῶται
so-that might-pack-up as from the possible the soldiers
ὅτι χρησιμώτατα, καὶ τὰ μὲν ἄλλα πάντα καταλιπεῖν,
as most-usefully and the indeed other-things all to-leave-behind
ἀναλαβόντες δὲ αὐτὰ ὅσα περὶ τὸ σῶμα ἐς δίαιταν
having-taken-up and just-those as-many-as for the body for living
ὑπῆρχεν ἐπιτήδεια ἀφορμᾶσθαι.
existed suitable to-set-out

74.2 Συρακόσιοι δὲ καὶ Γύλιππος τῷ μὲν πεζῷ προεξελθόντες
Syracusans and and Gylippus with-the indeed infantry having-gone-out-first
τάς τε ὁδοὺς τὰς κατὰ τὴν χώραν, ᾗ εἰκὸς ἦν
the both roads the through the country where likely it-was
τοὺς Ἀθηναίους ἰέναι, ἀπεφάργνυσαν καὶ τῶν ῥείθρων
the Athenians to-go blocked and of-the streams
καὶ ποταμῶν τὰς διαβάσεις ἐφύλασσον καὶ ἐς ὑποδοχὴν
and rivers the crossings guarded and for reception
τοῦ στρατεύματος ὡς κωλύσοντες ᾗ ἐδόκει ἐτάσσοντο·
of-the army as going-to-prevent where it-seemed drew-up
ταῖς δὲ ναυσὶ προσπλεύσαντες τὰς ναῦς τῶν Ἀθηναίων
with-the and ships having-sailed-up the ships of-the Athenians
ἀπὸ τοῦ αἰγιαλοῦ ἀφεῖλκον (ἐνέπρησαν δέ τινας ὀλίγας,
from the beach dragged-off they-burned and some few
ὥσπερ διενοήθησαν, αὐτοὶ οἱ Ἀθηναῖοι), τὰς δ' ἄλλας
as had-intended themselves the Athenians the and others
καθ' ἡσυχίαν οὐδενὸς κωλύοντος ὡς ἑκάστην ποι
at leisure no-one preventing as each somewhere
ἐκπεπτωκυῖαν ἀναδησάμενοι ἐκόμιζον ἐς τὴν πόλιν.
having-been-driven-ashore having-tied brought to the city

XVI · THE RETREAT BEGINS

On the third day after the battle the Athenians set out. The sight is pitiable: the dead lie unburied, the sick and wounded beg not to be left and cling to their friends, and the army, some forty thousand, leaves in shame and grief like a city fleeing a siege. Nicias goes through the ranks and encourages them. They must not despair, he says. He himself, though ill and once fortunate, shares their danger, and their misfortunes may now win the gods' pity. They are enough to form a city wherever they settle, and they must march in good order, since men make a city, not walls or empty ships.

μετὰ δὲ τοῦτο, ἐπειδὴ ἐδόκει τῷ Νικίᾳ καὶ τῷ Δημοσθένει 75.1
after and this when it-seemed — to-Nicias and — to-Demosthenes
ἱκανῶς παρεσκευάσθαι, καὶ ἡ ἀνάστασις ἤδη τοῦ
sufficiently to-have-been-prepared and the departure already of-the
στρατεύματος τρίτῃ ἡμέρᾳ ἀπὸ τῆς ναυμαχίας ἐγίγνετο.
army on-the-third day from the sea-battle took-place
δεινὸν οὖν ἦν οὐ καθ' ἓν μόνον τῶν πραγμάτων, ὅτι 75.2
terrible then it-was not in one only of-the affairs that
τάς τε ναῦς ἀπολωλεκότες πάσας ἀπεχώρουν καὶ ἀντὶ
the both ships having-lost all they-were-departing and instead-of
μεγάλης ἐλπίδος καὶ αὐτοὶ καὶ ἡ πόλις κινδυνεύοντες,
great hope both themselves and the city being-in-danger
ἀλλὰ καὶ ἐν τῇ ἀπολείψει τοῦ στρατοπέδου ξυνέβαινε τῇ
but also in the abandonment of-the camp it-happened with-the
τε ὄψει ἑκάστῳ ἀλγεινὰ καὶ τῇ γνώμῃ αἰσθέσθαι.
both sight for-each painful-things and with-the mind to-perceive
τῶν τε γὰρ νεκρῶν ἀτάφων ὄντων, ὁπότε τις ἴδοι 75.3
of-the both for dead unburied being whenever anyone saw
τινὰ τῶν ἐπιτηδείων κείμενον, ἐς λύπην μετὰ φόβου
some of-the friends lying into grief with fear
καθίστατο, καὶ οἱ ζῶντες καταλειπόμενοι τραυματίαι τε
he-fell and the living being-left-behind wounded both

καὶ ἀσθενεῖς πολὺ τῶν τεθνεώτων τοῖς ζῶσι λυπηρότεροι
and sick much than-the dead to-the living more-painful
ἦσαν καὶ τῶν ἀπολωλότων ἀθλιώτεροι.
were and than-the having-perished more-wretched
75.4 πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι ἐς
to for entreaty and lamentation having-turned into
ἀπορίαν καθίστασαν, ἄγειν τε σφᾶς ἀξιοῦντες καὶ ἕνα
perplexity they-put to-lead both them claiming and one
ἕκαστον ἐπιβοώμενοι, εἴ τινά πού τις ἴδοι ἢ
each calling-on if someone somewhere anyone saw either
ἑταίρων ἢ οἰκείων, τῶν τε ξυσκήνων ἤδη ἀπιόντων
of-comrades or of-relatives of-the both tent-mates already departing
ἐκκρεμαννύμενοι καὶ ἐπακολουθοῦντες ἐς ὅσον δύναιντο,
hanging-on and following to as-far-as they-could
εἴ τῳ δὲ προλίποι ἡ ῥώμη καὶ τὸ σῶμα, οὐκ ἄνευ
if for-anyone and should-fail the strength and the body not without
ὀλίγων ἐπιθειασμῶν καὶ οἰμωγῆς ὑπολειπόμενοι, ὥστε
few invocations-of-gods and wailing being-left-behind so-that
δάκρυσι πᾶν τὸ στράτευμα πλησθὲν καὶ ἀπορίᾳ τοιαύτῃ
with-tears all the army filled and with-perplexity such
μὴ ῥᾳδίως ἀφορμᾶσθαι, καίπερ ἐκ πολεμίας τε καὶ
not easily to-set-out although from hostile(-land) both and
μείζω ἢ κατὰ δάκρυα τὰ μὲν πεπονθότας ἤδη,
greater than in-proportion-to tears partly indeed having-suffered already
τὰ δὲ περὶ τῶν ἐν ἀφανεῖ δεδιότας μὴ πάθωσιν.
partly and about the-things in uncertainty fearing lest they-should-suffer
75.5 κατήφειά τέ τις ἅμα καὶ κατάμεμψις σφῶν αὐτῶν
dejection both a-certain at-the-same-time and self-reproach of-them selves
πολλὴ ἦν. οὐδὲν γὰρ ἄλλο ἢ πόλει ἐκπεπολιορκημένῃ
great was nothing for other than to-a-city starved-out
ἐῴκεσαν ὑποφευγούσῃ, καὶ ταύτῃ οὐ σμικρᾷ· μυριάδες γὰρ
they-resembled escaping and this not small ten-thousands for

τοῦ ξύμπαντος ὄχλου οὐκ ἐλάσσους τεσσάρων ἅμα
of-the whole crowd not fewer than-four at-the-same-time
ἐπορεύοντο. καὶ τούτων οἵ τε ἄλλοι πάντες ἔφερον ὅτι
marched and of-these the both others all carried what
τις ἐδύνατο ἕκαστος χρήσιμον, καὶ οἱ ὁπλῖται καὶ οἱ
anyone could each useful and the hoplites and the
ἱππῆς παρὰ τὸ εἰωθὸς αὐτοὶ τὰ σφέτερα αὐτῶν
cavalry contrary-to the custom themselves the their-own of-themselves
σιτία ὑπὸ τοῖς ὅπλοις, οἱ μὲν ἀπορίᾳ ἀκολούθων,
provisions under the arms the-ones indeed through-lack of-attendants
οἱ δὲ ἀπιστίᾳ· ἀπηυτομολήκεσαν γὰρ πάλαι τε καὶ
the-others and through-distrust they-had-deserted for long-ago both and
οἱ πλεῖστοι παραχρῆμα. ἔφερον δὲ οὐδὲ ταῦτα ἱκανά·
the most at-once they-carried but not-even these-things sufficient
σῖτος γὰρ οὐκέτι ἦν ἐν τῷ στρατοπέδῳ.
grain for no-longer was in the camp
καὶ μὴν ἡ ἄλλη αἰκία καὶ ἡ ἰσομοιρία τῶν κακῶν, 75.6
and indeed the other misery and the equal-share of-the evils
ἔχουσά τινα ὅμως τὸ μετὰ πολλῶν κούφισιν, οὐδ'
having some nevertheless the with many lightening not-even
ὡς ῥᾳδία ἐν τῷ παρόντι ἐδοξάζετο, ἄλλως τε καὶ ἀπὸ
so easy in the present was-thought otherwise both and from
οἵας λαμπρότητος καὶ αὐχήματος τοῦ πρώτου ἐς
what-kind-of splendor and boasting the first to
οἵαν τελευτὴν καὶ ταπεινότητα ἀφῖκτο.
what-kind-of end and humiliation it-had-come
μέγιστον γὰρ δὴ τὸ διάφορον τοῦτο Ἑλληνικῷ 75.7
greatest for indeed the reversal this for-a-Greek
στρατεύματι ἐγένετο, οἷς ἀντὶ μὲν τοῦ ἄλλους
army happened to-whom instead-of indeed the others
δουλωσομένους ἥκειν αὐτοὺς τοῦτο μᾶλλον δεδιότας
going-to-enslave to-have-come themselves this rather fearing

μὴ πάθωσι ξυνέβη ἀπιέναι, ἀντὶ δ' εὐχῆς τε καὶ
lest they-should-suffer it-happened to-depart instead-of and prayer both and
παιάνων, μεθ' ὧν ἐξέπλεον, πάλιν τούτων τοῖς ἐναντίοις
paeans with which they-sailed-out back of-these with-the opposite
ἐπιφημίσμασιν ἀφορμᾶσθαι, πεζούς τε ἀντὶ ναυβατῶν
curses to-set-out on-foot both instead-of seamen
πορευομένους καὶ ὁπλιτικῷ προσέχοντας μᾶλλον ἢ
marching and to-hoplite(-force) attending rather than
ναυτικῷ. ὅμως δὲ ὑπὸ μεγέθους τοῦ ἐπικρεμαμένου ἔτι
to-naval nevertheless but by greatness of-the impending still
κινδύνου πάντα ταῦτα αὐτοῖς οἰστὰ ἐφαίνετο.
danger all these-things to-them bearable appeared

76.1 ὁρῶν δὲ ὁ Νικίας τὸ στράτευμα ἀθυμοῦν καὶ ἐν
seeing and — Nicias the army despondent and in
μεγάλῃ μεταβολῇ ὄν, ἐπιπαριὼν ὡς ἐκ τῶν ὑπαρχόντων
great change being going-along as from the existing
ἐθάρσυνέ τε καὶ παρεμυθεῖτο, βοῇ τε χρώμενος ἔτι
encouraged both and consoled with-shouting both using still
μᾶλλον ἑκάστοις καθ' οὓς γίγνοιτο ὑπὸ προθυμίας καὶ
more to-each by whom he-came through zeal and
βουλόμενος ὡς ἐπὶ πλεῖστον γεγωνίσκων ὠφελεῖν τι.
wishing as to most(-extent) shouting to-benefit somewhat

77.1 'Καὶ ἐκ τῶν παρόντων, ὦ Ἀθηναῖοι καὶ ξύμμαχοι, ἐλπίδα
and from the present O Athenians and allies hope
χρὴ ἔχειν (ἤδη τινὲς καὶ ἐκ δεινοτέρων ἢ τοιῶνδε
it-is-necessary to-have already some also from more-terrible than such
ἐσώθησαν), μηδὲ καταμέμφεσθαι ὑμᾶς ἄγαν αὐτοὺς μήτε
were-saved nor to-reproach you too-much selves neither
ταῖς ξυμφοραῖς μήτε ταῖς παρὰ τὴν ἀξίαν νῦν κακοπαθίαις.
for-the misfortunes nor for-the beyond the desert now sufferings

κἀγώ τοι οὐδενὸς ὑμῶν οὔτε ῥώμῃ προφέρων (ἀλλ' 77.2
and-I surely than-no-one of-you neither in-strength excelling but
ὁρᾶτε δὴ ὡς διάκειμαι ὑπὸ τῆς νόσου) οὔτ' εὐτυχίᾳ
you-see indeed how I-am-disposed by the disease nor in-good-fortune
δοκῶν που ὕστερός του εἶναι κατά τε τὸν ἴδιον
seeming somewhere inferior to-anyone to-be in both the private
βίον καὶ ἐς τὰ ἄλλα, νῦν ἐν τῷ αὐτῷ κινδύνῳ τοῖς
life and in the other-things now in the same danger with-the
φαυλοτάτοις αἰωροῦμαι· καίτοι πολλὰ μὲν ἐς θεοὺς
meanest am-suspended and-yet many indeed toward gods
νόμιμα δεδιήτημαι, πολλὰ δὲ ἐς ἀνθρώπους δίκαια
customary-things I-have-lived many and toward men just-things
καὶ ἀνεπίφθονα.
and blameless
ἀνθ' ὧν ἡ μὲν ἐλπὶς ὅμως θρασεῖα τοῦ μέλλοντος, 77.3
in-return-for which the indeed hope nevertheless bold of-the future
αἱ δὲ ξυμφοραὶ οὐ κατ' ἀξίαν δὴ φοβοῦσιν. τάχα
the and misfortunes not according-to desert indeed frighten perhaps
δὲ ἂν καὶ λωφήσειαν· ἱκανὰ γὰρ τοῖς τε πολεμίοις
and — also they-might-abate sufficient for to-the both enemies
ηὐτύχηται, καὶ εἴ τῳ θεῶν ἐπίφθονοι ἐστρατεύσαμεν,
has-been-fortunate and if to-any of-gods hateful we-campaigned
ἀποχρώντως ἤδη τετιμωρήμεθα.
sufficiently already we-have-been-punished
ἦλθον γάρ που καὶ ἄλλοι τινὲς ἤδη ἐφ' ἑτέρους, καὶ 77.4
went for somewhere also others some already against others and
ἀνθρώπεια δράσαντες ἀνεκτὰ ἔπαθον. καὶ ἡμᾶς εἰκὸς νῦν
human-things having-done bearable-things suffered and us likely now
τά τε ἀπὸ τοῦ θεοῦ ἐλπίζειν ἠπιώτερα ἔξειν (οἴκτου
the-things both from the god to-hope milder to-have of-pity
γὰρ ἀπ' αὐτῶν ἀξιώτεροι ἤδη ἐσμὲν ἢ φθόνου), καὶ
for from them more-worthy now we-are than of-envy and

ὁρῶντες ὑμᾶς αὐτοὺς οἵοι ὁπλῖται ἅμα καὶ ὅσοι
seeing you selves what-sort hoplites at-the-same-time and how-many
ξυντεταγμένοι χωρεῖτε μὴ καταπέπληχθε ἄγαν, λογίζεσθε
in-formation you-advance not be-dismayed too-much consider
δὲ ὅτι αὐτοί τε πόλις εὐθὺς ἐστε ὅποι ἂν καθέζησθε καὶ
and that yourselves both a-city at-once you-are wherever — you-settle and
ἄλλη οὐδεμία ὑμᾶς τῶν ἐν Σικελίᾳ οὔτ' ἂν ἐπιόντας
other none you of-the-ones in Sicily neither — attacking
δέξαιτο ῥᾳδίως οὔτ' ἂν ἱδρυθέντας που ἐξαναστήσειεν.
would-receive easily nor — having-settled somewhere would-dislodge
77.5 τὴν δὲ πορείαν ὥστ' ἀσφαλῆ καὶ εὔτακτον εἶναι αὐτοὶ
the and march so-that safe and orderly to-be yourselves
φυλάξατε, μὴ ἄλλο τι ἡγησάμενος ἕκαστος ἢ ἐν ᾧ
guard not other anything having-considered each than in which
ἂν ἀναγκασθῇ χωρίῳ μάχεσθαι, τοῦτο καὶ πατρίδα καὶ
— be-may-be-compelled place to-fight this also fatherland and
τεῖχος κρατήσας ἕξειν.
wall having-prevailed to-have
77.6 σπουδὴ δὲ ὁμοίως καὶ νύκτα καὶ ἡμέραν ἔσται τῆς ὁδοῦ·
haste and alike both night and day will-be of-the road
τὰ γὰρ ἐπιτήδεια βραχέα ἔχομεν, καὶ ἢν ἀντιλαβώμεθά
the for supplies short we-have and if we-reach
του φιλίου χωρίου τῶν Σικελῶν (οὗτοι γὰρ ἡμῖν διὰ
some friendly place of-the Sicels these for to-us because-of
τὸ Συρακοσίων δέος ἔτι βέβαιοι εἰσίν), ἤδη νομίζετε
the of-Syracusans fear still firm are already consider
ἐν τῷ ἐχυρῷ εἶναι. προπέπεμπται δ' ὡς αὐτούς, καὶ
in the secure(-place) to-be it-has-been-sent-ahead and to them also
ἀπαντᾶν εἰρημένον καὶ σιτία ἄλλα κομίζειν.
to-meet having-been-told and provisions other to-bring

Τό τε ξύμπαν γνῶτε, ὦ ἄνδρες στρατιῶται, ἀναγκαῖόν 77.7
the and whole know O men soldiers necessary
τε ὂν ὑμῖν ἀνδράσιν ἀγαθοῖς γίγνεσθαι ὡς μὴ ὄντος
both being for-you men good to-become as not being
χωρίου ἐγγὺς ὅποι ἂν μαλακισθέντες σωθείητε καί,
place near where — having-played-the-coward you-might-be-saved and
ἢν νῦν διαφύγητε τοὺς πολεμίους, οἵ τε ἄλλοι τευξόμενοι
if now you-escape the enemy the both others going-to-obtain
ὧν ἐπιθυμεῖτέ που ἐπιδεῖν καὶ οἱ Ἀθηναῖοι τὴν μεγάλην
what you-long perhaps to-see and the Athenians the great
δύναμιν τῆς πόλεως καίπερ πεπτωκυῖαν ἐπανορθώσοντες·
power of-the city although fallen going-to-restore
ἄνδρες γὰρ πόλις, καὶ οὐ τείχη οὐδὲ νῆες ἀνδρῶν κεναί.'
men for city and not walls nor ships of-men empty

XVII · THE SURRENDER OF DEMOSTHENES

The army marches in a hollow square, Nicias leading and Demosthenes in the rear. They cross the Anapus, but the Syracusans block the pass at the Acraean cliff, and after days of attacks from the cavalry and javelin-men the Athenians turn by night toward the sea. Nicias' division gets well ahead, while Demosthenes' falls behind in confusion. It is surrounded in a walled olive grove with a road on either side and pelted from all sides. It surrenders on terms that no man be put to death, and six thousand men give up their arms and money. Nicias crosses the Erineus and halts on high ground.

ὁ μὲν Νικίας τοιάδε παρακελευόμενος ἅμα ἐπῄει 78.1
— indeed Nicias such-things exhorting at-the-same-time went-along
τὸ στράτευμα, καὶ εἴ πῃ ὁρῴη διεσπασμένον καὶ
the army and if anywhere he-saw scattered and
μὴ ἐν τάξει χωροῦν ξυνάγων καὶ καθιστάς, καὶ ὁ
not in order advancing bringing-together and setting(-in-order) and —

Δημοσθένης οὐδὲν ἧσσον τοῖς καθ' ἑαυτὸν τοιαῦτά τε
Demosthenes nothing less to-the-ones by himself such-things both
καὶ παραπλήσια λέγων.
and similar-things saying

78.2 τὸ δὲ ἐχώρει ἐν πλαισίῳ τεταγμένον, πρῶτον μὲν
it and advanced in hollow-square drawn-up first indeed
ἡγούμενον τὸ Νικίου, ἐφεπόμενον δὲ τὸ
leading the(-division) of-Nicias following and the(-division)
Δημοσθένους· τοὺς δὲ σκευοφόρους καὶ τὸν πλεῖστον
of-Demosthenes the and baggage-carriers and the greatest
ὄχλον ἐντὸς εἶχον οἱ ὁπλῖται.
crowd inside held the hoplites

78.3 καὶ ἐπειδὴ ἐγένοντο ἐπὶ τῇ διαβάσει τοῦ Ἀνάπου ποταμοῦ,
and when they-came to the crossing — Anapus river
ηὗρον ἐπ' αὐτῷ παρατεταγμένους τῶν Συρακοσίων
they-found at it drawn-up of-the Syracusans
καὶ ξυμμάχων, καὶ τρεψάμενοι αὐτοὺς καὶ κρατήσαντες
and allies and having-routed them and having-mastered
τοῦ πόρου ἐχώρουν ἐς τὸ πρόσθεν· οἱ δὲ Συρακόσιοι
the ford advanced to the front the and Syracusans
παριππεύοντές τε προσέκειντο καὶ ἐσακοντίζοντες οἱ ψιλοί.
riding-alongside both pressed and hurling-javelins the light-troops

78.4 καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ προελθόντες σταδίους ὡς
and in-this indeed the day having-advanced stades about
τεσσαράκοντα ηὐλίσαντο πρὸς λόφῳ τινὶ οἱ Ἀθηναῖοι·
forty bivouacked by hill a-certain the Athenians
τῇ δ' ὑστεραίᾳ πρὼ ἐπορεύοντο καὶ προῆλθον ὡς εἴκοσι
on-the and next-day early marched and advanced about twenty
σταδίους, καὶ κατέβησαν ἐς χωρίον ἄπεδόν τι καὶ
stades and went-down into place level a-certain and
αὐτοῦ ἐστρατοπεδεύσαντο, βουλόμενοι ἔκ τε τῶν οἰκιῶν
there encamped wishing from both the houses

λαβεῖν τι ἐδώδιμον (ᾠκεῖτο γὰρ ὁ χῶρος) καὶ ὕδωρ
to-take something edible was-inhabited for the place and water
μετὰ σφῶν αὐτῶν φέρεσθαι αὐτόθεν· ἐν γὰρ τῷ πρόσθεν
with them selves to-carry from-there in for the before(-them)
ἐπὶ πολλὰ στάδια, ᾗ ἔμελλον ἰέναι, οὐκ ἄφθονον ἦν.
for many stades where they-were-about to-go not abundant was
οἱ δὲ Συρακόσιοι ἐν τούτῳ προελθόντες τὴν δίοδον τὴν ἐν τῷ 78.5
the and Syracusans in this having-advanced the passage the in the
πρόσθεν ἀπετείχιζον· ἦν δὲ λόφος καρτερὸς καὶ ἑκατέρωθεν
front walled-off was and hill strong and on-both-sides
αὐτοῦ χαράδρα κρημνώδης, ἐκαλεῖτο δὲ Ἀκραῖον λέπας.
of-it ravine precipitous was-called and Acraean cliff
τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι προῆσαν, καὶ οἱ τῶν 78.6
on-the and next-day the Athenians advanced and the of-the
Συρακοσίων καὶ ξυμμάχων αὐτοὺς ἱππῆς καὶ ἀκοντισταὶ
Syracusans and allies them cavalry and javelin-men
ὄντες πολλοὶ ἑκατέρωθεν ἐκώλυον καὶ ἐσηκόντιζόν τε καὶ
being many on-both-sides hindered and hurled-javelins both and
παρίππευον. καὶ χρόνον μὲν πολὺν ἐμάχοντο οἱ Ἀθηναῖοι,
rode-alongside and time indeed long fought the Athenians
ἔπειτα ἀνεχώρησαν πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον. καὶ τὰ
then withdrew back to the same camp and the
ἐπιτήδεια οὐκέτι ὁμοίως εἶχον· οὐ γὰρ ἔτι ἀποχωρεῖν
supplies no-longer similarly had not for any-longer to-go-out
οἷόν τ' ἦν ὑπὸ τῶν ἱππέων.
possible — was by the cavalry
πρῲ δὲ ἄραντες ἐπορεύοντο αὖθις, καὶ ἐβιάσαντο πρὸς 79.1
early and having-set-out marched again and forced toward
τὸν λόφον ἐλθεῖν τὸν ἀποτετειχισμένον, καὶ ηὗρον πρὸ
the hill to-come the walled-off and found before
ἑαυτῶν ὑπὲρ τοῦ ἀποτειχίσματος τὴν πεζὴν στρατιὰν
themselves above the wall the infantry army

παρατεταγμένην οὐκ ἐπ᾽ ὀλίγων ἀσπίδων· στενὸν γὰρ ἦν
drawn-up not on few shields narrow for was
τὸ χωρίον.
the place

79.2 καὶ προσβαλόντες οἱ Ἀθηναῖοι ἐτειχομάχουν, καὶ βαλλόμενοι
and having-attacked the Athenians assaulted-the-wall and being-pelted
ὑπὸ πολλῶν ἀπὸ τοῦ λόφου ἐπάντους ὄντος (διικνοῦντο
by many from the hill steep being reached(-them)
γὰρ ῥᾷον οἱ ἄνωθεν) καὶ οὐ δυνάμενοι βιάσασθαι
for more-easily the-ones from-above and not being-able to-force
ἀνεχώρουν πάλιν καὶ ἀνεπαύοντο.
withdrew back and rested

79.3 ἔτυχον δὲ καὶ βρονταί τινες ἅμα γενόμεναι καὶ ὕδωρ,
happened and also thunders some at-the-same-time occurring and rain
οἷα τοῦ ἔτους πρὸς μετόπωρον ἤδη ὄντος φιλεῖ γίγνεσθαι·
such-as of-the year toward autumn already being is-wont to-happen
ἀφ᾽ ὧν οἱ Ἀθηναῖοι μᾶλλον ἔτι ἠθύμουν καὶ ἐνόμιζον
from which the Athenians more still were-despondent and thought
ἐπὶ τῷ σφετέρῳ ὀλέθρῳ καὶ ταῦτα πάντα γίγνεσθαι.
for the their-own destruction also these-things all to-happen

79.4 ἀναπαυομένων δ᾽ αὐτῶν ὁ Γύλιππος καὶ οἱ Συρακόσιοι
resting and them — Gylippus and the Syracusans
πέμπουσι μέρος τι τῆς στρατιᾶς ἀποτειχιοῦντας αὖ ἐκ
send part some of-the army going-to-wall-off again from
τοῦ ὄπισθεν αὐτοὺς ᾗ προεληλύθεσαν· ἀντιπέμψαντες
the behind them where they-had-advanced having-sent-in-turn
δὲ κἀκεῖνοι σφῶν αὐτῶν τινὰς διεκώλυσαν.
but and-those of-them selves some prevented

79.5 καὶ μετὰ ταῦτα πάσῃ τῇ στρατιᾷ ἀναχωρήσαντες
and after these-things with-all the army having-withdrawn
πρὸς τὸ πεδίον μᾶλλον οἱ Ἀθηναῖοι ηὐλίσαντο. τῇ δ᾽
toward the plain more the Athenians bivouacked on-the and

ὑστεραίᾳ προυχώρουν, καὶ οἱ Συρακόσιοι προσέβαλλόν τε
next-day advanced and the Syracusans attacked both
πανταχῇ αὐτοῖς κύκλῳ καὶ πολλοὺς κατετραυμάτιζον, καὶ
everywhere them in-a-circle and many wounded and
εἰ μὲν ἐπίοιεν οἱ Ἀθηναῖοι, ὑπεχώρουν, εἰ δ' ἀναχωροῖεν,
if indeed attacked the Athenians they-retired if and they-withdrew
ἐπέκειντο, καὶ μάλιστα τοῖς ὑστάτοις προσπίπτοντες, εἴ
they-pressed and most on-the last falling-upon if
πως κατὰ βραχὺ τρεψάμενοι πᾶν τὸ στράτευμα φοβήσειαν.
somehow by little having-routed all the army they-might-panic
καὶ ἐπὶ πολὺ μὲν τοιούτῳ τρόπῳ ἀντεῖχον οἱ Ἀθηναῖοι, 79.6
and for long indeed in-such way held-out the Athenians
ἔπειτα προελθόντες πέντε ἢ ἓξ σταδίους ἀνεπαύοντο ἐν
then having-advanced five or six stades rested in
τῷ πεδίῳ· ἀνεχώρησαν δὲ καὶ οἱ Συρακόσιοι ἀπ' αὐτῶν
the plain withdrew and also the Syracusans from them
ἐς τὸ ἑαυτῶν στρατόπεδον.
to the their-own camp
τῆς δὲ νυκτὸς τῷ Νικίᾳ καὶ Δημοσθένει ἐδόκει, ἐπειδὴ 80.1
in-the and night — to-Nicias and to-Demosthenes it-seemed-good since
κακῶς σφίσι τὸ στράτευμα εἶχε τῶν τε ἐπιτηδείων
badly for-them the army was of-the both supplies
πάντων ἀπορίᾳ ἤδη, καὶ κατατετραυματισμένοι ἦσαν
all by-lack already and wounded were
πολλοὶ ἐν πολλαῖς προσβολαῖς τῶν πολεμίων γεγενημέναις,
many in many attacks of-the enemies having-happened
πυρὰ καύσαντας ὡς πλεῖστα ἀπάγειν τὴν στρατιάν,
fires having-lit as most to-lead-away the army
μηκέτι τὴν αὐτὴν ὁδὸν ᾗπερ διενοήθησαν, ἀλλὰ τοὐναντίον
no-longer the same road where they-had-intended but the-opposite
ἢ οἱ Συρακόσιοι ἐτήρουν, πρὸς τὴν θάλασσαν.
than the Syracusans were-watching toward the sea

80.2 ἦν δὲ ἡ ξύμπασα ὁδὸς αὕτη οὐκ ἐπὶ Κατάνης τῷ
was and the whole road this not toward Catana for-the
στρατεύματι, ἀλλὰ κατὰ τὸ ἕτερον μέρος τῆς Σικελίας
army but toward the other part — of-Sicily
τὸ πρὸς Καμάριναν καὶ Γέλαν καὶ τὰς ταύτῃ πόλεις καὶ
the toward Camarina and Gela and the there cities both
Ἑλληνίδας καὶ βαρβάρους.
Greek and barbarian

80.3 καύσαντες οὖν πυρὰ πολλὰ ἐχώρουν ἐν τῇ νυκτί. καὶ
having-lit then fires many they-advanced in the night and
αὐτοῖς, οἷον φιλεῖ καὶ πᾶσι στρατοπέδοις, μάλιστα δὲ
to-them as is-wont also to-all armies most and
τοῖς μεγίστοις, φόβοι καὶ δείματα ἐγγίγνεσθαι, ἄλλως τε
to-the greatest fears and terrors to-arise otherwise both
καὶ ἐν νυκτί τε καὶ διὰ πολεμίας καὶ ἀπὸ πολεμίων
and in night both and through hostile(-land) and from enemies
οὐ πολὺ ἀπεχόντων ἰοῦσιν, ἐμπίπτει ταραχή·
not far being-distant going falls-upon confusion

80.4 καὶ τὸ μὲν Νικίου στράτευμα, ὥσπερ ἡγεῖτο, ξυνέμενέ τε
and the indeed of-Nicias army as led kept-together both
καὶ προύλαβε πολλῷ, τὸ δὲ Δημοσθένους, τὸ ἥμισυ
and got-ahead much the(-army) and of-Demosthenes the half
μάλιστα καὶ πλέον, ἀπεσπάσθη τε καὶ ἀτακτότερον ἐχώρει.
about and more was-separated both and in-more-disorder advanced

80.5 ἅμα δὲ τῇ ἕῳ ἀφικνοῦνται ὅμως πρὸς τὴν
together-with and the dawn they-arrive nevertheless at the
θάλασσαν, καὶ ἐσβάντες ἐς τὴν ὁδὸν τὴν Ἑλωρίνην
sea and having-entered into the road the Helorine
καλουμένην ἐπορεύοντο, ὅπως, ἐπειδὴ γένοιντο ἐπὶ τῷ
called marched so-that when they-should-come to the
ποταμῷ τῷ Κακυπάρει, παρὰ τὸν ποταμὸν ἴοιεν ἄνω
river — Cacyparis along the river they-might-go up

διὰ μεσογείας· ἤλπιζον γὰρ καὶ τοὺς Σικελοὺς ταύτῃ
through inland they-hoped for also the Sicels there
οὓς μετεπέμψαντο ἀπαντήσεσθαι.
whom they-had-sent-for to-meet(-them)
ἐπειδὴ δ' ἐγένοντο ἐπὶ τῷ ποταμῷ, ηὗρον καὶ ἐνταῦθα 80.6
when and they-came to the river they-found also there
φυλακήν τινα τῶν Συρακοσίων ἀποτειχίζουσάν τε καὶ
guard some of-the Syracusans walling-off both and
ἀποσταυροῦσαν τὸν πόρον. καὶ βιασάμενοι αὐτὴν διέβησάν
staking-off the ford and having-forced it crossed
τε τὸν ποταμὸν καὶ ἐχώρουν αὖθις πρὸς ἄλλον ποταμὸν
both the river and advanced again toward another river
τὸν Ἐρινεόν· ταύτῃ γὰρ οἱ ἡγεμόνες ἐκέλευον.
— Erineus this-way for the guides ordered
ἐν τούτῳ δ' οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι, ὡς ἥ τε 81.1
in this and the Syracusans and the allies when the both
ἡμέρα ἐγένετο καὶ ἔγνωσαν τοὺς Ἀθηναίους ἀπεληλυθότας,
day came and they-learned the Athenians having-departed
ἐν αἰτίᾳ τε οἱ πολλοὶ τὸν Γύλιππον εἶχον ἑκόντα
in blame both the many — Gylippus held willingly
ἀφεῖναι τοὺς Ἀθηναίους, καὶ κατὰ τάχος διώκοντες, ᾗ
to-have-let-go the Athenians and with speed pursuing where
οὐ χαλεπῶς ᾐσθάνοντο κεχωρηκότας, καταλαμβάνουσι
not with-difficulty they-perceived having-gone they-overtake
περὶ ἀρίστου ὥραν.
about of-breakfast hour
καὶ ὡς προσέμειξαν τοῖς μετὰ τοῦ Δημοσθένους ὑστέροις 81.2
and when they-engaged with-the-ones with — Demosthenes last
τ' οὖσι καὶ σχολαίτερον καὶ ἀτακτότερον χωροῦσιν, ὡς
both being and more-slowly and more-disorderly advancing as
τῆς νυκτὸς τότε ξυνεταράχθησαν, εὐθὺς προσπεσόντες
in-the night then they-had-been-confused at-once having-fallen-upon

ἐμάχοντο, καὶ οἱ ἱππῆς τῶν Συρακοσίων ἐκυκλοῦντό τε
fought and the cavalry of-the Syracusans surrounded both
ῥᾷον αὐτοὺς δίχα δὴ ὄντας καὶ ξυνῆγον ἐς ταὐτό.
more-easily them apart indeed being and brought-together into the-same(-place)
81.3 τὸ δὲ Νικίου στράτευμα ἀπεῖχεν ἐν τῷ πρόσθεν καὶ
the and of-Nicias army was-distant in the front also
πεντήκοντα σταδίους· θᾶσσόν τε γὰρ ὁ Νικίας ἦγε,
fifty stades faster both for — Nicias led
νομίζων οὐ τὸ ὑπομένειν ἐν τῷ τοιούτῳ ἑκόντας εἶναι καὶ
thinking not the to-remain in the such willingly to-be and
μάχεσθαι σωτηρίαν, ἀλλὰ τὸ ὡς τάχιστα ὑποχωρεῖν,
to-fight safety but the as quickly-as-possible to-withdraw
τοσαῦτα μαχομένους ὅσα ἀναγκάζονται.
so-many fighting as-many-as they-are-compelled
81.4 ὁ δὲ Δημοσθένης ἐτύγχανέ τε τὰ πλείω ἐν πόνῳ
— and Demosthenes happened both the more(-time) in toil
ξυνεχεστέρῳ ὢν διὰ τὸ ὑστέρῳ ἀναχωροῦντι αὐτῷ
more-continuous being because-of the last withdrawing him
πρώτῳ ἐπικεῖσθαι τοὺς πολεμίους καὶ τότε γνοὺς
first to-press the enemies and then having-learned
τοὺς Συρακοσίους διώκοντας οὐ προυχώρει μᾶλλον ἢ
the Syracusans pursuing not advanced rather than
ἐς μάχην ξυνετάσσετο, ἕως ἐνδιατρίβων κυκλοῦταί τε ὑπ᾽
into battle drew-up until delaying is-surrounded both by
αὐτῶν καὶ ἐν πολλῷ θορύβῳ αὐτός τε καὶ οἱ μετ᾽ αὐτοῦ
them and in much confusion himself both and the with him
Ἀθηναῖοι ἦσαν· ἀνειληθέντες γὰρ ἔς τι χωρίον ᾧ
Athenians were having-been-driven for into some place in-which
κύκλῳ μὲν τειχίον περιῆν, ὁδὸς δὲ ἔνθεν καὶ ἔνθεν,
in-a-circle indeed low-wall ran-round road and on-this-side and on-that-side
ἐλάας δὲ οὐκ ὀλίγας εἶχεν, ἐβάλλοντο περισταδόν.
olive-trees and not few it-had they-were-pelted from-all-around

τοιαύταις δὲ προσβολαῖς καὶ οὐ ξυσταδὸν μάχαις οἱ 81.5
such and attacks and not hand-to-hand battles the
Συρακόσιοι εἰκότως ἐχρῶντο· τὸ γὰρ ἀποκινδυνεύειν
Syracusans reasonably used the for to-risk-all
πρὸς ἀνθρώπους ἀπονενοημένους οὐ πρὸς ἐκείνων
against men desperate not in-favor-of those
μᾶλλον ἦν ἔτι ἢ πρὸς τῶν Ἀθηναίων, καὶ ἅμα
more was still than in-favor-of the Athenians and at-the-same-time
φειδώ τέ τις ἐγίγνετο ἐπ᾽ εὐπραγίᾳ ἤδη σαφεῖ μὴ
sparing both a-certain arose on success already clear not
προαναλωθῆναί τῳ, καὶ ἐνόμιζον καὶ ὡς ταύτῃ τῇ
to-be-used-up-beforehand for-anyone and they-thought also so by-this the
ἰδέᾳ καταδαμασάμενοι λήψεσθαι αὐτούς.
method having-subdued to-take them
ἐπειδὴ δ᾽ οὖν δι᾽ ἡμέρας βάλλοντες πανταχόθεν τοὺς 82.1
when and then through day pelting from-all-sides the
Ἀθηναίους καὶ ξυμμάχους ἑώρων ἤδη τεταλαιπωρημένους
Athenians and allies they-saw already exhausted
τοῖς τε τραύμασι καὶ τῇ ἄλλῃ κακώσει, κήρυγμα
by-the both wounds and by-the other ill-treatment proclamation
ποιοῦνται Γύλιππος καὶ Συρακόσιοι καὶ οἱ ξύμμαχοι
make Gylippus and Syracusans and the allies
πρῶτον μὲν τῶν νησιωτῶν εἴ τις βούλεται ἐπ᾽ ἐλευθερίᾳ
first indeed of-the islanders if anyone wishes on freedom
ὡς σφᾶς ἀπιέναι· καὶ ἀπεχώρησάν τινες πόλεις οὐ πολλαί.
to them to-depart and departed some cities not many
ἔπειτα δ᾽ ὕστερον καὶ πρὸς τοὺς ἄλλους ἅπαντας τοὺς 82.2
then and later also with the others all the
μετὰ Δημοσθένους ὁμολογία γίγνεται ὥστε ὅπλα τε
with Demosthenes agreement is-made so-that arms both

παραδοῦναι καὶ μὴ ἀποθανεῖν μηδένα μήτε βιαίως μήτε
to-hand-over and not to-die no-one neither violently nor
δεσμοῖς μήτε τῆς ἀναγκαιοτάτης ἐνδείᾳ διαίτης.
by-bonds nor of-the most-necessary by-lack sustenance
82.3 καὶ παρέδοσαν οἱ πάντες σφᾶς αὐτοὺς ἑξακισχίλιοι, καὶ
and surrendered the all them selves six-thousand and
τὸ ἀργύριον ὃ εἶχον ἅπαν κατέθεσαν ἐσβαλόντες ἐς
the silver which they-had all put-down having-thrown into
ἀσπίδας ὑπτίας, καὶ ἐνέπλησαν ἀσπίδας τέσσαρας. καὶ
shields upturned and filled shields four and
τούτους μὲν εὐθὺς ἀπεκόμιζον ἐς τὴν πόλιν· Νικίας δὲ
these indeed at-once took-away to the city Nicias and
καὶ οἱ μετ᾽ αὐτοῦ ταύτῃ τῇ ἡμέρᾳ ἀφικνοῦνται ἐπὶ
and the-ones with him on-this the day arrive at
τὸν ποταμὸν τὸν Ἐρινεόν, καὶ διαβὰς πρὸς μετέωρόν
the river — Erineus and having-crossed toward high-ground
τι καθῖσε τὴν στρατιάν.
some settled the army

The Syracusans tell Nicias that Demosthenes has surrendered. He offers to repay the cost of the war for the safe passage of his men, but they refuse. Starving and pelted, they try to slip away by night but are discovered, and only three hundred break through. At dawn Nicias leads the rest to the Assinarus, where they rush into the river to drink and are slaughtered. Nicias surrenders to Gylippus. Many prisoners are carried off privately, the rest suffer for seventy days in the stone quarries, and Nicias and Demosthenes are put to death against Gylippus' wish. Thucydides judges it the greatest action of the war, glorious for the victors and ruinous for the vanquished. So end the events in Sicily.

οἱ δὲ Συρακόσιοι τῇ ὑστεραίᾳ καταλαβόντες αὐτὸν 83.1
the and Syracusans on-the next-day having-overtaken him
ἔλεγον ὅτι οἱ μετὰ Δημοσθένους παραδεδώκοιεν σφᾶς
told that the-ones with Demosthenes had-surrendered them
αὐτούς, κελεύοντες κἀκεῖνον τὸ αὐτὸ δρᾶν· ὁ δ' ἀπιστῶν
selves urging and-him the same to-do he and disbelieving
σπένδεται ἱππέα πέμψαι σκεψόμενον.
makes-a-truce a-horseman to-send going-to-look
ὡς δ' οἰχόμενος ἀπήγγειλε πάλιν παραδεδωκότας, 83.2
when and having-gone he-reported back having-surrendered
ἐπικηρυκεύεται Γυλίππῳ καὶ Συρακοσίοις εἶναι ἑτοῖμος
he-sends-herald to-Gylippus and Syracusans to-be ready
ὑπὲρ Ἀθηναίων ξυμβῆναι, ὅσα ἀνήλωσαν χρήματα
on-behalf-of Athenians to-agree as-much-as spent money
Συρακόσιοι ἐς τὸν πόλεμον, ταῦτα ἀποδοῦναι, ὥστε τὴν
Syracusans on the war these to-pay-back so-that the
μετ' αὐτοῦ στρατιὰν ἀφεῖναι αὐτούς· μέχρι οὗ δ' ἂν
with him army to-release them until when and —

τὰ χρήματα ἀποδοθῇ, ἄνδρας δώσειν Ἀθηναίων ὁμήρους,
the money be-paid men to-give of-Athenians hostages
ἕνα κατὰ τάλαντον.
one per talent

83.3 οἱ δὲ Συρακόσιοι καὶ Γύλιππος οὐ προσεδέχοντο τοὺς
the and Syracusans and Gylippus not accepted the
λόγους, ἀλλὰ προσπεσόντες καὶ περιστάντες πανταχόθεν
proposals but having-attacked and having-surrounded from-all-sides
ἔβαλλον καὶ τούτους μέχρι ὀψέ.
pelted also these until late

83.4 εἶχον δὲ καὶ οὗτοι πονηρῶς σίτου τε καὶ τῶν ἐπιτηδείων
fared and also these badly of-grain both and of-the supplies
ἀπορίᾳ. ὅμως δὲ τῆς νυκτὸς φυλάξαντες τὸ ἡσυχάζον
by-lack nevertheless and in-the night having-waited-for the quiet(-part)
ἔμελλον πορεύσεσθαι. καὶ ἀναλαμβάνουσί τε τὰ ὅπλα καὶ
were-about to-march and they-take-up both the arms and
οἱ Συρακόσιοι αἰσθάνονται καὶ ἐπαιάνισαν.
the Syracusans perceive and raised-the-paean

83.5 γνόντες δὲ οἱ Ἀθηναῖοι ὅτι οὐ λανθάνουσι, κατέθεντο
having-learned and the Athenians that not they-escape-notice they-grounded(-arms)
πάλιν πλὴν τριακοσίων μάλιστα ἀνδρῶν· οὗτοι δὲ διὰ τῶν
again except three-hundred about men these and through the
φυλάκων βιασάμενοι ἐχώρουν τῆς νυκτὸς ᾗ ἐδύναντο.
guards having-forced went in-the night where they-could

84.1 Νικίας δ' ἐπειδὴ ἡμέρα ἐγένετο ἦγε τὴν στρατιάν· οἱ
Nicias and when day came led the army the
δὲ Συρακόσιοι καὶ οἱ ξύμμαχοι προσέκειντο τὸν αὐτὸν
and Syracusans and the allies pressed in-the same
τρόπον πανταχόθεν βάλλοντές τε καὶ κατακοντίζοντες.
way from-all-sides pelting both and shooting-down

καὶ οἱ Ἀθηναῖοι ἠπείγοντο πρὸς τὸν Ἀσσίναρον ποταμόν, 84.2
and the Athenians hastened toward — Assinarus river
ἅμα μὲν βιαζόμενοι ὑπὸ τῆς πανταχόθεν προσβολῆς
at-the-same-time indeed being-pressed by the from-all-sides attack
ἱππέων τε πολλῶν καὶ τοῦ ἄλλου ὄχλου, οἰόμενοι ῥᾷόν
of-cavalry both many and of-the other crowd thinking easier
τι σφίσιν ἔσεσθαι, ἢν διαβῶσι τὸν ποταμόν, ἅμα
somewhat for-them to-be if they-cross the river at-the-same-time
δ' ὑπὸ τῆς ταλαιπωρίας καὶ τοῦ πιεῖν ἐπιθυμίᾳ.
and by the distress and of-the to-drink by-desire
ὡς δὲ γίγνονται ἐπ' αὐτῷ, ἐσπίπτουσιν οὐδενὶ κόσμῳ ἔτι, 84.3
when and they-come to it they-fall-in in-no order any-longer
ἀλλὰ πᾶς τέ τις διαβῆναι αὐτὸς πρῶτος βουλόμενος καὶ
but every both one to-cross himself first wishing and
οἱ πολέμιοι ἐπικείμενοι χαλεπὴν ἤδη τὴν διάβασιν ἐποίουν·
the enemies pressing difficult already the crossing made
ἀθρόοι γὰρ ἀναγκαζόμενοι χωρεῖν ἐπέπιπτόν τε ἀλλήλοις καὶ
in-a-mass for being-compelled to-go fell-upon both one-another and
κατεπάτουν, περί τε τοῖς δορατίοις καὶ σκεύεσιν οἱ μὲν
trampled around both the spears and baggage the-ones indeed
εὐθὺς διεφθείροντο, οἱ δὲ ἐμπαλασσόμενοι κατέρρεον.
at-once were-destroyed the-others and becoming-entangled were-swept-down
ἐς τὰ ἐπὶ θάτερά τε τοῦ ποταμοῦ παραστάντες 84.4
to the-parts on the-other-side both of-the river having-stood-by
οἱ Συρακόσιοι (ἦν δὲ κρημνώδες) ἔβαλλον ἄνωθεν τοὺς
the Syracusans was and precipitous pelted from-above the
Ἀθηναίους, πίνοντάς τε τοὺς πολλοὺς ἀσμένους καὶ ἐν
Athenians drinking both the most eagerly and in
κοίλῳ ὄντι τῷ ποταμῷ ἐν σφίσιν αὐτοῖς ταρασσομένους.
hollow being the river among them selves being-thrown-into-confusion

84.5 οἵ τε Πελοποννήσιοι ἐπικαταβάντες τοὺς ἐν τῷ ποταμῷ
the both Peloponnesians having-come-down the-ones in the river
μάλιστα ἔσφαζον. καὶ τὸ ὕδωρ εὐθὺς διέφθαρτο, ἀλλ᾽
most slaughtered and the water at-once had-been-fouled but
οὐδὲν ἧσσον ἐπίνετό τε ὁμοῦ τῷ πηλῷ ᾱἱματωμένον
nothing less was-drunk both together-with the mud bloodied
καὶ περιμάχητον ἦν τοῖς πολλοῖς.
and fought-over was for-the many

85.1 τέλος δὲ νεκρῶν τε πολλῶν ἐπ᾽ ἀλλήλοις ἤδη κειμένων
finally and dead both many on one-another already lying
ἐν τῷ ποταμῷ καὶ διεφθαρμένου τοῦ στρατεύματος τοῦ
in the river and destroyed the army the-part
μὲν κατὰ τὸν ποταμόν, τοῦ δὲ καί, εἴ τι διαφύγοι,
indeed by the river the-part and also if anything escaped
ὑπὸ τῶν ἱππέων, Νικίας Γυλίππῳ ἑαυτὸν παραδίδωσι,
by the cavalry Nicias to-Gylippus himself surrenders
πιστεύσας μᾶλλον αὐτῷ ἢ τοῖς Συρακοσίοις· καὶ ἑαυτῷ
having-trusted more him than the Syracusans and with-himself
μὲν χρήσασθαι ἐκέλευεν ἐκεῖνόν τε καὶ Λακεδαιμονίους
indeed to-deal he-urged that-man both and Lacedaemonians
ὅτι βούλονται, τοὺς δὲ ἄλλους στρατιώτας παύσασθαι
what they-wish the and other soldiers to-stop
φονεύοντας.
slaughtering

85.2 καὶ ὁ Γύλιππος μετὰ τοῦτο ζωγρεῖν ἤδη ἐκέλευεν· καὶ
and — Gylippus after this to-take-alive now ordered and
τούς τε λοιποὺς ὅσους μὴ ἀπεκρύψαντο (πολλοὶ δὲ
the both remaining as-many-as not hid-away many and
οὗτοι ἐγένοντο) ξυνεκόμισαν ζῶντας, καὶ ἐπὶ τοὺς
these became they-brought-together alive and against the

τριακοσίους, οἳ τὴν φυλακὴν διεξῆλθον τῆς νυκτός,
three-hundred who the guard passed-through in-the night
πέμψαντες τοὺς διωξομένους ξυνέλαβον.
having-sent the-ones going-to-pursue seized
τὸ μὲν οὖν ἀθροισθὲν τοῦ στρατεύματος ἐς τὸ κοινὸν 85.3
the indeed then collected of-the army into the common
οὐ πολὺ ἐγένετο, τὸ δὲ διακλαπὲν πολύ, καὶ διεπλήσθη
not much became the and stolen-away much and was-filled
πᾶσα Σικελία αὐτῶν, ἅτε οὐκ ἀπὸ ξυμβάσεως ὥσπερ
all Sicily with-them inasmuch-as not from agreement as
τῶν μετὰ Δημοσθένους ληφθέντων.
of-the-ones with Demosthenes taken
μέρος δέ τι οὐκ ὀλίγον καὶ ἀπέθανεν· πλεῖστος γὰρ δὴ 85.4
part and some not small also died greatest for indeed
φόνος οὗτος καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν τῷ πολέμῳ
slaughter this and than-none less of-the in the war
τούτῳ ἐγένετο. καὶ ἐν ταῖς ἄλλαις προσβολαῖς ταῖς κατὰ
this happened and in the other attacks the during
τὴν πορείαν συχναῖς γενομέναις οὐκ ὀλίγοι ἐτεθνήκεσαν.
the march frequent having-happened not few had-died
πολλοὶ δὲ ὅμως καὶ διέφυγον, οἱ μὲν καὶ παραυτίκα,
many and nevertheless also escaped the-ones indeed also immediately
οἱ δὲ καὶ δουλεύσαντες καὶ διαδιδράσκοντες ὕστερον·
the-others and also having-been-slaves and running-away later
τούτοις δ' ἦν ἀναχώρησις ἐς Κατάνην.
for-these and was retreat to Catana
ξυναθροισθέντες δὲ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι, τῶν 86.1
having-gathered and the Syracusans and the allies of-the
τε αἰχμαλώτων ὅσους ἐδύναντο πλείστους καὶ τὰ σκῦλα
both prisoners as-many-as they-could most and the spoils
ἀναλαβόντες, ἀνεχώρησαν ἐς τὴν πόλιν.
having-taken-up withdrew to the city

86.2 καὶ τοὺς μὲν ἄλλους Ἀθηναίων καὶ τῶν ξυμμάχων ὁπόσους
and the indeed others of-Athenians and of-the allies as-many-as
ἔλαβον κατεβίβασαν ἐς τὰς λιθοτομίας, ἀσφαλεστάτην
they-took they-sent-down into the quarries safest
εἶναι νομίσαντες τήρησιν, Νικίαν δὲ καὶ Δημοσθένη
to-be having-thought keeping Nicias and and Demosthenes
ἄκοντος τοῦ Γυλίππου ἀπέσφαξαν. ὁ γὰρ Γύλιππος καλὸν
unwilling — Gylippus they-butchered — for Gylippus fine
τὸ ἀγώνισμα ἐνόμιζέν οἱ εἶναι ἐπὶ τοῖς ἄλλοις καὶ
the achievement thought for-himself to-be on the others also
τοὺς ἀντιστρατήγους κομίσαι Λακεδαιμονίοις.
the opposing-generals to-bring to-Lacedaemonians

86.3 ξυνέβαινε δὲ τὸν μὲν πολεμιώτατον αὐτοῖς εἶναι,
it-happened and the-one indeed most-hostile to-them to-be
Δημοσθένη, διὰ τὰ ἐν τῇ νήσῳ καὶ Πύλῳ, τὸν δὲ
Demosthenes because-of the-things on the island and Pylos the-other and
διὰ τὰ αὐτὰ ἐπιτηδειότατον· τοὺς γὰρ ἐκ τῆς νήσου
because-of the same most-friendly the for from the island
ἄνδρας τῶν Λακεδαιμονίων ὁ Νικίας προυθυμήθη, σπονδὰς
men of-the Lacedaemonians — Nicias was-eager treaty
πείσας τοὺς Ἀθηναίους ποιήσασθαι, ὥστε ἀφεθῆναι.
having-persuaded the Athenians to-make so-that to-be-released

86.4 ἀνθ' ὧν οἵ τε Λακεδαιμόνιοι ἦσαν αὐτῷ προσφιλεῖς
in-return-for which the both Lacedaemonians were to-him friendly
κἀκεῖνος οὐχ ἥκιστα διὰ τοῦτο πιστεύσας ἑαυτὸν
and-he not least because-of this having-trusted himself
τῷ Γυλίππῳ παρέδωκεν. ἀλλὰ τῶν Συρακοσίων τινές,
— to-Gylippus surrendered but of-the Syracusans some
ὡς ἐλέγετο, οἱ μὲν δείσαντες, ὅτι πρὸς αὐτὸν
as was-said the-ones indeed having-feared because with him
ἐκεκοινολόγηντο, μὴ βασανιζόμενος διὰ τὸ τοιοῦτο
they-had-communicated lest being-tortured because-of the such

ταραχὴν σφίσιν ἐν εὐπραγίᾳ ποιήσῃ, ἄλλοι δέ, καὶ οὐχ
confusion for-them in success he-might-cause others and also not
ἥκιστα οἱ Κορίνθιοι, μὴ χρήμασι δὴ πείσας τινάς, ὅτι
least the Corinthians lest by-money indeed having-persuaded some because
πλούσιος ἦν, ἀποδρᾷ καὶ αὖθις σφίσι νεώτερόν τι ἀπ᾽
rich he-was he-might-escape and again for-them new something from
αὐτοῦ γένηται, πείσαντες τοὺς ξυμμάχους ἀπέκτειναν αὐτόν.
him might-happen having-persuaded the allies killed him
καὶ ὁ μὲν τοιαύτῃ ἢ ὅτι ἐγγύτατα τούτων αἰτίᾳ ἐτεθνήκει, 86.5
and he indeed for-such or as nearest to-these cause had-died
ἥκιστα δὴ ἄξιος ὢν τῶν γε ἐπ᾽ ἐμοῦ Ἑλλήνων ἐς
least indeed worthy being of-the at-least in my-time Greeks to
τοῦτο δυστυχίας ἀφικέσθαι διὰ τὴν πᾶσαν ἐς ἀρετὴν
this of-misfortune to-come because-of the whole toward virtue
νενομισμένην ἐπιτήδευσιν.
regulated practice
τοὺς δ᾽ ἐν ταῖς λιθοτομίαις οἱ Συρακόσιοι χαλεπῶς 87.1
the-ones and in the quarries the Syracusans harshly
τοὺς πρώτους χρόνους μετεχείρισαν. ἐν γὰρ κοίλῳ χωρίῳ
the first times treated in for hollow place
ὄντας καὶ ὀλίγῳ πολλοὺς οἵ τε ἥλιοι τὸ πρῶτον καὶ τὸ
being and small many the both suns the first and the
πνῖγος ἔτι ἐλύπει διὰ τὸ ἀστέγαστον καὶ αἱ νύκτες
stifling-heat still distressed because-of the unroofed and the nights
ἐπιγιγνόμεναι τοὐναντίον μετοπωριναὶ καὶ ψυχραὶ τῇ
coming-on the-opposite autumnal and cold by-the
μεταβολῇ ἐς ἀσθένειαν ἐνεωτέριζον,
change into sickness brought-on
πάντα τε ποιούντων αὐτῶν διὰ στενοχωρίαν ἐν τῷ αὐτῷ 87.2
all both doing them because-of narrowness in the same
καὶ προσέτι τῶν νεκρῶν ὁμοῦ ἐπ᾽ ἀλλήλοις ξυννενημένων,
and besides the dead together on one-another heaped

οἳ ἔκ τε τῶν τραυμάτων καὶ διὰ τὴν μεταβολὴν καὶ
who from both the wounds and because-of the change and
τὸ τοιοῦτον ἀπέθνῃσκον, καὶ ὀσμαὶ ἦσαν οὐκ ἀνεκτοί, καὶ
the such died and smells were not bearable and
λιμῷ ἅμα καὶ δίψῃ ἐπιέζοντο (ἐδίδοσαν γὰρ αὐτῶν
by-hunger at-the-same-time and by-thirst were-oppressed they-gave for of-them
ἑκάστῳ ἐπὶ ὀκτὼ μῆνας κοτύλην ὕδατος καὶ δύο κοτύλας
to-each for eight months kotyle of-water and two kotylai
σίτου), ἄλλα τε ὅσα εἰκὸς ἐν τῷ τοιούτῳ χωρίῳ
of-grain other-things both as-many-as likely in the such place
ἐμπεπτωκότας κακοπαθῆσαι, οὐδὲν ὅτι οὐκ ἐπεγένετο αὐτοῖς·
having-fallen-in to-suffer-hardship nothing which not came-upon them
87.3 καὶ ἡμέρας μὲν ἑβδομήκοντά τινας οὕτω διῃτήθησαν
and days indeed seventy some thus they-lived
ἀθρόοι· ἔπειτα πλὴν Ἀθηναίων καὶ εἴ τινες Σικελιωτῶν ἢ
crowded then except Athenians and if any of-Sicilian-Greeks or
Ἰταλιωτῶν ξυνεστράτευσαν, τοὺς ἄλλους ἀπέδοντο.
of-Italiots campaigned-with the others they-sold
87.4 ἐλήφθησαν δὲ οἱ ξύμπαντες, ἀκριβείᾳ μὲν χαλεπὸν
were-taken and the all with-exactness indeed difficult
ἐξειπεῖν, ὅμως δὲ οὐκ ἐλάσσους ἑπτακισχιλίων.
to-state nevertheless but not fewer than-seven-thousand
87.5 ξυνέβη τε ἔργον τοῦτο τῶν κατὰ τὸν πόλεμον τόνδε
happened both deed this of-the-things in the war this
μέγιστον γενέσθαι, δοκεῖν δ' ἔμοιγε καὶ ὧν ἀκοῇ
greatest to-be to-seem and to-me-at-least also of-which by-hearsay
Ἑλληνικῶν ἴσμεν, καὶ τοῖς τε κρατήσασι λαμπρότατον
Greek we-know and to-the both having-prevailed most-brilliant
καὶ τοῖς διαφθαρεῖσι δυστυχέστατον·
and to-the having-been-destroyed most-unfortunate

κατὰ πάντα γὰρ πάντως νικηθέντες καὶ οὐδὲν ὀλίγον 87.6
in all for utterly having-been-defeated and nothing small
ἐς οὐδὲν κακοπαθήσαντες πανωλεθρίᾳ δὴ τὸ λεγόμενον
in nothing having-suffered-hardship with-total-destruction indeed the being-said
καὶ πεζὸς καὶ νῆες καὶ οὐδὲν ὅτι οὐκ ἀπώλετο, καὶ
both infantry and ships and nothing which not perished and
ὀλίγοι ἀπὸ πολλῶν ἐπ᾽ οἴκου ἀπενόστησαν. ταῦτα μὲν
few from many to home returned these-things indeed
τὰ περὶ Σικελίαν γενόμενα.
the-things about Sicily having-happened

BOOK VIII

I · ATHENS AFTER SICILY

When the news reaches Athens, the people long disbelieve it. Then they turn in anger on the orators who urged the voyage and on the seers who foretold success. Fearing the enemy will sail on the Piraeus, they resolve not to give in but to build a fleet, find money and timber, cut costs, and elect a board of elders to advise them. All Greece turns against Athens, the neutrals ready to join, the subjects eager to revolt, and the Spartans confident that the war will soon end. Agis marches from Decelea to the Malian Gulf and levies money, and the Spartans call on their allies for a hundred ships. The Athenians fortify Sunium and abandon the fort in Laconia.

ἐς δὲ τὰς Ἀθήνας ἐπειδὴ ἠγγέλθη, ἐπὶ πολὺ μὲν 1.1
to and — Athens when it-was-announced for long indeed
ἠπίστουν καὶ τοῖς πάνυ τῶν στρατιωτῶν ἐξ αὐτοῦ
they-disbelieved even the very of-the soldiers from itself
τοῦ ἔργου διαπεφευγόσι καὶ σαφῶς ἀγγέλλουσι, μὴ οὕτω
the action having-escaped and clearly reporting not thus
γε ἄγαν πανσυδὶ διεφθάρθαι· ἐπειδὴ δὲ ἔγνωσαν,
at-least too utterly to-have-been-destroyed when and they-knew

χαλεποὶ μὲν ἦσαν τοῖς ξυμπροθυμηθεῖσι τῶν ῥητόρων
harsh indeed they-were to-the having-shared-in-eagerness of-the orators
τὸν ἔκπλουν, ὥσπερ οὐκ αὐτοὶ ψηφισάμενοι, ὠργίζοντο δὲ
the voyage-out as-if not themselves having-voted were-angry and
καὶ τοῖς χρησμολόγοις τε καὶ μάντεσι καὶ ὁπόσοι τι
also with-the oracle-mongers both and seers and as-many-as anything
τότε αὐτοὺς θειάσαντες ἐπήλπισαν ὡς λήψονται Σικελίαν.
then them having-prophesied raised-hopes that they-will-take Sicily
1.2 πάντα δὲ πανταχόθεν αὐτοὺς ἐλύπει τε καὶ περιειστήκει
all and from-all-sides them grieved both and had-surrounded
ἐπὶ τῷ γεγενημένῳ φόβος τε καὶ κατάπληξις μεγίστη
on the having-happened fear both and dismay greatest
δή. ἅμα μὲν γὰρ στερόμενοι καὶ ἰδίᾳ ἕκαστος
indeed at-the-same-time indeed for being-deprived both privately each
καὶ ἡ πόλις ὁπλιτῶν τε πολλῶν καὶ ἱππέων καὶ
and the city of-hoplites both many and of-cavalry and
ἡλικίας οἵαν οὐχ ἑτέραν ἑώρων ὑπάρχουσαν ἐβαρύνοντο·
age-group such-as not another they-saw existing were-weighed-down
ἅμα δὲ ναῦς οὐχ ὁρῶντες ἐν τοῖς νεωσοίκοις
at-the-same-time and ships not seeing in the ship-sheds
ἱκανὰς οὐδὲ χρήματα ἐν τῷ κοινῷ οὐδ' ὑπηρεσίας ταῖς
sufficient nor money in the treasury nor crews for-the
ναυσὶν ἀνέλπιστοι ἦσαν ἐν τῷ παρόντι σωθήσεσθαι, τούς
ships hopeless they-were in the present to-be-saved the
τε ἀπὸ τῆς Σικελίας πολεμίους εὐθὺς σφίσιν ἐνόμιζον
both from — Sicily enemies at-once against-them they-thought
τῷ ναυτικῷ ἐπὶ τὸν Πειραιᾶ πλευσεῖσθαι, ἄλλως τε
with-the navy against the Piraeus to-sail otherwise both
καὶ τοσοῦτον κρατήσαντας, καὶ τοὺς αὐτόθεν πολεμίους
and so-much having-prevailed and the from-there enemies
τότε δὴ καὶ διπλασίως πάντα παρεσκευασμένους κατὰ
then indeed also doubly in-all-respects prepared with

κράτος ἤδη καὶ ἐκ γῆς καὶ ἐκ θαλάσσης ἐπικείσεσθαι,
force now both from land and from sea to-attack
καὶ τοὺς ξυμμάχους σφῶν μετ᾽ αὐτῶν ἀποστάντας.
and the allies of-them with them having-revolted
ὅμως δὲ ὡς ἐκ τῶν ὑπαρχόντων ἐδόκει χρῆναι μὴ 1.3
nevertheless and as from the existing it-seemed it-was-necessary not
ἐνδιδόναι, ἀλλὰ παρασκευάζεσθαι καὶ ναυτικόν, ὅθεν
to-give-in but to-prepare both navy from-wherever
ἂν δύνωνται ξύλα ξυμπορισαμένους, καὶ χρήματα, καὶ
— they-can timber having-procured and money and
τὰ τῶν ξυμμάχων ἐς ἀσφάλειαν ποιεῖσθαι, καὶ
the-affairs of-the allies into security to-put and
μάλιστα τὴν Εὔβοιαν, τῶν τε κατὰ τὴν πόλιν τι
especially — Euboea of-the both in the city something
ἐς εὐτέλειαν σωφρονίσαι, καὶ ἀρχήν τινα πρεσβυτέρων
toward economy to-retrench and board some of-older
ἀνδρῶν ἑλέσθαι, οἵτινες περὶ τῶν παρόντων ὡς ἂν καιρὸς
men to-choose who about the present as — occasion
ᾖ προβουλεύσουσιν.
may-be will-deliberate-in-advance
πάντα τε πρὸς τὸ παραχρῆμα περιδεές, ὅπερ φιλεῖ 1.4
all both in the immediate terror which-very is-wont
δῆμος ποιεῖν, ἑτοῖμοι ἦσαν εὐτακτεῖν. καὶ ὡς ἔδοξεν
a-people to-do ready they-were to-be-disciplined and as it-seemed-good
αὐτοῖς, καὶ ἐποίουν ταῦτα, καὶ τὸ θέρος ἐτελεύτα.
to-them also they-did these-things and the summer ended
τοῦ δ᾽ ἐπιγιγνομένου χειμῶνος πρὸς τὴν ἐκ τῆς 2.1
in-the and following winter at the from —
Σικελίας τῶν Ἀθηναίων μεγάλην κακοπραγίαν εὐθὺς οἱ
Sicily of-the Athenians great misfortune at-once the
Ἕλληνες πάντες ἐπηρμένοι ἦσαν, οἱ μὲν μηδετέρων
Greeks all elated were the-ones indeed of-neither

ὄντες ξύμμαχοι, ὡς, ἤν τις καὶ μὴ παρακαλῇ σφᾶς,
being allies as if anyone even not should-summon them
οὐκ ἀποστατέον ἔτι τοῦ πολέμου εἴη, ἀλλ'
not must-stand-aloof any-longer from-the war it-would-be but
ἐθελοντὶ ἰτέον ἐπὶ τοὺς Ἀθηναίους, νομίσαντες κἂν ἐπὶ
voluntarily must-go against the Athenians having-thought also against
σφᾶς ἕκαστοι ἐλθεῖν αὐτούς, εἰ τὰ ἐν τῇ Σικελίᾳ
them each to-have-come them if the-things in — Sicily
κατώρθωσαν, καὶ ἅμα βραχὺν ἔσεσθαι τὸν λοιπὸν
they-had-succeeded and at-the-same-time short to-be the remaining
πόλεμον, οὗ μετασχεῖν καλὸν εἶναι, οἱ δ' αὖ τῶν
war of-which to-share fine to-be the and in-turn of-the
Λακεδαιμονίων ξύμμαχοι ξυμπροθυμηθέντες ἐπὶ πλέον ἢ
Lacedaemonians allies having-shared-in-eagerness to more than
πρὶν ἀπαλλάξεσθαι διὰ τάχους πολλῆς ταλαιπωρίας.
before to-be-freed through speed of-much distress

2.2 μάλιστα δὲ οἱ τῶν Ἀθηναίων ὑπήκοοι ἑτοῖμοι ἦσαν καὶ
most and the of-the Athenians subjects ready were even
παρὰ δύναμιν αὐτῶν ἀφίστασθαι διὰ τὸ ὀργῶντες
beyond power their to-revolt because-of the being-angry
κρίνειν τὰ πράγματα καὶ μηδ' ὑπολείπειν λόγον αὐτοῖς
to-judge the affairs and not-even to-leave reason for-them
ὡς τό γ' ἐπιὸν θέρος οἷοί τ' ἔσονται περιγενέσθαι.
that the at-least coming summer able — they-will-be to-survive

2.3 ἡ δὲ τῶν Λακεδαιμονίων πόλις πᾶσί τε τούτοις ἐθάρσει
the and of-the Lacedaemonians city in-all both these was-confident
καὶ μάλιστα ὅτι οἱ ἐκ τῆς Σικελίας αὐτοῖς ξύμμαχοι πολλῇ
and most because the from — Sicily for-them allies with-much
δυνάμει, κατ' ἀνάγκην ἤδη τοῦ ναυτικοῦ προσγεγενημένου,
power by necessity now the navy having-been-added
ἅμα τῷ ἦρι ὡς εἰκὸς παρέσεσθαι ἔμελλον.
together-with the spring as likely to-be-present were-about

πανταχόθεν τε εὐέλπιδες ὄντες ἀπροφασίστως ἅπτεσθαι 2.4
from-all-sides both hopeful being without-excuse to-take-up
διενοοῦντο τοῦ πολέμου, λογιζόμενοι καλῶς τελευτήσαντος
intended the war reckoning well having-ended
αὐτοῦ κινδύνων τε τοιούτων ἀπηλλάχθαι ἂν τὸ λοιπὸν
it from-dangers both such to-be-freed — for-the future
οἷος καὶ ὁ ἀπὸ τῶν Ἀθηναίων περιέστη ἂν
such-as also the(-one) from the Athenians would-have-surrounded —
αὐτούς, εἰ τὸ Σικελικὸν προσέλαβον, καὶ καθελόντες ἐκείνους
them if the Sicilian they-had-acquired and having-overthrown those
αὐτοὶ τῆς πάσης Ἑλλάδος ἤδη ἀσφαλῶς ἡγήσεσθαι.
themselves of-the whole Greece now safely to-lead
εὐθὺς οὖν Ἄγις μὲν ὁ βασιλεὺς αὐτῶν ἐν τῷ χειμῶνι 3.1
at-once then Agis indeed the king of-them in the winter
τούτῳ ὁρμηθεὶς στρατῷ τινὶ ἐκ Δεκελείας τά τε τῶν
this having-set-out with-army some from Decelea the both of-the
ξυμμάχων ἠργυρολόγησεν ἐς τὸ ναυτικὸν καὶ τραπόμενος
allies levied-money for the navy and having-turned
ἐπὶ τοῦ Μηλιῶς κόλπου Οἰταίων τε κατὰ τὴν
toward the Malian gulf of-Oetaeans both in-accordance-with the
παλαιὰν ἔχθραν τῆς λείας τὴν πολλὴν ἀπολαβὼν χρήματα
old enmity of-the booty the most having-taken money
ἐπράξατο, καὶ Ἀχαιοὺς τοὺς Φθιώτας καὶ τοὺς ἄλλους
exacted and Achaeans the Phthiotes and the others
τοὺς ταύτῃ Θεσσαλῶν ὑπηκόους μεμφομένων καὶ ἀκόντων
the there of-Thessalians subjects blaming and unwilling
τῶν Θεσσαλῶν ὁμήρους τέ τινας ἠνάγκασε δοῦναι καὶ
the Thessalians hostages both some compelled to-give and
χρήματα, καὶ κατέθετο τοὺς ὁμήρους ἐς Κόρινθον, ἔς
money and deposited the hostages at Corinth into
τε τὴν ξυμμαχίαν ἐπειρᾶτο προσάγειν.
both the alliance tried to-bring

3.2 Λακεδαιμόνιοι δὲ τὴν πρόσταξιν ταῖς πόλεσιν ἑκατὸν
Lacedaemonians and the requisition to-the cities of-a-hundred
νεῶν τῆς ναυπηγίας ἐποιοῦντο, καὶ ἑαυτοῖς μὲν καὶ
ships of-the shipbuilding made and for-themselves indeed and
Βοιωτοῖς πέντε καὶ εἴκοσιν ἑκατέροις ἔταξαν, Φωκεῦσι
for-Boeotians five and twenty each assigned for-Phocians
δὲ καὶ Λοκροῖς πέντε καὶ δέκα, καὶ Κορινθίοις πέντε
and and for-Locrians five and ten and for-Corinthians five
καὶ δέκα, Ἀρκάσι δὲ καὶ Πελληνεῦσι καὶ Σικυωνίοις
and ten for-Arcadians and and for-Pellenians and for-Sicyonians
δέκα, Μεγαρεῦσι δὲ καὶ Τροιζηνίοις καὶ Ἐπιδαυρίοις καὶ
ten for-Megarians and and for-Troezenians and for-Epidaurians and
Ἑρμιονεῦσι δέκα· τά τε ἄλλα παρεσκευάζοντο ὡς εὐθὺς
for-Hermionians ten the both other-things they-prepared as at-once
πρὸς τὸ ἔαρ ἐξόμενοι τοῦ πολέμου.
at the spring going-to-engage-in the war

4.1 παρεσκευάζοντο δὲ καὶ Ἀθηναῖοι, ὥσπερ διενοήθησαν,
prepared and also Athenians as they-had-intended
ἐν τῷ αὐτῷ χειμῶνι τούτῳ τήν τε ναυπηγίαν, ξύλα
in the same winter this the both shipbuilding timber
ξυμπορισάμενοι, καὶ Σούνιον τειχίσαντες, ὅπως αὐτοῖς
having-procured and Sunium having-fortified so-that for-them
ἀσφάλεια ταῖς σιταγωγοῖς ναυσὶν εἴη τοῦ περίπλου,
safety for-the grain-carrying ships might-be of-the voyage-round
καὶ τό τε ἐν τῇ Λακωνικῇ τείχισμα ἐκλιπόντες ὃ
and the both in — Laconia fort having-abandoned which
ἐνῳκοδόμησαν παραπλέοντες ἐς Σικελίαν, καὶ τἆλλα, εἴ
they-had-built sailing-along to Sicily and the-rest if
πού τι ἐδόκει ἀχρεῖον ἀναλίσκεσθαι, ξυστελλόμενοι
anywhere anything seemed useless to-be-spent cutting-down

ἐς εὐτέλειαν, μάλιστα δὲ τὰ τῶν ξυμμάχων
toward economy most and the-affairs of-the allies
διασκοποῦντες ὅπως μὴ σφῶν ἀποστήσονται.
watching so-that not from-them they-will-revolt

II · ENVOYS FROM CHIOS AND THE SATRAPS

Agis at Decelea receives envoys from the Euboeans and then the Lesbians, who wish to revolt, and acting without Sparta's word he takes up the Lesbians' cause. The Chians and the Erythraeans send to Sparta with an envoy from Tissaphernes, the king's governor of the coast, who seeks the tribute of the Greek cities and wants Sparta's alliance. Calligeitus and Timagoras come from Pharnabazus asking for a fleet for the Hellespont. Alcibiades, with the ephor Endius his family friend, wins the Spartans for Chios. They make an alliance with the Chians and Erythraeans and vote to send forty ships, but after an earthquake they send Chalcideus in place of Melanchridas, with five ships instead of ten. The nineteenth year of the war ends.

πρασσόντων δὲ ταῦτα ἀμφοτέρων καὶ ὄντων οὐδὲν ἄλλο 5.1
doing and these-things both and being nothing other
ἢ ὥσπερ ἀρχομένων ἐν κατασκευῇ τοῦ πολέμου, πρῶτοι
than as-if beginning in preparation of-the war first
Εὐβοῆς ὡς Ἄγιν περὶ ἀποστάσεως τῶν Ἀθηναίων
Euboeans to Agis about revolt from-the Athenians
ἐπρεσβεύσαντο ἐν τῷ χειμῶνι τούτῳ. ὁ δὲ προσδεξάμενος
sent-envoys in the winter this he and having-received
τοὺς λόγους αὐτῶν μεταπέμπεται ἐκ Λακεδαίμονος
the proposals of-them sends-for from Lacedaemon
Ἀλκαμένη τὸν Σθενελαΐδου καὶ Μέλανθον ἄρχοντας ὡς
Alcamenes the son-of-Sthenelaidas and Melanthus as-commanders as
ἐς τὴν Εὔβοιαν· οἱ δ' ἦλθον ἔχοντες τῶν νεοδαμωδῶν
to — Euboea they and came having of-the new-citizens
ὡς τριακοσίους, καὶ παρεσκεύαζεν αὐτοῖς τὴν διάβασιν.
about three-hundred and he-prepared for-them the crossing

5.2 ἐν τούτῳ δὲ καὶ Λέσβιοι ἦλθον βουλόμενοι καὶ αὐτοὶ
in this and also Lesbians came wishing also themselves
ἀποστῆναι· καὶ ξυμπρασσόντων αὐτοῖς τῶν Βοιωτῶν
to-revolt and co-operating with-them the Boeotians
ἀναπείθεται Ἂγις ὥστε Εὐβοίας μὲν πέρι ἐπισχεῖν, τοῖς
is-persuaded Agis so-that Euboea indeed about to-hold-off for-the
δὲ Λεσβίοις παρεσκεύαζε τὴν ἀπόστασιν, Ἀλκαμένη τε
and Lesbians he-prepared the revolt Alcamenes both
ἁρμοστὴν διδούς, ὃς ἐς Εὔβοιαν πλεῖν ἔμελλε, καὶ δέκα
as-harmost giving who to Euboea to-sail was-about and ten
μὲν Βοιωτοὶ ναῦς ὑπέσχοντο, δέκα δὲ Ἂγις.
indeed Boeotians ships promised ten and Agis
5.3 καὶ ταῦτα ἄνευ τῆς Λακεδαιμονίων πόλεως ἐπράσσετο· ὁ
and these-things without the of-Lacedaemonians city were-done —
γὰρ Ἂγις, ὅσον χρόνον ἦν περὶ Δεκέλειαν ἔχων τὴν μεθ᾽
for Agis as-long-as time he-was at Decelea having the with
ἑαυτοῦ δύναμιν, κύριος ἦν καὶ ἀποστέλλειν εἴ ποί τινα
himself force master was also to-send if anywhere any
ἐβούλετο στρατιὰν καὶ ξυναγείρειν καὶ χρήματα πράσσειν.
he-wished army and to-collect and money to-exact
καὶ πολὺ μᾶλλον ὡς εἰπεῖν κατὰ τοῦτον τὸν καιρὸν αὐτοῦ
and much more so to-speak at this the moment him
οἱ ξύμμαχοι ὑπήκουον τῶν ἐν τῇ πόλει Λακεδαιμονίων·
the allies obeyed than-the in the city Lacedaemonians
δύναμιν γὰρ ἔχων αὐτὸς εὐθὺς ἑκασταχόσε δεινὸς παρῆν.
force for having himself at-once everywhere formidable was-present
5.4 καὶ ὁ μὲν τοῖς Λεσβίοις ἔπρασσε, Χῖοι δὲ καὶ Ἐρυθραῖοι
and he indeed for-the Lesbians was-acting Chians and and Erythraeans
ἀποστῆναι καὶ αὐτοὶ ἑτοῖμοι ὄντες πρὸς μὲν Ἂγιν οὐκ
to-revolt also themselves ready being to indeed Agis not
ἐτράποντο, ἐς δὲ τὴν Λακεδαίμονα. καὶ παρὰ Τισσαφέρνους,
turned to but — Lacedaemon and from Tissaphernes

ὃς βασιλεῖ Δαρείῳ τῷ Ἀρταξέρξου στρατηγὸς ἦν τῶν
who for-king Darius the son-of-Artaxerxes general was of-the-ones
κάτω, πρεσβευτὴς ἅμα μετ᾽ αὐτῶν παρῆν.
below envoy at-the-same-time with them was-present
ἐπήγετο γὰρ καὶ ὁ Τισσαφέρνης τοὺς Πελοποννησίους καὶ 5.5
was-inviting for also — Tissaphernes the Peloponnesians and
ὑπισχνεῖτο τροφὴν παρέξειν. ὑπὸ βασιλέως γὰρ νεωστὶ
promised maintenance to-provide by king for recently
ἐτύγχανε πεπραγμένος τοὺς ἐκ τῆς ἑαυτοῦ ἀρχῆς
he-happened to-have-been-pressed-for the from the his-own province
φόρους, οὓς δι᾽ Ἀθηναίους ἀπὸ τῶν Ἑλληνίδων πόλεων
tributes which because-of Athenians from the Greek cities
οὐ δυνάμενος πράσσεσθαι ἐπωφείλησεν· τούς τε οὖν φόρους
not being-able to-exact he-owed the both then tributes
μᾶλλον ἐνόμιζε κομιεῖσθαι κακώσας τοὺς Ἀθηναίους, καὶ
rather he-thought to-get having-harmed the Athenians and
ἅμα βασιλεῖ ξυμμάχους Λακεδαιμονίους ποιήσειν,
at-the-same-time to-king allies Lacedaemonians to-make
καὶ Ἀμόργην τὸν Πισσούθνου υἱὸν νόθον, ἀφεστῶτα περὶ
and Amorges the of-Pissuthnes son bastard having-revolted in
Καρίαν, ὥσπερ αὐτῷ προσέταξε βασιλεύς, ἢ ζῶντα
Caria as him ordered king either alive
ἄξειν ἢ ἀποκτενεῖν.
to-bring or to-kill
οἱ μὲν οὖν Χῖοι καὶ Τισσαφέρνης κοινῇ κατὰ τὸ αὐτὸ 6.1
the indeed then Chians and Tissaphernes in-common in the same(-way)
ἔπρασσον, Καλλίγειτος δὲ ὁ Λαοφῶντος Μεγαρεὺς καὶ
acted Calligeitus and the son-of-Laophon a-Megarian and
Τιμαγόρας ὁ Ἀθηναγόρου Κυζικηνός, φυγάδες τῆς ἑαυτῶν
Timagoras the son-of-Athenagoras a-Cyzicene exiles of-the their-own
ἀμφότεροι παρὰ Φαρναβάζῳ τῷ Φαρνάκου κατοικοῦντες,
both with Pharnabazus the son-of-Pharnaces living

ἀφικνοῦνται περὶ τὸν αὐτὸν καιρὸν ἐς τὴν Λακεδαίμονα
arrive about the same moment at — Lacedaemon
πέμψαντος Φαρναβάζου, ὅπως ναῦς κομίσειαν ἐς τὸν
having-sent Pharnabazus so-that ships they-might-bring to —
Ἑλλήσποντον, καὶ αὐτός, εἰ δύναιτο, ἅπερ ὁ Τισσαφέρνης
Hellespont and himself if he-could which-very — Tissaphernes
προυθυμεῖτο, τάς τε ἐν τῇ ἑαυτοῦ ἀρχῇ πόλεις ἀποστήσειε
was-eager the both in the his-own province cities might-detach
τῶν Ἀθηναίων διὰ τοὺς φόρους καὶ ἀφ' ἑαυτοῦ
from-the Athenians because-of the tributes and from himself
βασιλεῖ τὴν ξυμμαχίαν τῶν Λακεδαιμονίων ποιήσειεν.
for-king the alliance of-the Lacedaemonians might-make
6.2 πρασσόντων δὲ ταῦτα χωρὶς ἑκατέρων, τῶν τε ἀπὸ τοῦ
acting and these-things separately of-each-side the both from —
Φαρναβάζου καὶ τῶν ἀπὸ τοῦ Τισσαφέρνους, πολλὴ ἅμιλλα
Pharnabazus and the from — Tissaphernes great rivalry
ἐγίγνετο τῶν ἐν τῇ Λακεδαίμονι, ὅπως οἱ μὲν ἐς
arose of-the-ones in — Lacedaemon so-that the-ones indeed to
τὴν Ἰωνίαν καὶ Χίον, οἱ δ' ἐς τὸν Ἑλλήσποντον
— Ionia and Chios the-others and to — Hellespont
πρότερον ναῦς καὶ στρατιὰν πείσουσι πέμπειν.
first ships and army they-will-persuade to-send
6.3 οἱ μέντοι Λακεδαιμόνιοι τὰ τῶν Χίων καὶ Τισσαφέρνους
the however Lacedaemonians the-affairs of-the Chians and Tissaphernes
παρὰ πολὺ προσεδέξαντο μᾶλλον· ξυνέπρασσε γὰρ αὐτοῖς
by much accepted rather co-operated for with-them
καὶ Ἀλκιβιάδης, Ἐνδίῳ ἐφορεύοντι πατρικὸς ἐς τὰ μάλιστα
also Alcibiades with-Endius being-ephor ancestral in the highest(-degree)
ξένος ὤν, ὅθεν καὶ τοὔνομα Λακωνικὸν ἡ οἰκία αὐτῶν
guest-friend being whence also the-name Laconian the house of-them
κατὰ τὴν ξενίαν ἔσχεν· Ἔνδιος γὰρ Ἀλκιβιάδου ἐκαλεῖτο.
by the guest-friendship had Endius for son-of-Alcibiades was-called

ὅμως δ᾽ οἱ Λακεδαιμόνιοι πρῶτον κατάσκοπον ἐς τὴν 6.4
nevertheless and the Lacedaemonians first a-spy to —
Χίον πέμψαντες Φρῦνιν ἄνδρα περίοικον, εἰ αἵ τε νῆες
Chios having-sent Phrynis a-man a-perioecus whether the both ships
αὐτοῖς εἰσὶν ὅσασπερ ἔλεγον καὶ τἆλλα εἰ ἡ πόλις
to-them are as-many-as they-said and the-rest whether the city
ἱκανή ἐστι πρὸς τὴν λεγομένην δόξαν, ἀπαγγείλαντος
sufficient is for the reported reputation having-reported
αὐτοῖς ὡς εἴη ταῦτα ἀληθῆ ἅπερ ἤκουον, τούς τε Χίους
to-them that were these-things true which they-heard the both Chians
καὶ τοὺς Ἐρυθραίους εὐθὺς ξυμμάχους ἐποιήσαντο καὶ
and the Erythraeans at-once allies made and
τεσσαράκοντα ναῦς ἐψηφίσαντο αὐτοῖς πέμπειν, ὡς ἐκεῖ οὐκ
forty ships voted to-them to-send as there not
ἔλασσον ἢ ἑξήκοντα ἀφ᾽ ὧν οἱ Χῖοι ἔλεγον ὑπαρχουσῶν.
fewer than sixty from what the Chians said existing
καὶ τὸ μὲν πρῶτον δέκα τούτων αὐτοὶ ἔμελλον πέμψειν, 6.5
and at-the indeed first ten of-these themselves were-about to-send
καὶ Μελαγχρίδαν, ὃς αὐτοῖς ναύαρχος ἦν· ἔπειτα σεισμοῦ
and Melanchridas who to-them admiral was then earthquake
γενομένου ἀντὶ τοῦ Μελαγχρίδου Χαλκιδέα ἔπεμπον
having-happened instead-of — Melanchridas Chalcideus they-sent
καὶ ἀντὶ τῶν δέκα νεῶν πέντε παρεσκευάζοντο ἐν τῇ
and instead-of the ten ships five prepared in —
Λακωνικῇ. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ ἐνὸς δέον εἰκοστὸν
Laconia and the winter ended and one lacking twentieth
ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.
year for-the war ended this which Thucydides wrote

In the spring the Chians press for the ships, and the Spartans plan to haul their fleet across the Isthmus. The Corinthians will not sail before the Isthmian festival, and the Athenians learn of the plan. When the Peloponnesian ships sail out, the Athenians chase them into the deserted harbor of Spiraeum in Corinthian territory, kill the commander Alcamenes, and blockade them there. The Spartans, discouraged by this first setback in the Ionian war, are no longer minded to send their own ships and even think of recalling some that had already sailed.

7.1 ἅμα δὲ τῷ ἦρι τοῦ ἐπιγιγνομένου θέρους εὐθὺς
together-with and the spring of-the following summer at-once
ἐπειγομένων τῶν Χίων ἀποστεῖλαι τὰς ναῦς καὶ δεδιότων
pressing the Chians to-send-off the ships and fearing
μὴ οἱ Ἀθηναῖοι τὰ πρασσόμενα αἴσθωνται (πάντες
lest the Athenians the things-being-done should-perceive all
γὰρ κρύφα αὐτῶν ἐπρεσβεύοντο), ἀποπέμπουσιν οἱ
for secretly of-them sent-envoys send-off the
Λακεδαιμόνιοι ἐς Κόρινθον ἄνδρας Σπαρτιάτας τρεῖς, ὅπως
Lacedaemonians to Corinth men Spartiates three so-that
ἀπὸ τῆς ἑτέρας θαλάσσης ὡς τάχιστα ἐπὶ τὴν πρὸς
from the other sea as quickly-as-possible to the toward
Ἀθήνας ὑπερενεγκόντες τὰς ναῦς τὸν Ἰσθμὸν κελεύσωσι
Athens having-hauled-across the ships the Isthmus they-might-order
πλεῖν ἐς Χίον πάσας, καὶ ἃς ὁ Ἄγις παρεσκεύαζεν ἐς
to-sail to Chios all also which — Agis was-preparing for
τὴν Λέσβον καὶ τὰς ἄλλας· ἦσαν δὲ αἱ ξύμπασαι τῶν
— Lesbos and the others were and the all-together of-the
ξυμμαχίδων νῆες αὐτόθι μιᾶς δέουσαι τεσσαράκοντα.
allied ships there one lacking forty

ὁ μὲν οὖν Καλλίγειτος καὶ Τιμαγόρας ὑπὲρ τοῦ 8.1
— *indeed then Calligeitus and Timagoras on-behalf-of* —
Φαρναβάζου οὐκ ἐκοινοῦντο τὸν στόλον ἐς τὴν Χίον,
Pharnabazus not took-part-in the expedition to — Chios
οὐδὲ τὰ χρήματα ἐδίδοσαν ἃ ἦλθον ἔχοντες ἐς τὴν
nor the money gave which they-came having for the
ἀποστολὴν πέντε καὶ εἴκοσι τάλαντα, ἀλλ᾽ ὕστερον ἐφ᾽
dispatch five and twenty talents but later by
ἑαυτῶν διενοοῦντο ἄλλῳ στόλῳ πλεῖν·
themselves intended with-another expedition to-sail
ὁ δὲ Ἄγις ἐπειδὴ ἑώρα τοὺς Λακεδαιμονίους ἐς τὴν Χίον 8.2
— *and Agis when he-saw the Lacedaemonians to — Chios*
πρῶτον ὡρμημένους, οὐδ᾽ αὐτὸς ἄλλο τι ἐγίγνωσκεν,
first having-been-set not-even himself other anything decided
ἀλλὰ ξυνελθόντες ἐς Κόρινθον οἱ ξύμμαχοι ἐβουλεύοντο, καὶ
but having-met at Corinth the allies deliberated and
ἔδοξε πρῶτον ἐς Χίον αὐτοῖς πλεῖν ἄρχοντα ἔχοντας
it-seemed-good first to Chios for-them to-sail commander having
Χαλκιδέα, ὃς ἐν τῇ Λακωνικῇ τὰς πέντε ναῦς παρεσκεύαζεν,
Chalcideus who in — Laconia the five ships was-preparing
ἔπειτα ἐς Λέσβον καὶ Ἀλκαμένη ἄρχοντα, ὅνπερ καὶ Ἄγις
then to Lesbos and Alcamenes commander whom-very also Agis
διενοεῖτο, τὸ τελευταῖον δὲ ἐς τὸν Ἑλλήσποντον ἀφικέσθαι
intended at-the last and to — Hellespont to-arrive
(προσετέτακτο δὲ ἐς αὐτὸν ἄρχων Κλέαρχος ὁ Ῥαμφίου),
had-been-appointed and to it commander Clearchus the son-of-Ramphias
διαφέρειν δὲ τὸν Ἰσθμὸν τὰς ἡμισείας τῶν νεῶν πρῶτον, 8.3
to-carry-across and the Isthmus the half of-the ships first
καὶ εὐθὺς ταύτας ἀποπλεῖν, ὅπως μὴ οἱ Ἀθηναῖοι πρὸς
and at-once these to-sail-off so-that not the Athenians to

τὰς ἀφορμωμένας μᾶλλον τὸν νοῦν ἔχωσιν ἢ τὰς
the setting-out more the mind should-have than the
ὕστερον ἐπιδιαφερομένας.
later being-carried-across

8.4 καὶ γὰρ τὸν πλοῦν ταύτῃ ἐκ τοῦ προφανοῦς ἐποιοῦντο,
and for the voyage this-way from the open they-made
καταφρονήσαντες τῶν Ἀθηναίων ἀδυνασίαν, ὅτι ναυτικὸν
having-despised of-the Athenians weakness because navy
οὐδὲν αὐτῶν πολύ πω ἐφαίνετο. ὡς δὲ ἔδοξεν αὐτοῖς,
none of-them great yet appeared when and it-seemed-good to-them
καὶ διεκόμισαν εὐθὺς μίαν καὶ εἴκοσι ναῦς.
also they-carried-across at-once one and twenty ships

9.1 οἱ δὲ Κορίνθιοι, ἐπειγομένων αὐτῶν τὸν πλοῦν, οὐ
the and Corinthians pressing them the voyage not
προυθυμήθησαν ξυμπλεῖν πρὶν τὰ Ἴσθμια, ἃ τότε ἦν,
were-eager to-sail-with before the Isthmia which then were
διεορτάσωσιν. Ἄγις δὲ αὐτοῖς ἑτοῖμος ἦν ἐκείνους
they-should-finish-celebrating Agis and to-them ready was those
μὲν μὴ λύειν δὴ τὰς Ἰσθμιάδας σπονδάς, ἑαυτοῦ δὲ
indeed not to-break indeed the Isthmian truce of-himself and
τὸν στόλον ἴδιον ποιήσασθαι.
the expedition own to-make

9.2 οὐ ξυγχωρούντων δὲ τῶν Κορινθίων, ἀλλὰ διατριβῆς
not agreeing and the Corinthians but delay
ἐγγιγνομένης, οἱ Ἀθηναῖοι ᾐσθάνοντο τὰ τῶν Χίων
arising the Athenians perceived the-affairs of-the Chians
μᾶλλον, καὶ πέμψαντες ἕνα τῶν στρατηγῶν Ἀριστοκράτη
more and having-sent one of-the generals Aristocrates
ἐπῃτιῶντο αὐτούς, καὶ ἀρνουμένων τῶν Χίων τὸ πιστὸν
accused them and denying the Chians the pledge

ναῦς σφίσι ξυμπέμπειν ἐκέλευον ἐς τὸ ξυμμαχικόν· οἱ
ships to-them to-send-with they-ordered for the allied-force they
δ' ἔπεμψαν ἑπτά.
and sent seven
αἴτιον δ' ἐγένετο τῆς ἀποστολῆς τῶν νεῶν οἱ μὲν 9.3
cause and was of-the sending of-the ships the indeed
πολλοὶ τῶν Χίων οὐκ εἰδότες τὰ πρασσόμενα, οἱ δὲ
many of-the Chians not knowing the things-being-done the and
ὀλίγοι καὶ ξυνειδότες τό τε πλῆθος οὐ βουλόμενοί πω
few and in-the-know the both multitude not wishing yet
πολέμιον ἔχειν, πρίν τι καὶ ἰσχυρὸν λάβωσι, καὶ τοὺς
hostile to-have before something also strong they-should-get and the
Πελοποννησίους οὐκέτι προσδεχόμενοι ἥξειν, ὅτι διέτριβον.
Peloponnesians no-longer expecting to-come because they-delayed
ἐν δὲ τούτῳ τὰ Ἴσθμια ἐγίγνετο, καὶ οἱ Ἀθηναῖοι 10.1
in and this the Isthmia were-held and the Athenians
(ἐπηγγέλθησαν γάρ) ἐθεώρουν ἐς αὐτά, καὶ κατάδηλα
had-been-invited for attended to them and evident
μᾶλλον αὐτοῖς τὰ τῶν Χίων ἐφάνη. καὶ ἐπειδὴ
more to-them the-affairs of-the Chians appeared and when
ἀνεχώρησαν, παρεσκευάζοντο εὐθὺς ὅπως μὴ λήσουσιν
they-withdrew they-prepared at-once so-that not will-escape-notice-of
αὐτοὺς αἱ νῆες ἐκ τῶν Κεγχρειῶν ἀφορμηθεῖσαι.
them the ships from — Cenchreae having-set-out
οἱ δὲ μετὰ τὴν ἑορτὴν ἀνήγοντο μιᾷ καὶ εἴκοσι ναυσὶν 10.2
they and after the festival put-out with-one and twenty ships
ἐς τὴν Χίον, ἄρχοντα Ἀλκαμένη ἔχοντες. καὶ αὐτοῖς οἱ
to — Chios commander Alcamenes having and them the
Ἀθηναῖοι τὸ πρῶτον ἴσαις ναυσὶ προσπλεύσαντες ὑπῆγον
Athenians the first with-equal ships having-sailed-up drew-on
ἐς τὸ πέλαγος. ὡς δ' ἐπὶ πολὺ οὐκ ἐπηκολούθησαν οἱ
to the open-sea when but for long not followed the

Πελοποννήσιοι, ἀλλ᾽ ἀπετράποντο, ἐπανεχώρησαν καὶ οἱ
Peloponnesians but turned-back withdrew also the
Ἀθηναῖοι· τὰς γὰρ τῶν Χίων ἑπτὰ ναῦς ἐν τῷ ἀριθμῷ
Athenians the for of-the Chians seven ships in the number
μετὰ σφῶν ἔχοντες οὐ πιστὰς ἐνόμιζον,
with them having not trustworthy they-thought
10.3 ἀλλ᾽ ὕστερον ἄλλας προσπληρώσαντες ἐς ἑπτὰ καὶ
but later others having-manned-in-addition up-to seven and
τριάκοντα παραπλέοντας αὐτοὺς καταδιώκουσιν ἐς
thirty sailing-along them they-pursue into
Σπείραιον τῆς Κορινθίας· ἔστι δὲ λιμὴν ἐρῆμος καὶ
Spiraeum — of-Corinthian-land it-is and harbor deserted and
ἔσχατος πρὸς τὰ μεθόρια τῆς Ἐπιδαυρίας. καὶ μίαν
last toward the borders — of-Epidaurian-land and one
μὲν ναῦν ἀπολλύασι μετέωρον οἱ Πελοποννήσιοι, τὰς δὲ
indeed ship lose afloat the Peloponnesians the and
ἄλλας ξυναγαγόντες ὁρμίζουσιν.
others having-brought-together they-moor
10.4 καὶ προσβαλόντων τῶν Ἀθηναίων καὶ κατὰ θάλασσαν
and having-attacked the Athenians both by sea
ταῖς ναυσὶ καὶ ἐς τὴν γῆν ἀποβάντων θόρυβός τε
with-the ships and onto the land having-disembarked confusion both
ἐγένετο πολὺς καὶ ἄτακτος, καὶ τῶν τε νεῶν τὰς πλείους
arose great and disorderly and of-the both ships the most
κατατραυματίζουσιν ἐν τῇ γῇ οἱ Ἀθηναῖοι καὶ τὸν ἄρχοντα
disable on the land the Athenians and the commander
Ἀλκαμένη ἀποκτείνουσιν· καὶ αὐτῶν τινὲς ἀπέθανον.
Alcamenes kill and of-them some died
11.1 διακριθέντες δὲ πρὸς μὲν τὰς πολεμίας ναῦς ἐπέταξαν
having-separated and against indeed the enemy ships they-assigned
ἐφορμεῖν ἱκανάς, ταῖς δὲ λοιπαῖς ἐς τὸ νησίδιον
to-blockade sufficient with-the and remaining at the islet

ὁρμίζονται ἐν ᾧ οὐ πολὺ ἀπέχοντι ἐστρατοπεδεύοντο,
anchor on which not far being-distant they-encamped
καὶ ἐς τὰς Ἀθήνας ἐπὶ βοήθειαν ἔπεμπον.
and to — Athens for help they-sent
παρῆσαν γὰρ καὶ τοῖς Πελοποννησίοις τῇ ὑστεραίᾳ οἵ τε 11.2
were-present for also for-the Peloponnesians on-the next-day the both
Κορίνθιοι βοηθοῦντες ἐπὶ τὰς ναῦς καὶ οὐ πολλῷ ὕστερον
Corinthians coming-to-help to the ships and not much later
καὶ οἱ ἄλλοι πρόσχωροι. καὶ ὁρῶντες τὴν φυλακὴν ἐν
also the others neighbors and seeing the guarding in
χωρίῳ ἐρήμῳ ἐπίπονον οὖσαν ἠπόρουν, καὶ ἐπενόησαν
place deserted toilsome being were-at-a-loss and they-thought
μὲν κατακαῦσαι τὰς ναῦς, ἔπειτα δὲ ἔδοξεν αὐτοῖς
indeed to-burn the ships then but it-seemed-good to-them
ἀνελκύσαι καὶ τῷ πεζῷ προσκαθημένους φυλακὴν ἔχειν,
to-haul-up and with-the infantry sitting-by guard to-keep
ἕως ἄν τις παρατύχῃ διαφυγὴ ἐπιτηδεία. ἔπεμψε δ' αὐτοῖς
until — some should-turn-up escape suitable sent and to-them
καὶ Ἄγις αἰσθόμενος ταῦτα ἄνδρα Σπαρτιάτην Θέρμωνα.
also Agis having-perceived these-things a-man Spartiate Thermon
τοῖς δὲ Λακεδαιμονίοις πρῶτον μὲν ἠγγέλθη ὅτι αἱ 11.3
to-the and Lacedaemonians first indeed it-was-announced that the
νῆες ἀνηγμέναι εἰσὶν ἐκ τοῦ Ἰσθμοῦ (εἴρητο γάρ,
ships having-put-out are from the Isthmus it-had-been-told for
ὅταν γένηται τοῦτο, Ἀλκαμένει ὑπὸ τῶν ἐφόρων ἱππέα
when should-happen this to-Alcamenes by the ephors a-horseman
πέμψαι), καὶ εὐθὺς τὰς παρὰ σφῶν πέντε ναῦς καὶ
to-send and at-once the from them five ships and
Χαλκιδέα ἄρχοντα καὶ Ἀλκιβιάδην μετ' αὐτοῦ ἐβούλοντο
Chalcideus commander and Alcibiades with him wished
πέμπειν· ἔπειτα ὡρμημένων αὐτῶν τὰ περὶ τὴν ἐν τῷ
to-send then having-set-out them the-affairs about the in —

Σπειραίῳ τῶν νεῶν καταφυγὴν ἠγγέλθη, καὶ ἀθυμήσαντες,
Spiraeum of-the ships refuge was-announced and having-lost-heart
ὅτι πρῶτον ἁπτόμενοι τοῦ Ἰωνικοῦ πολέμου ἔπταισαν,
because first engaging of-the Ionian war they-stumbled
τὰς ναῦς τὰς ἐκ τῆς ἑαυτῶν οὐκέτι διενοοῦντο
the ships the from the their-own(-land) no-longer intended
πέμπειν, ἀλλὰ καί τινας προαναγμένας μετακαλεῖν.
to-send but also some having-put-out-beforehand to-recall

IV · CHIOS AND MILETUS REVOLT

Alcibiades persuades Endius and the ephors to let him sail, promising that the Ionians will revolt at his word. He sails with Chalcideus and five ships, comes to Chios unannounced, and Chios and Erythrae revolt, and then Clazomenae. In alarm the Athenians repeal the penalty against touching their reserve of a thousand talents and send ships to Samos. Teos is won over. Alcibiades and Chalcideus sail for Miletus, which revolts, and the first alliance between the Spartans and the king is made through Tissaphernes and Chalcideus.

12.1 γνοὺς δὲ ὁ Ἀλκιβιάδης πείθει αὖθις Ἔνδιον καὶ τοὺς
having-learned and — Alcibiades persuades again Endius and the
ἄλλους ἐφόρους μὴ ἀποκνῆσαι τὸν πλοῦν, λέγων ὅτι
other ephors not to-shrink-from the voyage saying that
φθήσονταί τε πλεύσαντες πρὶν τὴν τῶν νεῶν ξυμφορὰν
they-will-anticipate both having-sailed before the of-the ships misfortune
Χίους αἰσθέσθαι, καὶ αὐτὸς ὅταν προσβάλῃ Ἰωνίᾳ, ῥᾳδίως
Chians to-perceive and himself when he-reaches Ionia easily
πείσειν τὰς πόλεις ἀφίστασθαι τήν τε τῶν Ἀθηναίων
to-persuade the cities to-revolt the both of-the Athenians

λέγων ἀσθένειαν καὶ τὴν τῶν Λακεδαιμονίων προθυμίαν·
telling-of weakness and the of-the Lacedaemonians eagerness
πιστότερος γὰρ ἄλλων φανεῖσθαι.
more-trustworthy for than-others to-appear
Ἐνδίῳ τε αὐτῷ ἰδίᾳ ἔλεγε καλὸν εἶναι δι' ἐκείνου 12.2
to-Endius both himself privately he-said fine to-be through that-man
ἀποστῆσαί τε Ἰωνίαν καὶ βασιλέα ξύμμαχον ποιῆσαι
to-detach both Ionia and king ally to-make
Λακεδαιμονίοις, καὶ μὴ Ἄγιδος τὸ ἀγώνισμα τοῦτο
for-Lacedaemonians and not of-Agis the achievement this
γενέσθαι· ἐτύγχανε γὰρ τῷ Ἄγιδι αὐτὸς διάφορος ὤν.
to-become he-happened for — with-Agis himself at-odds being
καὶ ὁ μὲν πείσας τούς τε ἄλλους ἐφόρους καὶ 12.3
and he indeed having-persuaded the both other ephors and
Ἔνδιον ἀνήγετο ταῖς πέντε ναυσὶ μετὰ Χαλκιδέως τοῦ
Endius put-out with-the five ships with Chalcideus the
Λακεδαιμονίου, καὶ διὰ τάχους τὸν πλοῦν ἐποιοῦντο.
Lacedaemonian and through speed the voyage they-made
ἀνεκομίζοντο δὲ ὑπὸ τὸν αὐτὸν χρόνον τοῦτον καὶ αἱ 13.1
were-returning and about the same time this also the
ἀπὸ τῆς Σικελίας Πελοποννησίων ἑκκαίδεκα νῆες αἱ
from — Sicily of-Peloponnesians sixteen ships the
μετὰ Γυλίππου ξυνδιαπολεμήσασαι· καὶ περὶ τὴν Λευκάδα
with Gylippus having-helped-fight-out-the-war and about — Leucas
ἀποληφθεῖσαι καὶ κοπεῖσαι ὑπὸ τῶν Ἀττικῶν ἑπτὰ
having-been-cut-off and having-been-battered by the Attic seven
καὶ εἴκοσι νεῶν, ὧν ἦρχεν Ἱπποκλῆς Μενίππου φυλακὴν
and twenty ships which commanded Hippocles of-Menippus guard
ἔχων τῶν ἀπὸ τῆς Σικελίας νεῶν, αἱ λοιπαὶ πλὴν μιᾶς
having of-the from — Sicily ships the remaining except one
διαφυγοῦσαι τοὺς Ἀθηναίους κατέπλευσαν ἐς τὴν Κόρινθον.
having-escaped the Athenians sailed-in to — Corinth

14.1 ὁ δὲ Χαλκιδεὺς καὶ ὁ Ἀλκιβιάδης πλέοντες ὅσοις τε
— and Chalcideus and — Alcibiades sailing whomever both
ἐπιτύχοιεν ξυνελάμβανον τοῦ μὴ ἐξάγγελτοι γενέσθαι,
they-met seized for-the not reported to-become
καὶ προσβαλόντες πρῶτον Κωρύκῳ τῆς ἠπείρου καὶ
and having-touched first at-Corycus of-the mainland and
ἀφέντες ἐνταῦθα αὐτοὺς αὐτοὶ μὲν προξυγγενόμενοι τῶν
having-released there them themselves indeed having-met-beforehand with-the
ξυμπρασσόντων Χίων τισὶ καὶ κελευόντων καταπλεῖν μὴ
co-operating Chians some and urging to-sail-in not
προειπόντας ἐς τὴν πόλιν, ἀφικνοῦνται αἰφνίδιοι τοῖς Χίοις.
having-announced to the city arrive suddenly to-the Chians
14.2 καὶ οἱ μὲν πολλοὶ ἐν θαύματι ἦσαν καὶ ἐκπλήξει· τοῖς δ'
and the indeed many in amazement were and dismay for-the and
ὀλίγοις παρεσκεύαστο ὥστε βουλὴν τυχεῖν ξυλλεγομένην, καὶ
few it-had-been-arranged so-that council to-happen being-assembled and
γενομένων λόγων ἀπό τε τοῦ Χαλκιδέως καὶ Ἀλκιβιάδου
having-happened speeches from both — Chalcideus and Alcibiades
ὡς ἄλλαι νῆες πολλαὶ προσπλέουσι καὶ τὰ περὶ τῆς
that other ships many are-sailing-up and the-things about the
πολιορκίας τῶν ἐν τῷ Σπειραίῳ νεῶν οὐ δηλωσάντων,
siege of-the in — Spiraeum ships not having-revealed
ἀφίστανται Χῖοι καὶ αὖθις Ἐρυθραῖοι Ἀθηναίων.
revolt Chians and again Erythraeans from-Athenians
14.3 καὶ μετὰ ταῦτα τρισὶ ναυσὶ πλεύσαντες καὶ Κλαζομενὰς
and after these-things with-three ships having-sailed also Clazomenae
ἀφιστᾶσιν. διαβάντες τε εὐθὺς οἱ Κλαζομένιοι ἐς τὴν
they-cause-to-revolt having-crossed both at-once the Clazomenians to the
ἤπειρον τὴν Πολίχναν ἐτείχιζον, εἴ τι δέοι, σφίσιν
mainland — Polichna fortified if anything should-be-needed for-them
αὐτοῖς ἐκ τῆς νησῖδος ἐν ᾗ οἰκοῦσι πρὸς ἀναχώρησιν.
selves from the islet in which they-dwell for retreat

καὶ οἱ μὲν ἀφεστῶτες ἐν τειχισμῷ τε πάντες ἦσαν καὶ
and the indeed having-revolted in fortifying both all were and
παρασκευῇ πολέμου·
preparation of-war
ἐς δὲ τὰς Ἀθήνας ταχὺ ἀγγελία τῆς Χίου ἀφικνεῖται· 15.1
to and — Athens quickly news — of-Chios arrives
καὶ νομίσαντες μέγαν ἤδη καὶ σαφῆ τὸν κίνδυνον σφᾶς
and having-thought great already and clear the danger them
περιεστάναι, καὶ τοὺς λοιποὺς ξυμμάχους οὐκ ἐθελήσειν
to-surround and the remaining allies not to-be-willing
τῆς μεγίστης πόλεως μεθεστηκυίας ἡσυχάζειν, τά τε
the greatest city having-changed-sides to-keep-quiet the both
χίλια τάλαντα, ὧν διὰ παντὸς τοῦ πολέμου ἐγλίχοντο
thousand talents of-which through all the war they-were-eager
μὴ ἅψασθαι, εὐθὺς ἔλυσαν τὰς ἐπικειμένας ζημίας τῷ
not to-touch at-once they-repealed the laid-down penalties for-the
εἰπόντι ἢ ἐπιψηφίσαντι ὑπὸ τῆς παρούσης ἐκπλήξεως,
having-proposed or having-put-to-the-vote by the present dismay
καὶ ἐψηφίσαντο κινεῖν καὶ ναῦς πληροῦν οὐκ ὀλίγας,
and voted to-move(-them) and ships to-man not few
τῶν τε ἐν τῷ Σπειραίῳ ἐφορμουσῶν τὰς μὲν ὀκτὼ
of-the both at — Spiraeum blockading the indeed eight
ἤδη πέμπειν, αἳ ἀπολιποῦσαι τὴν φυλακὴν τὰς μετὰ
already to-send which having-left the guard the with
Χαλκιδέως διώξασαι καὶ οὐ καταλαβοῦσαι ἀνεκεχωρήκεσαν
Chalcideus having-pursued and not having-overtaken had-returned
(ἦρχε δὲ αὐτῶν Στρομβιχίδης Διοτίμου), ἄλλας δὲ
commanded and them Strombichides of-Diotimus others and
οὐ πολὺ ὕστερον βοηθεῖν δώδεκα μετὰ Θρασυκλέους,
not much later to-help twelve with Thrasycles
ἀπολιπούσας καὶ ταύτας τὴν ἐφόρμησιν.
having-left also these the blockade

15.2 τάς τε τῶν Χίων ἑπτὰ ναῦς, αἳ αὐτοῖς ξυνεπολιόρκουν
the both of-the Chians seven ships which with-them were-helping-blockade
τὰς ἐν τῷ Σπειραίῳ, ἀπαγαγόντες τοὺς μὲν δούλους
the-ones at — Spiraeum having-brought-away the indeed slaves
ἐξ αὐτῶν ἠλευθέρωσαν, τοὺς δ' ἐλευθέρους κατέδησαν.
from them freed the and free bound
ἑτέρας δὲ δέκα ἀντὶ πασῶν τῶν ἀπελθουσῶν νεῶν
others and ten instead-of all the having-gone ships
ἐς τὴν ἐφόρμησιν τῶν Πελοποννησίων διὰ τάχους
to the blockade of-the Peloponnesians through speed
πληρώσαντες ἀντέπεμψαν καὶ ἄλλας διενοοῦντο τριάκοντα
having-manned sent-in-their-place and others intended thirty
πληροῦν. καὶ πολλὴ ἦν ἡ προθυμία καὶ ὀλίγον ἐπράσσετο
to-man and great was the eagerness and little was-done
οὐδὲν ἐς τὴν βοήθειαν τὴν ἐπὶ τὴν Χίον.
nothing for the help the to — Chios

16.1 ἐν δὲ τούτῳ Στρομβιχίδης ταῖς ὀκτὼ ναυσὶν ἀφικνεῖται
in and this Strombichides with-the eight ships arrives
ἐς Σάμον, καὶ προσλαβὼν Σαμίαν μίαν ἔπλευσεν ἐς
at Samos and having-taken-in-addition Samian one sailed to
Τέων καὶ ἡσυχάζειν ἠξίου αὐτούς. ἐκ δὲ τῆς Χίου ἐς
Teos and to-keep-quiet thought-fit them from and — Chios to
τὴν Τέων καὶ ὁ Χαλκιδεὺς μετὰ τριῶν καὶ εἴκοσι νεῶν
— Teos also — Chalcideus with three and twenty ships
ἐπέπλει καὶ ὁ πεζὸς ἅμα ὁ τῶν Κλαζομενίων
sailed-against and the infantry at-the-same-time the of-the Clazomenians
καὶ Ἐρυθραίων παρῄει.
and Erythraeans came-along

16.2 προαισθόμενος δὲ ὁ Στρομβιχίδης ἐξανήγετο καὶ
having-perceived-beforehand and — Strombichides put-out and
demanded for so-much exceeding — Alcibiades speaking
αὐτὸς ὑπὲρ παρόντος τοῦ Τισσαφέρνους, ὥστε τὸ τῶν
himself on-behalf-of being-present — Tissaphernes so-that the(-part) of-the
Ἀθηναίων, καίπερ ἐπὶ πολὺ ὅτι αἰτοίη ξυγχωρούντων,
Athenians although for long whatever he-demanded agreeing
ὅμως αἴτιον γενέσθαι· Ἰωνίαν τε γὰρ πᾶσαν ἠξίου
nevertheless responsible to-become Ionia both for whole he-claimed

δίδοσθαι καὶ αὖθις νήσους τε τὰς ἐπικειμένας καὶ ἄλλα,
to-be-given and again islands both the lying-off and other-things
οἷς οὐκ ἐναντιουμένων τῶν Ἀθηναίων τέλος ἐν τῇ
to-which not opposing the Athenians finally in the
τρίτῃ ἤδη ξυνόδῳ, δείσας μὴ πάνυ φωραθῇ ἀδύνατος
third already meeting having-feared lest utterly he-be-detected unable
ὤν, ναῦς ἠξίου ἐᾶν βασιλέα ποιεῖσθαι καὶ παραπλεῖν
being ships he-claimed to-allow king to-build and to-sail-along
τὴν ἑαυτοῦ γῆν ὅπῃ ἂν καὶ ὅσαις ἂν βούληται.
the his-own land wherever — and with-as-many-as — he-wishes
ἐνταῦθα δὴ οὐκέτι ∗∗∗ ἀλλ' ἄπορα νομίσαντες οἱ
there indeed no-longer (lacuna) but impracticable having-thought the
Ἀθηναῖοι καὶ ὑπὸ τοῦ Ἀλκιβιάδου ἐξηπατῆσθαι, δι'
Athenians and by — Alcibiades to-have-been-deceived through
ὀργῆς ἀπελθόντες κομίζονται ἐς τὴν Σάμον.
anger having-gone-away are-conveyed to — Samos

57.1 Τισσαφέρνης δὲ εὐθὺς μετὰ ταῦτα καὶ ἐν τῷ αὐτῷ
Tissaphernes and at-once after these-things and in the same
χειμῶνι παρέρχεται ἐς τὴν Καῦνον, βουλόμενος τοὺς
winter goes to — Caunus wishing the
Πελοποννησίους πάλιν τε κομίσαι ἐς τὴν Μίλητον καὶ
Peloponnesians back both to-bring to — Miletus and
ξυνθήκας ἔτι ἄλλας ποιησάμενος, ἃς ἂν δύνηται,
compacts still other having-made whatever — he-can
τροφήν τε παρέχειν καὶ μὴ παντάπασιν ἐκπεπολεμῶσθαι,
maintenance both to-provide and not altogether to-be-made-hostile
δεδιὼς μή, ἢν ἀπορῶσι πολλαῖς ναυσὶ τῆς τροφῆς,
fearing lest if they-are-at-a-loss with-many ships of-the maintenance
ἢ τοῖς Ἀθηναίοις ἀναγκασθέντες ναυμαχεῖν ἡσσηθῶσιν
either with-the Athenians having-been-compelled to-fight-at-sea they-be-defeated
ἢ κενωθεισῶν τῶν νεῶν ἄνευ ἑαυτοῦ γένηται τοῖς
or having-been-emptied the ships without himself happen for-the

Ἀθηναίοις ἃ βούλονται. ἔτι δὲ ἐφοβεῖτο μάλιστα μὴ
Athenians what they-wish still and he-feared most lest
τῆς τροφῆς ζητήσει πορθήσωσι τὴν ἤπειρον.
of-the maintenance in-search they-ravage the mainland
πάντων οὖν τούτων λογισμῷ καὶ προνοίᾳ, ὥσπερ ἐβούλετο 57.2
of-all then these-things by-calculation and foresight as he-wished
ἐπανισοῦν τοὺς Ἕλληνας πρὸς ἀλλήλους, μεταπεμψάμενος
to-equalize the Greeks against one-another having-sent-for
οὖν τοὺς Πελοποννησίους τροφήν τε αὐτοῖς δίδωσι καὶ
then the Peloponnesians maintenance both to-them gives and
σπονδὰς τρίτας τάσδε σπένδεται.
treaty third the-following concludes

XIII · THE TERMS OF THE THIRD TREATY

The third treaty is dated to the thirteenth year of Darius and the ephorate of Alexippidas, and it is made in the plain of the Maeander. The king's land in Asia is his to rule as he wishes. Neither side will attack the other's land, and each will stop its own people from doing so. Tissaphernes will pay the Peloponnesian fleet until the king's ships arrive, and after that the Peloponnesians may pay their own fleet or take their pay from Tissaphernes and repay it at the end of the war. The two sides will make war on Athens together, and they will make peace with Athens only together.

Τρίτῳ καὶ δεκάτῳ ἔτει Δαρείου βασιλεύοντος, ἐφορεύοντος 58.1
in-the-third and tenth year Darius reigning being-ephor
δὲ Ἀλεξιππίδα ἐν Λακεδαίμονι, ξυνθῆκαι ἐγένοντο ἐν
and Alexippidas in Lacedaemon compacts were-made in
Μαιάνδρου πεδίῳ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων πρὸς
of-Maeander plain of-Lacedaemonians and of-the allies with
Τισσαφέρνην καὶ Ἱεραμένη καὶ τοὺς Φαρνάκου παῖδας
Tissaphernes and Hieramenes and the of-Pharnaces sons

περὶ τῶν βασιλέως πραγμάτων καὶ Λακεδαιμονίων καὶ
about the of-king affairs and of-Lacedaemonians and
τῶν ξυμμάχων.
of-the allies

58.2 χώραν τὴν βασιλέως, ὅση τῆς Ἀσίας ἐστί, βασιλέως
country the of-king as-much-as — of-Asia is of-king
εἶναι· καὶ περὶ τῆς χώρας τῆς ἑαυτοῦ βουλευέτω βασιλεὺς
to-be and about the country the his-own let-decide king
ὅπως βούλεται.
as he-wishes

58.3 Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους μὴ ἰέναι ἐπὶ χώραν
Lacedaemonians and and the allies not to-go against country
τὴν βασιλέως ἐπὶ κακῷ μηδενί, μηδὲ βασιλέα ἐπὶ τὴν
the of-king for harm none nor king against the
Λακεδαιμονίων χώραν μηδὲ τῶν ξυμμάχων ἐπὶ κακῷ μηδενί.
of-Lacedaemonians country nor of-the allies for harm none

58.4 ἢν δέ τις Λακεδαιμονίων ἢ τῶν ξυμμάχων ἐπὶ κακῷ ἴῃ ἐπὶ
if and anyone of-Lacedaemonians or of-the allies for harm go against
τὴν βασιλέως χώραν, Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους
the of-king country Lacedaemonians and the allies
κωλύειν· καὶ ἤν τις ἐκ τῆς βασιλέως ἴῃ ἐπὶ κακῷ ἐπὶ
to-prevent and if anyone from the of-king go for harm against
Λακεδαιμονίους ἢ τοὺς ξυμμάχους, βασιλεὺς κωλυέτω.
Lacedaemonians or the allies king let-prevent

58.5 τροφὴν δὲ ταῖς ναυσὶ ταῖς νῦν παρούσαις Τισσαφέρνην
maintenance and for-the ships the now present Tissaphernes
παρέχειν κατὰ τὰ ξυγκείμενα μέχρι ἂν αἱ νῆες αἱ
to-provide according-to the agreed until — the ships the
βασιλέως ἔλθωσιν·
of-king come

Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους, ἐπὴν αἱ βασιλέως 58.6
Lacedaemonians and and the allies when the of-king
νῆες ἀφίκωνται, τὰς ἑαυτῶν ναῦς, ἢν βούλωνται, τρέφειν
ships arrive the their-own ships if they-wish to-maintain
ἐφ' ἑαυτοῖς εἶναι. ἢν δὲ παρὰ Τισσαφέρνους λαμβάνειν
on themselves to-be if but from Tissaphernes to-receive
ἐθέλωσι τὴν τροφήν, Τισσαφέρνην παρέχειν, Λακεδαιμονίους
they-wish the maintenance Tissaphernes to-provide Lacedaemonians
δὲ καὶ τοὺς ξυμμάχους τελευτῶντος τοῦ πολέμου τὰ
and and the allies ending the war the
χρήματα Τισσαφέρνει ἀποδοῦναι ὁπόσα ἂν λάβωσιν.
money to-Tissaphernes to-repay as-much-as — they-receive
ἐπὴν δὲ αἱ βασιλέως νῆες ἀφίκωνται, αἵ τε Λακεδαιμονίων 58.7
when and the of-king ships arrive the both of-Lacedaemonians
νῆες καὶ αἱ τῶν ξυμμάχων καὶ αἱ βασιλέως κοινῇ τὸν
ships and the of-the allies and the of-king in-common the
πόλεμον πολεμούντων καθ' ὅτι ἂν Τισσαφέρνει δοκῇ
war let-them-wage according-to whatever — to-Tissaphernes seems
καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις. ἢν δὲ καταλύειν
and to-Lacedaemonians and to-the allies if and to-end
βούλωνται πρὸς Ἀθηναίους, ἐν ὁμοίῳ καταλύεσθαι.'
they-wish with Athenians on equal(-terms) to-end

After the treaty Tissaphernes prepares to bring the Phoenician ships as he had promised. The Boeotians take Oropus by treachery, and the Eretrians ask the Peloponnesians at Rhodes to help Euboea revolt. The Peloponnesians sail from Rhodes to Miletus, and the winter and the twentieth year of the war end. In the spring the Chians, pressed by the siege, fight a hard sea battle against the Athenians with thirty-six ships to thirty-two and hold their own. Dercylidas marches overland to the Hellespont, and Abydos and Lampsacus revolt. Strombichides hurries with ships from Chios, recovers Lampsacus, fails at Abydos, and sets up Sestus, which the Persians once held, as a fort and guard post for the whole Hellespont.

59.1 αἱ μὲν σπονδαὶ αὗται ἐγένοντο, καὶ μετὰ ταῦτα
the indeed treaty this was-made and after these-things
παρεσκευάζετο Τισσαφέρνης τάς τε Φοινίσσας ναῦς
prepared Tissaphernes the both Phoenician ships
ἄξων, ὥσπερ εἴρητο, καὶ τἆλλα ὅσαπερ ὑπέσχετο,
going-to-bring as had-been-said and the-rest as-many-as he-promised
καὶ ἐβούλετο παρασκευαζόμενος γοῦν δῆλος εἶναι·
and wished preparing at-any-rate evident to-be
60.1 Βοιωτοὶ δὲ τελευτῶντος ἤδη τοῦ χειμῶνος Ὠρωπὸν
Boeotians and ending already the winter Oropus
εἷλον προδοσίᾳ, Ἀθηναίων ἐμφρουρούντων. ξυνέπραξαν δὲ
took by-betrayal Athenians garrisoning co-operated and
Ἐρετριῶν τε ἄνδρες καὶ αὐτῶν Ὠρωπίων, ἐπιβουλεύοντες
of-Eretrians both men and of-themselves Oropians plotting
ἀπόστασιν τῆς Εὐβοίας· ἐπὶ γὰρ τῇ Ἐρετρίᾳ τὸ χωρίον
revolt — of-Euboea over for — Eretria the place
ὂν ἀδύνατα ἦν Ἀθηναίων ἐχόντων μὴ οὐ μεγάλα
being impossible it-was Athenians holding — not great(-harm)
βλάπτειν καὶ Ἐρέτριαν καὶ τὴν ἄλλην Εὔβοιαν.
to-do both Eretria and the other Euboea

ἔχοντες οὖν ἤδη τὸν Ὠρωπὸν ἀφικνοῦνται ἐς Ῥόδον 60.2
having then already — Oropus arrive at Rhodes
οἱ Ἐρετριῆς, ἐπικαλούμενοι ἐς τὴν Εὔβοιαν τοὺς
the Eretrians summoning to — Euboea the
Πελοποννησίους. οἱ δὲ πρὸς τὴν τῆς Χίου κακουμένης
Peloponnesians they and toward the — of-Chios being-harmed
βοήθειαν μᾶλλον ὥρμηντο, καὶ ἄραντες πάσαις ταῖς
help rather were-eager and having-set-out with-all the
ναυσὶν ἐκ τῆς Ῥόδου ἔπλεον.
ships from — Rhodes sailed
καὶ γενόμενοι περὶ τὸ Τριόπιον καθορῶσι τὰς τῶν 60.3
and having-come about — Triopium they-see the of-the
Ἀθηναίων ναῦς πελαγίας ἀπὸ τῆς Χάλκης πλεούσας· καὶ
Athenians ships in-the-open-sea from — Chalce sailing and
ὡς οὐδέτεροι ἀλλήλοις ἐπέπλεον, ἀφικνοῦνται οἱ μὲν ἐς
as neither one-another sailed-against arrive the-ones indeed at
τὴν Σάμον, οἱ δὲ ἐς τὴν Μίλητον, καὶ ἑώρων οὐκέτι
— Samos the-others and at — Miletus and they-saw no-longer
ἄνευ ναυμαχίας οἷόν τε εἶναι ἐς τὴν Χίον βοηθῆσαι. καὶ
without sea-battle possible — to-be to — Chios to-help and
ὁ χειμὼν ἐτελεύτα οὗτος, καὶ εἰκοστὸν ἔτος τῷ πολέμῳ
the winter ended this and twentieth year for-the war
ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.
ended this which Thucydides wrote
τοῦ δ' ἐπιγιγνομένου θέρους ἅμα τῷ ἦρι εὐθὺς 61.1
in-the and following summer together-with the spring at-once
ἀρχομένῳ Δερκυλίδας τε ἀνὴρ Σπαρτιάτης στρατιὰν ἔχων
beginning Dercylidas both a-man Spartiate army having
οὐ πολλὴν παρεπέμφθη πεζῇ ἐφ' Ἑλλησπόντου Ἄβυδον
not large was-sent-along by-land to Hellespont Abydos
ἀποστήσων (εἰσὶ δὲ Μιλησίων ἄποικοι), καὶ οἱ Χῖοι,
going-to-cause-to-revolt they-are and of-Milesians colonists and the Chians

ἐν ὅσῳ αὐτοῖς ὁ Ἀστύοχος ἠπόρει ὅπως βοηθήσοι,
in while for-them — Astyochus was-at-a-loss how he-should-help
ναυμαχῆσαι πιεζόμενοι τῇ πολιορκίᾳ ἠναγκάσθησαν.
to-fight-at-sea being-pressed by-the siege were-compelled
61.2 ἔτυχον δὲ ἔτι ἐν Ῥόδῳ ὄντος Ἀστυόχου ἐκ τῆς Μιλήτου
happened and still at Rhodes being Astyochus from — Miletus
Λέοντά τε ἄνδρα Σπαρτιάτην, ὃς Ἀντισθένει ἐπιβάτης
Leon both a-man Spartiate who with-Antisthenes as-marine
ξυνεξῆλθε, τοῦτον κεκομισμένοι μετὰ τὸν Πεδαρίτου θάνατον
came-out-with this-man having-brought after the of-Pedaritus death
ἄρχοντα καὶ ναῦς δώδεκα, αἷ ἔτυχον φύλακες Μιλήτου
as-commander and ships twelve which happened guards of-Miletus
οὖσαι, ὧν ἦσαν Θούριαι πέντε καὶ Συρακόσιαι τέσσαρες
being of-which were Thurian five and Syracusan four
καὶ μία Ἀναιῖτις καὶ μία Μιλησία καὶ Λέοντος μία.
and one Anaean and one Milesian and of-Leon one
61.3 ἐπεξελθόντων δὲ τῶν Χίων πανδημεὶ καὶ καταλαβόντων
having-come-out and the Chians in-full-force and having-occupied
τι ἐρυμνὸν χωρίον καὶ τῶν νεῶν αὐτοῖς ἅμα ἓξ
some strong place and the ships for-them at-the-same-time six
καὶ τριάκοντα ἐπὶ τὰς τῶν Ἀθηναίων δύο καὶ τριάκοντα
and thirty against the of-the Athenians two and thirty
ἀναγαγομένων ἐναυμάχησαν· καὶ καρτερᾶς γενομένης
having-put-out fought-at-sea and fierce having-become
ναυμαχίας οὐκ ἔλασσον ἔχοντες ἐν τῷ ἔργῳ οἱ Χῖοι καὶ οἱ
sea-battle not less having in the action the Chians and the
ξύμμαχοι (ἤδη γὰρ καὶ ὀψὲ ἦν) ἀνεχώρησαν ἐς τὴν πόλιν.
allies already for also late it-was withdrew to the city
62.1 μετὰ δὲ τοῦτο εὐθὺς τοῦ Δερκυλίδου πεζῇ ἐκ τῆς Μιλήτου
after and this at-once — Dercylidas by-land from — Miletus
παρελθόντος Ἄβυδος ἐν τῷ Ἑλλησπόντῳ ἀφίσταται
having-gone-along Abydos in — Hellespont revolts

πρὸς Δερκυλίδαν καὶ Φαρνάβαζον, καὶ Λάμψακος δυοῖν
to Dercylidas and Pharnabazus and Lampsacus two
ἡμέραιν ὕστερον.
days later
Στρομβιχίδης δὲ ἐκ τῆς Χίου πυθόμενος κατὰ τάχος 62.2
Strombichides and from — Chios having-learned with speed
βοηθήσας ναυσὶν Ἀθηναίων τέσσαρσι καὶ εἴκοσιν, ὧν
having-come-to-help with-ships of-Athenians four and twenty of-which
καὶ στρατιώτιδες ἦσαν ὁπλίτας ἄγουσαι, ἐπεξελθόντων
also troop-ships were hoplites carrying having-come-out
τῶν Λαμψακηνῶν μάχῃ κρατήσας καὶ αὐτοβοεὶ
the Lampsacenes in-battle having-prevailed and at-the-first-shout
Λάμψακον ἀτείχιστον οὖσαν ἑλών, καὶ σκεύη μὲν καὶ
Lampsacus unwalled being having-taken and goods indeed and
ἀνδράποδα ἁρπαγὴν ποιησάμενος, τοὺς δ' ἐλευθέρους
slaves plunder having-made the and free
πάλιν κατοικίσας, ἐπ' Ἄβυδον ἦλθεν.
again having-resettled against Abydos came
καὶ ὡς οὔτε προσεχώρουν οὔτε προσβάλλων ἐδύνατο 62.3
and as neither they-came-over nor attacking he-could
ἑλεῖν, ἐς τὸ ἀντιπέρας τῆς Ἀβύδου ἀποπλεύσας Σηστὸν
take to the opposite — of-Abydos having-sailed-off Sestus
πόλιν τῆς Χερσονήσου, ἥν ποτε Μῆδοι εἶχον, καθίστατο
city — of-Chersonese which once Medes held established
φρούριον καὶ φυλακὴν τοῦ παντὸς Ἑλλησπόντου.
fort and guard of-the whole Hellespont

The Chians gain control of their waters, and Astyochus offers battle at Samos. The oligarchs at Samos decide to give up Alcibiades and to carry out the revolution alone. Pisander and his envoys set up oligarchies in the subject cities on their way to Athens, and Diitrephes does so at Thasos, which then revolts. At Athens the plotters' party has already done most of the work. Young men murder Androcles, a leader of the people, and others, and they propose that none but those serving in the field be paid and that the government be in the hands of five thousand. Terror holds the assembly and council, and no one speaks against them, since no one knows whom to trust.

63.1 ἐν τούτῳ δὲ οἱ Χῖοί τε θαλασσοκράτορες μᾶλλον ἐγένοντο
in this and the Chians both masters-of-the-sea more became
καὶ οἱ ἐν τῇ Μιλήτῳ καὶ ὁ Ἀστύοχος πυθόμενος
and the-ones in — Miletus and — Astyochus having-learned
τὰ περὶ τῆς ναυμαχίας καὶ τὸν Στρομβιχίδην καὶ τὰς
the-things about the sea-battle and — Strombichides and the
ναῦς ἀπεληλυθότα ἐθάρσησεν.
ships having-gone-away took-courage

63.2 καὶ παραπλεύσας δυοῖν νεοῖν Ἀστύοχος ἐς Χίον κομίζει
and having-sailed-along with-two ships Astyochus to Chios brings
αὐτόθεν τὰς ναῦς καὶ ξυμπάσαις ἤδη ἐπίπλουν ποιεῖται ἐπὶ
from-there the ships and with-all now attack makes against
τὴν Σάμον· καὶ ὡς αὐτῷ διὰ τὸ ἀλλήλοις ὑπόπτως
— Samos and when to-him because-of the toward-one-another suspiciously
ἔχειν οὐκ ἀντανήγοντο, ἀπέπλευσε πάλιν ἐς τὴν Μίλητον.
to-be not they-put-out-against sailed-away again to — Miletus

63.3 ὑπὸ γὰρ τοῦτον τὸν χρόνον καὶ ἔτι πρότερον ἡ ἐν
about for this the time and still before the in
ταῖς Ἀθήναις δημοκρατία κατελέλυτο. ἐπειδὴ γὰρ οἱ
— Athens democracy had-been-overthrown when for the

περὶ τὸν Πείσανδρον πρέσβεις παρὰ τοῦ Τισσαφέρνους
around — Pisander envoys from — Tissaphernes
ἐς τὴν Σάμον ἦλθον, τά τε ἐν αὐτῷ τῷ στρατεύματι
to — Samos came the-affairs both in itself the army
ἔτι βεβαιότερον κατέλαβον καὶ αὐτῶν τῶν Σαμίων
still more-securely they-secured and of-themselves the Samians
προυτρέψαντο τοὺς δυνατωτάτους ὥστε πειρᾶσθαι μετὰ
urged-on the most-powerful so-that to-attempt with
σφῶν ὀλιγαρχηθῆναι, καίπερ ἐπαναστάντας αὐτοὺς
them to-be-governed-oligarchically although having-risen-up them
ἀλλήλοις ἵνα μὴ ὀλιγαρχῶνται·
against-one-another so-that not they-be-governed-oligarchically
καὶ ἐν σφίσιν αὐτοῖς ἅμα οἱ ἐν τῇ Σάμῳ 63.4
and among them selves at-the-same-time the-ones in — Samos
τῶν Ἀθηναίων κοινολογούμενοι ἐσκέψαντο Ἀλκιβιάδην μέν,
of-the Athenians conferring considered Alcibiades indeed
ἐπειδήπερ οὐ βούλεται, ἐᾶν (καὶ γὰρ οὐκ ἐπιτήδειον
since not he-wishes to-let-be and for not suitable
αὐτὸν εἶναι ἐς ὀλιγαρχίαν ἐλθεῖν), αὐτοὺς δὲ ἐπὶ σφῶν
him to-be into oligarchy to-come themselves and by them
αὐτῶν, ὡς ἤδη καὶ κινδυνεύοντας, ὁρᾶν ὅτῳ τρόπῳ
selves as already also being-in-danger to-see in-what way
μὴ ἀνεθήσεται τὰ πράγματα, καὶ τὰ τοῦ πολέμου
not will-be-let-go the affairs and the-affairs of-the war
ἅμα ἀντέχειν καὶ ἐσφέρειν αὐτοὺς ἐκ τῶν ἰδίων
at-the-same-time to-hold-out and to-contribute themselves from the private
οἴκων προθύμως χρήματα καὶ ἤν τι ἄλλο δέῃ, ὡς
houses eagerly money and if anything else be-needed as
οὐκέτι ἄλλοις ἢ σφίσιν αὐτοῖς ταλαιπωροῦντας.
no-longer for-others than for-them selves toiling

64.1 παρακελευσάμενοι οὖν τοιαῦτα τὸν μὲν Πείσανδρον εὐθὺς
having-exhorted then such-things — indeed Pisander at-once
τότε καὶ τῶν πρέσβεων τοὺς ἡμίσεις ἀπέστελλον ἐπ᾽ οἴκου
then and of-the envoys the half they-sent-off to home
πράξοντας τἀκεῖ, καὶ εἴρητο αὐτοῖς τῶν ὑπηκόων
going-to-act the-things-there and it-had-been-told to-them of-the subject
πόλεων αἷς ἂν προσσχῶσιν ὀλιγαρχίαν καθιστάναι· τοὺς
cities at-which — they-put-in oligarchy to-establish the
δ᾽ ἡμίσεις ἐς τἆλλα τὰ ὑπήκοα χωρία ἄλλους ἄλλῃ
and half to the-other the subject places others other-where
διέπεμπον,
they-sent-round

64.2 καὶ Διειτρέφη ὄντα περὶ Χίον, ᾑρημένον δὲ ἐς τὰ
and Diitrephes being about Chios having-been-chosen and for the-parts
ἐπὶ Θρᾴκης ἄρχειν, ἀπέστελλον ἐπὶ τὴν ἀρχήν. καὶ
toward Thrace to-command they-sent-off to the command and
ἀφικόμενος ἐς τὴν Θάσον τὸν δῆμον κατέλυσεν.
having-arrived at — Thasos the people he-overthrew

64.3 καὶ ἀπελθόντος αὐτοῦ οἱ Θάσιοι δευτέρῳ μηνὶ μάλιστα τὴν
and having-gone-away him the Thasians in-the-second month about the
πόλιν ἐτείχιζον, ὡς τῆς μὲν μετ᾽ Ἀθηναίων ἀριστοκρατίας
city fortified as of-the indeed with Athenians aristocracy
οὐδὲν ἔτι προσδεόμενοι, τὴν δ᾽ ἀπὸ Λακεδαιμονίων
nothing any-longer needing the and from Lacedaemonians
ἐλευθερίαν ὁσημέραι προσδεχόμενοι·
freedom daily expecting

64.4 καὶ γὰρ καὶ φυγὴ αὐτῶν ἔξω ἦν ὑπὸ τῶν Ἀθηναίων
and for also exile of-them outside was by the Athenians
παρὰ τοῖς Πελοποννησίοις, καὶ αὕτη μετὰ τῶν ἐν τῇ
with the Peloponnesians and this with the in the
πόλει ἐπιτηδείων κατὰ κράτος ἔπρασσε ναῦς τε κομίσαι
city friends with force was-working ships both to-bring

καὶ τὴν Θάσον ἀποστῆσαι. ξυνέβη οὖν αὐτοῖς μάλιστα
and — Thasos to-cause-to-revolt it-happened then to-them most
ἃ ἐβούλοντο, τὴν πόλιν τε ἀκινδύνως ὀρθοῦσθαι καὶ
what they-wished the city both without-danger to-be-set-right and
τὸν ἐναντιωσόμενον δῆμον καταλελύσθαι.
the going-to-oppose people to-have-been-overthrown
περὶ μὲν οὖν τὴν Θάσον τἀναντία τοῖς τὴν ὀλιγαρχίαν 64.5
about indeed then — Thasos the-opposite for-the-ones the oligarchy
καθιστᾶσι τῶν Ἀθηναίων ἐγένετο, δοκεῖν δέ μοι καὶ ἐν
establishing of-the Athenians happened to-seem and to-me also in
ἄλλοις πολλοῖς τῶν ὑπηκόων· σωφροσύνην γὰρ λαβοῦσαι
other many of-the subjects moderation for having-got
αἱ πόλεις καὶ ἄδειαν τῶν πρασσομένων ἐχώρησαν ἐπὶ
the cities and security of-the things-being-done went to
τὴν ἄντικρυς ἐλευθερίαν τῆς ἀπὸ τῶν Ἀθηναίων ὑπούλου
the outright freedom the from the Athenians hollow
εὐνομίας οὐ προτιμήσαντες.
good-order not having-preferred
οἱ δὲ ἀμφὶ τὸν Πείσανδρον παραπλέοντές τε, ὥσπερ 65.1
the-ones and around — Pisander sailing-along both as
ἐδέδοκτο, τοὺς δήμους ἐν ταῖς πόλεσι κατέλυον, καὶ
had-been-resolved the democracies in the cities overthrew and
ἅμα ἔστιν ἀφ' ὧν χωρίων καὶ ὁπλίτας ἔχοντες
at-the-same-time there-are from which places also hoplites having
σφίσιν αὐτοῖς ξυμμάχους ἦλθον ἐς τὰς Ἀθήνας.
for-them selves allies came to — Athens
καὶ καταλαμβάνουσι τὰ πλεῖστα τοῖς ἑταίροις 65.2
and find the most(-things) by-the comrades
προειργασμένα. καὶ γὰρ Ἀνδροκλέα τέ τινα τοῦ δήμου
accomplished-beforehand and for Androcles both a-certain of-the people
μάλιστα προεστῶτα ξυστάντες τινὲς τῶν νεωτέρων κρύφα
most being-leader having-combined some of-the younger secretly

ἀποκτείνουσιν, ὅσπερ καὶ τὸν Ἀλκιβιάδην οὐχ ἥκιστα
kill who-very also — Alcibiades not least
ἐξήλασε, καὶ αὐτὸν κατ᾽ ἀμφότερα, τῆς τε δημαγωγίας
banished and him on both(-grounds) of-the both demagogy
ἕνεκα καὶ οἰόμενοι τῷ Ἀλκιβιάδῃ ὡς κατιόντι καὶ τὸν
for-the-sake and thinking — to-Alcibiades as returning and —
Τισσαφέρνην φίλον ποιήσοντι χαριεῖσθαι, μᾶλλόν τι
Tissaphernes friend going-to-make to-do-a-favor more somewhat
διέφθειραν· καὶ ἄλλους τινὰς ἀνεπιτηδείους τῷ αὐτῷ
they-destroyed and others some unsuitable in-the same
τρόπῳ κρύφα ἀνήλωσαν.
way secretly made-away-with

65.3 λόγος τε ἐκ τοῦ φανεροῦ προείργαστο αὐτοῖς ὡς οὔτε
word both from the open had-been-prepared by-them that neither
μισθοφορητέον εἴη ἄλλους ἢ τοὺς στρατευομένους οὔτε
must-be-paid it-would-be others than the campaigning nor
μεθεκτέον τῶν πραγμάτων πλέοσιν ἢ πεντακισχιλίοις,
must-share of-the affairs to-more than five-thousand
καὶ τούτοις οἳ ἂν μάλιστα τοῖς τε χρήμασι καὶ τοῖς
and to-these who — most with-the both money and with-the
σώμασιν ὠφελεῖν οἷοί τε ὦσιν.
bodies to-help able — they-are

66.1 ἦν δὲ τοῦτο εὐπρεπὲς πρὸς τοὺς πλείους, ἐπεὶ ἔξειν γε
was and this fair-seeming toward the many since to-hold at-least
τὴν πόλιν οἵπερ καὶ μεθίστασαν ἔμελλον. δῆμος μέντοι
the city who-very also were-changing(-it) were-going people however
ὅμως ἔτι καὶ βουλὴ ἡ ἀπὸ τοῦ κυάμου ξυνελέγετο·
nevertheless still and council the from the bean was-convened
ἐβούλευον δὲ οὐδὲν ὅτι μὴ τοῖς ξυνεστῶσι δοκοίη, ἀλλὰ
deliberated but nothing except — to-the conspirators seemed-good but

καὶ οἱ λέγοντες ἐκ τούτων ἦσαν καὶ τὰ ῥηθησόμενα
also the speakers from these were and the-things going-to-be-said
πρότερον αὐτοῖς προύσκεπτο.
beforehand by-them had-been-considered
ἀντέλεγέ τε οὐδεὶς ἔτι τῶν ἄλλων, δεδιὼς καὶ ὁρῶν 66.2
spoke-against both no-one any-longer of-the others fearing and seeing
πολὺ τὸ ξυνεστηκός· εἰ δέ τις καὶ ἀντείποι, εὐθὺς ἐκ
great the conspiracy if and anyone even spoke-against at-once in
τρόπου τινὸς ἐπιτηδείου ἐτεθνήκει, καὶ τῶν δρασάντων
way some convenient was-dead and of-the having-done
οὔτε ζήτησις οὔτ' εἰ ὑποπτεύοιντο δικαίωσις ἐγίγνετο, ἀλλ'
neither search nor if they-were-suspected trial happened but
ἡσυχίαν εἶχεν ὁ δῆμος καὶ κατάπληξιν τοιαύτην ὥστε κέρδος
quiet kept the people and dismay such that gain
ὁ μὴ πάσχων τι βίαιον, εἰ καὶ σιγῴη, ἐνόμιζεν.
the-one not suffering anything violent if even he-kept-silent thought
καὶ τὸ ξυνεστηκὸς πολὺ πλέον ἡγούμενοι εἶναι ἢ ὅσον 66.3
and the conspiracy much greater thinking to-be than as-much-as
ἐτύγχανεν ὂν ἡσσῶντο ταῖς γνώμαις, καὶ ἐξευρεῖν αὐτὸ
it-happened being they-were-worsted in-the minds and to-find-out it
ἀδύνατοι ὄντες διὰ τὸ μέγεθος τῆς πόλεως καὶ διὰ
unable being because-of the size of-the city and because-of
τὴν ἀλλήλων ἀγνωσίαν οὐκ εἶχον.
the of-one-another ignorance not they-could
κατὰ δὲ ταὐτὸ τοῦτο καὶ προσολοφύρασθαί τινι 66.4
by and the-same this also to-lament-to anyone
ἀγανακτήσαντα, ὥστε ἀμύνασθαι ἐπιβουλεύσαντα, ἀδύνατον
being-indignant so-as to-retaliate having-plotted impossible
ἦν· ἢ γὰρ ἀγνῶτα ἂν ηὗρεν ᾧ ἐρεῖ ἢ
it-was either for unknown — he-would-have-found to-whom he-will-speak or
γνώριμον ἄπιστον.
known untrustworthy

66.5 ἀλλήλοις γὰρ ἅπαντες ὑπόπτως προσῇσαν οἱ τοῦ δήμου,
toward-one-another for all suspiciously approached the of-the people
ὡς μετέχοντά τινα τῶν γιγνομένων. ἐνῆσαν γὰρ καὶ
as sharing someone in-the happenings were-among(-them) for also
οὓς οὐκ ἄν ποτέ τις ᾤετο ἐς ὀλιγαρχίαν τραπέσθαι· καὶ
whom not — ever anyone thought into oligarchy to-turn and
τὸ ἄπιστον οὗτοι μέγιστον πρὸς τοὺς πολλοὺς ἐποίησαν καὶ
the distrust these greatest toward the many made and
πλεῖστα ἐς τὴν τῶν ὀλίγων ἀσφάλειαν ὠφέλησαν, βέβαιον
most for the of-the few security helped secure
τὴν ἀπιστίαν τῷ δήμῳ πρὸς ἑαυτὸν καταστήσαντες.
the distrust in-the people toward itself having-established

XVI · THE FOUR HUNDRED

On Pisander's arrival the assembly elects ten commissioners to draft a new constitution, and an assembly at Colonus removes the penalties against unconstitutional proposals. A council of four hundred is to rule with full powers and to convene the five thousand when it wishes. Pisander proposes it, Antiphon has planned it, and Phrynichus and Theramenes are among its leaders. The Four Hundred enter the council chamber with daggers and pay off the old council. They rule by force, kill and imprison opponents, and send envoys to Agis, who marches on Athens and is driven off. They send envoys to Samos to win the army.

67.1 ἐν τούτῳ οὖν τῷ καιρῷ οἱ περὶ τὸν Πείσανδρον
in this then the moment the-ones around — Pisander
ἐλθόντες εὐθὺς τῶν λοιπῶν εἴχοντο. καὶ πρῶτον μὲν τὸν
having-come at-once of-the remaining took-hold and first indeed the
δῆμον ξυλλέξαντες εἶπον γνώμην δέκα ἄνδρας ἑλέσθαι
people having-assembled proposed motion ten men to-choose
ξυγγραφέας αὐτοκράτορας, τούτους δὲ ξυγγράψαντας
drafters with-full-powers these and having-drafted

γνώμην ἐσενεγκεῖν ἐς τὸν δῆμον ἐς ἡμέραν ῥητὴν καθ'
motion to-bring-in to the people by day fixed according-to
ὅτι ἄριστα ἡ πόλις οἰκήσεται·
what best the city will-be-administered
ἔπειτα ἐπειδὴ ἡ ἡμέρα ἐφῆκε, ξυνέκλῃσαν τὴν ἐκκλησίαν 67.2
then when the day came they-shut-in the assembly
ἐς τὸν Κολωνόν (ἔστι δὲ ἱερὸν Ποσειδῶνος ἔξω πόλεως
at — Colonus is and temple of-Poseidon outside of-city
ἀπέχον σταδίους μάλιστα δέκα), καὶ ἐσήνεγκαν οἱ
being-distant stades about ten and brought-in the
ξυγγραφῆς ἄλλο μὲν οὐδέν, αὐτὸ δὲ τοῦτο, ἐξεῖναι μὲν
drafters other indeed nothing very but this to-be-allowed indeed
Ἀθηναίων ἀνατεὶ εἰπεῖν γνώμην ἣν ἄν τις βούληται·
of-Athenians with-impunity to-propose motion whatever — anyone wishes
ἢν δέ τις τὸν εἰπόντα ἢ γράψηται παρανόμων ἢ
if and anyone the proposer either should-indict of-illegality or
ἄλλῳ τῳ τρόπῳ βλάψῃ, μεγάλας ζημίας ἐπέθεσαν.
by-other any way harm great penalties they-imposed
ἐνταῦθα δὴ λαμπρῶς ἐλέγετο ἤδη μήτε ἀρχὴν ἄρχειν 67.3
there indeed openly it-was-said now neither office to-hold
μηδεμίαν ἔτι ἐκ τοῦ αὐτοῦ κόσμου μήτε μισθοφορεῖν
none any-longer from the same order nor to-draw-pay
προέδρους τε ἑλέσθαι πέντε ἄνδρας, τούτους δὲ ἑλέσθαι
presidents both to-choose five men these and to-choose
ἑκατὸν ἄνδρας, καὶ τῶν ἑκατὸν ἕκαστον πρὸς ἑαυτὸν τρεῖς·
hundred men and of-the hundred each beside himself three
ἐλθόντας δὲ αὐτοὺς τετρακοσίους ὄντας ἐς τὸ βουλευτήριον
having-come and them four-hundred being into the council-chamber
ἄρχειν ὅπῃ ἂν ἄριστα γιγνώσκωσιν αὐτοκράτορας, καὶ
to-rule however — best they-judge with-full-powers and
τοὺς πεντακισχιλίους δὲ ξυλλέγειν ὁπόταν αὐτοῖς δοκῇ.
the five-thousand and to-convene whenever to-them it-seems

68.1 ἦν δὲ ὁ μὲν τὴν γνώμην ταύτην εἰπὼν Πείσανδρος,
was and the-one indeed the motion this having-proposed Pisander
καὶ τἆλλα ἐκ τοῦ προφανοῦς προθυμότατα ξυγκαταλύσας
and the-rest from the open most-eagerly having-helped-overthrow
τὸν δῆμον· ὁ μέντοι ἅπαν τὸ πρᾶγμα ξυνθεὶς ὅτῳ
the people the-one however all the affair having-put-together in-what
τρόπῳ κατέστη ἐς τοῦτο καὶ ἐκ πλείστου ἐπιμεληθεὶς
way it-came to this and from longest having-taken-care
Ἀντιφῶν ἦν ἀνὴρ Ἀθηναίων τῶν καθ' ἑαυτὸν ἀρετῇ
Antiphon was a-man of-Athenians of-the-ones in his-time in-virtue
τε οὐδενὸς ὕστερος καὶ κράτιστος ἐνθυμηθῆναι γενόμενος
both than-none inferior and most-able to-conceive having-become
καὶ ἃ γνοίη εἰπεῖν, καὶ ἐς μὲν δῆμον οὐ παριὼν
and what he-should-conclude to-express and to indeed people not coming
οὐδ' ἐς ἄλλον ἀγῶνα ἑκούσιος οὐδένα, ἀλλ' ὑπόπτως τῷ
nor to other contest willingly none but suspiciously to-the
πλήθει διὰ δόξαν δεινότητος διακείμενος, τοὺς μέντοι
multitude because-of reputation of-cleverness being-regarded the however
ἀγωνιζομένους καὶ ἐν δικαστηρίῳ καὶ ἐν δήμῳ πλεῖστα
contending both in law-court and in assembly most
εἷς ἀνήρ, ὅστις ξυμβουλεύσαιτό τι, δυνάμενος ὠφελεῖν.
one man who should-consult anything being-able to-help
68.2 καὶ αὐτός τε, ἐπειδὴ †μετέστη ἡ δημοκρατία καὶ ἐς
and himself both when was-changed the democracy and into
ἀγῶνας κατέστη† τὰ τῶν τετρακοσίων ἐν ὑστέρῳ
trials came the-affairs of-the four-hundred in later(-time)
μεταπεσόντα ὑπὸ τοῦ δήμου ἐκακοῦτο†, ἄριστα φαίνεται
having-fallen by the people were-harmed best appears
τῶν μέχρι ἐμοῦ ὑπὲρ αὐτῶν τούτων αἰτιαθείς,
of-the-ones until me on-behalf-of very these having-been-accused
ὡς ξυγκατέστησε, θανάτου δίκην ἀπολογησάμενος.
as he-helped-establish of-death trial having-defended-himself

παρέσχε δὲ καὶ ὁ Φρύνιχος ἑαυτὸν πάντων διαφερόντως 68.3
showed and also — Phrynichus himself of-all exceedingly
προθυμότατον ἐς τὴν ὀλιγαρχίαν, δεδιὼς τὸν Ἀλκιβιάδην
most-eager for the oligarchy fearing — Alcibiades
καὶ ἐπιστάμενος εἰδότα αὐτὸν ὅσα ἐν τῇ Σάμῳ πρὸς
and knowing aware him what-things in — Samos with
τὸν Ἀστύοχον ἔπραξε, νομίζων οὐκ ἄν ποτε αὐτὸν κατὰ
— Astyochus he-had-done thinking not — ever him by
τὸ εἰκὸς ὑπ᾽ ὀλιγαρχίας κατελθεῖν· πολύ τε πρὸς τὰ
the likely under oligarchy to-return much both against the
δεινά, ἐπειδήπερ ὑπέστη, φερεγγυώτατος ἐφάνη.
dangers since he-had-undertaken most-reliable appeared
καὶ Θηραμένης ὁ τοῦ Ἄγνωνος ἐν τοῖς ξυγκαταλύουσι 68.4
and Theramenes the — son-of-Hagnon among the-ones helping-overthrow
τὸν δῆμον πρῶτος ἦν, ἀνὴρ οὔτε εἰπεῖν οὔτε γνῶναι
the people first was a-man neither to-speak nor to-think
ἀδύνατος. ὥστε ἀπ᾽ ἀνδρῶν πολλῶν καὶ ξυνετῶν πραχθὲν
incapable so-that from men many and intelligent having-been-done
τὸ ἔργον οὐκ ἀπεικότως καίπερ μέγα ὂν προυχώρησεν·
the deed not unreasonably although great being succeeded
χαλεπὸν γὰρ ἦν τὸν Ἀθηναίων δῆμον ἐπ᾽ ἔτει ἑκατοστῷ
difficult for it-was the of-Athenians people in year hundredth
μάλιστα ἐπειδὴ οἱ τύραννοι κατελύθησαν ἐλευθερίας παῦσαι,
about since the tyrants were-overthrown of-freedom to-stop
καὶ οὐ μόνον μὴ ὑπήκοον ὄντα, ἀλλὰ καὶ ὑπὲρ ἥμισυ
and not only not subject being but also for-over half
τοῦ χρόνου τούτου αὐτὸν ἄλλων ἄρχειν εἰωθότα.
of-the time this itself others to-rule accustomed
ἐπειδὴ δὲ ἡ ἐκκλησία οὐδενὸς ἀντειπόντος, ἀλλὰ κυρώσασα 69.1
when and the assembly no-one having-objected but having-ratified
ταῦτα διελύθη, τοὺς τετρακοσίους ἤδη ὕστερον τρόπῳ
these-things was-dissolved the four-hundred already later in-way

τοιῷδε ἐς τὸ βουλευτήριον ἐσήγαγον. ἦσαν Ἀθηναῖοι
such into the council-chamber they-brought-in were Athenians
πάντες αἰεὶ οἱ μὲν ἐπὶ τείχει, οἱ δ' ἐν τάξει,
all always the-ones indeed on wall the-others and in rank
τῶν ἐν Δεκελείᾳ πολεμίων ἕνεκα ἐφ' ὅπλοις·
of-the at Decelea enemies for-the-sake at arms

69.2 τῇ οὖν ἡμέρᾳ ἐκείνῃ τοὺς μὲν μὴ ξυνειδότας εἴασαν
on-the then day that the indeed not in-the-know they-let
ὥσπερ εἰώθεσαν ἀπελθεῖν, τοῖς δ' ἐν τῇ ξυνωμοσίᾳ
as they-were-accustomed to-go-away to-the and in the conspiracy
εἴρητο ἡσυχῇ μὴ ἐπ' αὐτοῖς τοῖς ὅπλοις, ἀλλ' ἄπωθεν
it-had-been-told quietly not at very the arms but at-a-distance
περιμένειν, καὶ ἤν τις ἐνιστῆται τοῖς ποιουμένοις,
to-wait and if anyone opposes the things-being-done
λαβόντας τὰ ὅπλα μὴ ἐπιτρέπειν.
having-taken the arms not to-allow

69.3 ἦσαν δὲ καὶ Ἄνδριοι καὶ Τήνιοι καὶ Καρυστίων τριακόσιοι
were and also Andrians and Tenians and of-Carystians three-hundred
καὶ Αἰγινητῶν τῶν ἐποίκων, οὓς Ἀθηναῖοι ἔπεμψαν
and of-Aeginetans of-the settlers whom Athenians sent
οἰκήσοντας, ἐπ' αὐτὸ τοῦτο ἥκοντες ἐν τοῖς ἑαυτῶν
going-to-dwell for very this having-come in the their-own
ὅπλοις, οἷς ταὐτὰ προείρητο.
arms to-whom the-same had-been-told

69.4 τούτων δὲ διατεταγμένων οὕτως ἐλθόντες οἱ τετρακόσιοι
these and having-been-arranged thus having-come the four-hundred
μετὰ ξιφιδίου ἀφανοῦς ἕκαστος, καὶ οἱ εἴκοσι καὶ ἑκατὸν
with dagger hidden each and the twenty and hundred
μετ' αὐτῶν νεανίσκοι, οἷς ἐχρῶντο εἴ τί που δέοι
with them young-men whom they-used if anything anywhere was-needed
χειρουργεῖν, ἐπέστησαν τοῖς ἀπὸ τοῦ κυάμου βουλευταῖς
to-do-violence stood-over the from the bean councilors

οὖσιν ἐν τῷ βουλευτηρίῳ καὶ εἶπον αὐτοῖς ἐξιέναι λαβοῦσι
being in the council-chamber and told them to-go-out having-taken
τὸν μισθόν· ἔφερον δὲ αὐτοῖς τοῦ ὑπολοίπου χρόνου
the pay brought and to-them of-the remaining time
παντὸς αὐτοὶ καὶ ἐξιοῦσιν ἐδίδοσαν.
all themselves and going-out they-gave
ὡς δὲ τούτῳ τῷ τρόπῳ ἥ τε βουλὴ οὐδὲν ἀντειποῦσα 70.1
when and in-this the way the both council nothing having-objected
ὑπεξῆλθε καὶ οἱ ἄλλοι πολῖται οὐδὲν ἐνεωτέριζον, ἀλλ᾽
withdrew and the other citizens nothing made-revolution but
ἡσύχαζον, οἱ τετρακόσιοι ἐσελθόντες ἐς τὸ βουλευτήριον
kept-quiet the four-hundred having-entered into the council-chamber
τότε μὲν πρυτάνεις τε σφῶν αὐτῶν ἀπεκλήρωσαν καὶ
then indeed presidents both of-them selves chose-by-lot and
ὅσα πρὸς τοὺς θεοὺς εὐχαῖς καὶ θυσίαις καθιστάμενοι
as-many-as toward the gods with-prayers and sacrifices entering
ἐς τὴν ἀρχὴν ἐχρήσαντο, ὕστερον δὲ πολὺ μεταλλάξαντες
into the office they-used later and much having-changed
τῆς τοῦ δήμου διοικήσεως (πλὴν τοὺς φεύγοντας οὐ
of-the of-the people administration except the exiles not
κατῆγον τοῦ Ἀλκιβιάδου ἕνεκα) τά τε ἄλλα ἔνεμον
they-restored — of-Alcibiades for-the-sake the both other-things administered
κατὰ κράτος τὴν πόλιν.
by force the city
καὶ ἄνδρας τέ τινας ἀπέκτειναν οὐ πολλούς, οἳ ἐδόκουν 70.2
and men both some killed not many who seemed
ἐπιτήδειοι εἶναι ὑπεξαιρεθῆναι, καὶ ἄλλους ἔδησαν, τοὺς
suitable to-be to-be-put-out-of-the-way and others bound the-others
δὲ καὶ μετεστήσαντο· πρός τε Ἆγιν τὸν Λακεδαιμονίων
and also removed to both Agis the of-Lacedaemonians
βασιλέα ὄντα ἐν τῇ Δεκελείᾳ ἐπεκηρυκεύοντο, λέγοντες
king being in — Decelea they-sent-heralds saying

διαλλαγῆναι βούλεσθαι καὶ εἰκὸς εἶναι αὐτὸν σφίσι καὶ
to-be-reconciled to-wish and likely to-be him with-them and
οὐκέτι τῷ ἀπίστῳ δήμῳ μᾶλλον ξυγχωρεῖν.
no-longer with-the untrustworthy people rather to-come-to-terms

71.1 ὁ δὲ νομίζων τὴν πόλιν οὐχ ἡσυχάζειν, οὐδ' εὐθὺς οὕτω τὸν
he and thinking the city not to-be-quiet nor at-once thus the
δῆμον τὴν παλαιὰν ἐλευθερίαν παραδώσειν, εἴ τε στρατιὰν
people the ancient freedom to-give-up if both army
πολλὴν ἴδοι σφῶν, οὐκ ἂν ἡσυχάζειν, οὐδ' ἐν τῷ παρόντι
great it-should-see of-them not — to-be-quiet nor in the present
πάνυ τι πιστεύων μὴ οὐκέτι ταράσσεσθαι αὐτούς, τοῖς
at-all somewhat trusting not no-longer to-be-disturbed them to-the-ones
μὲν ἀπὸ τῶν τετρακοσίων ἐλθοῦσιν οὐδὲν ξυμβατικὸν
indeed from the four-hundred having-come nothing conciliatory
ἀπεκρίνατο, προσμεταπεμψάμενος δὲ ἐκ Πελοποννήσου
answered having-sent-for-besides and from Peloponnese
στρατιὰν πολλὴν οὐ πολλῷ ὕστερον καὶ αὐτὸς τῇ ἐκ
army great not much later also himself with-the from
τῆς Δεκελείας φρουρᾷ μετὰ τῶν ἐλθόντων κατέβη πρὸς
— Decelea garrison with the having-come came-down to
αὐτὰ τὰ τείχη τῶν Ἀθηναίων, ἐλπίσας ἢ ταραχθέντας
very the walls of-the Athenians having-hoped either thrown-into-confusion
αὐτοὺς μᾶλλον ἂν χειρωθῆναι σφίσιν ἢ βούλονται ἢ
them rather — to-be-subdued to-them in-the-way they-wish or
καὶ αὐτοβοεὶ ἂν διὰ τὸν ἔνδοθέν τε καὶ ἔξωθεν κατὰ
even at-the-first-shout — because-of the from-within both and from-without by
τὸ εἰκὸς γενησόμενον θόρυβον· τῶν γὰρ μακρῶν τειχῶν
the likely going-to-arise confusion the for long walls
διὰ τὴν κατ' αὐτὰ ἐρημίαν λήψεως οὐκ ἂν ἁμαρτεῖν.
because-of the along them desolation of-the-capture not — to-fail

ὡς δὲ προσέμειξέ τε ἐγγὺς καὶ οἱ Ἀθηναῖοι τὰ 71.2
when and he-engaged both near and the Athenians the-things
μὲν ἔνδοθεν οὐδ᾽ ὁπωστιοῦν ἐκίνησαν, τοὺς δὲ ἱππέας
indeed within not-even in-any-way moved the and cavalry
ἐκπέμψαντες καὶ μέρος τι τῶν ὁπλιτῶν καὶ ψιλῶν καὶ
having-sent-out and part some of-the hoplites and light-armed and
τοξοτῶν ἄνδρας τε κατέβαλον αὐτῶν διὰ τὸ ἐγγὺς
archers men both struck-down of-them because-of the near
προσελθεῖν καὶ ὅπλων τινῶν καὶ νεκρῶν ἐκράτησαν, οὕτω
to-approach and arms some and dead mastered thus
δὴ γνοὺς ἀπήγαγε πάλιν τὴν στρατιάν.
indeed having-recognized led-back again the army
καὶ αὐτὸς μὲν καὶ οἱ μετ᾽ αὐτοῦ κατὰ χώραν ἐν 71.3
and himself indeed and the-ones with him in place in
τῇ Δεκελείᾳ ἔμενον, τοὺς δ᾽ ἐπελθόντας ὀλίγας τινὰς
— Decelea remained the-ones and having-come few some
ἡμέρας ἐν τῇ γῇ μείναντας ἀπέπεμψεν ἐπ᾽ οἴκου. μετὰ
days in the land having-stayed he-sent-off to home after
δὲ τοῦτο παρά τε τὸν Ἄγιν ἐπρεσβεύοντο οἱ τετρακόσιοι
and this to both — Agis sent-envoys the four-hundred
οὐδὲν ἧσσον, κἀκείνου μᾶλλον ἤδη προσδεχομένου καὶ
nothing less and-he rather now accepting and
παραινοῦντος ἐκπέμπουσι καὶ ἐς τὴν Λακεδαίμονα περὶ
advising they-send-out also to — Lacedaemon about
ξυμβάσεως πρέσβεις, βουλόμενοι διαλλαγῆναι.
agreement envoys wishing to-be-reconciled
πέμπουσι δὲ καὶ ἐς τὴν Σάμον δέκα ἄνδρας 72.1
they-send and also to — Samos ten men
παραμυθησομένους τὸ στρατόπεδον καὶ διδάξοντας ὡς οὐκ
going-to-console the army and going-to-explain that not
ἐπὶ βλάβῃ τῆς πόλεως καὶ τῶν πολιτῶν ἡ ὀλιγαρχία
for harm of-the city and of-the citizens the oligarchy

κατέστη, ἀλλ᾽ ἐπὶ σωτηρίᾳ τῶν ξυμπάντων πραγμάτων,
was-established but for safety of-the whole affairs
πεντακισχίλιοί τε ὅτι εἶεν καὶ οὐ τετρακόσιοι μόνον
five-thousand both that they-were and not four-hundred only
οἱ πράσσοντες· καίτοι οὐ πώποτε Ἀθηναίους διὰ τὰς
the acting and-yet not ever Athenians because-of the
στρατείας καὶ τὴν ὑπερόριον ἀσχολίαν ἐς οὐδὲν πρᾶγμα
campaigns and the overseas occupation to no matter
οὕτω μέγα ἐλθεῖν βουλεύσοντας ἐν ᾧ πεντακισχιλίους
so great to-have-come going-to-deliberate in which five-thousand
ξυνελθεῖν.
to-assemble

72.2 ἄλλα τ᾽ ἐπιστείλαντες τὰ πρέποντα εἰπεῖν ἀπέπεμψαν
other-things both having-instructed the fitting to-say sent-off
αὐτοὺς εὐθὺς μετὰ τὴν ἑαυτῶν κατάστασιν, δείσαντες
them at-once after the their-own establishment fearing
μή, ὅπερ ἐγένετο, ναυτικὸς ὄχλος οὔτ᾽ αὐτὸς μένειν
lest which-very happened naval crowd neither itself to-remain
ἐν τῷ ὀλιγαρχικῷ κόσμῳ ἐθέλῃ, σφᾶς τε μὴ ἐκεῖθεν
in the oligarchic order should-wish them both not from-there
ἀρξαμένου τοῦ κακοῦ μεταστήσωσιν.
having-begun the evil they-might-depose

At Samos the oligarchic movement has begun. Some three hundred Samians plot to overthrow the democracy and, with Athenian help, murder the ostracized Hyperbolus. The people turn to Leon, Diomedon, Thrasybulus, and Thrasyllus and to the crew of the Paralus, and they defeat the plotters. Chaereas, sent with the news to Athens, escapes back and reports the outrages of the Four Hundred with exaggeration. The soldiers swear to keep the democracy and to fight Sparta, elect Thrasybulus and Thrasyllus generals, and declare that they are the city, since the fleet holds the sea and the tribute. The envoys of the Four Hundred, learning of this at Delos, remain there.

ἐν γὰρ τῇ Σάμῳ ἐνεωτερίζετο ἤδη τὰ περὶ τὴν 73.1
in for — Samos was-being-revolutionized already the-things about the
ὀλιγαρχίαν, καὶ ξυνέβη τοιάδε γενέσθαι ὑπ᾽ αὐτὸν τὸν
oligarchy and it-happened the-following to-happen about very the
χρόνον τοῦτον ὅνπερ οἱ τετρακόσιοι ξυνίσταντο.
time this in-which the four-hundred were-combining
οἱ γὰρ τότε τῶν Σαμίων ἐπαναστάντες τοῖς δυνατοῖς καὶ 73.2
the for then of-the Samians having-risen-up against-the powerful and
ὄντες δῆμος μεταβαλλόμενοι αὖθις καὶ πεισθέντες ὑπό τε
being people changing again and having-been-persuaded by both
τοῦ Πεισάνδρου, ὅτε ἦλθε, καὶ τῶν ἐν τῇ Σάμῳ ξυνεστώτων
— Pisander when he-came and of-the in — Samos conspiring
Ἀθηναίων ἐγένοντό τε ἐς τριακοσίους ξυνωμόται καὶ
Athenians became both about three-hundred conspirators and
ἔμελλον τοῖς ἄλλοις ὡς δήμῳ ὄντι ἐπιθήσεσθαι.
were-about the others as people being to-attack
καὶ Ὑπέρβολόν τέ τινα τῶν Ἀθηναίων, μοχθηρὸν 73.3
and Hyperbolus both a-certain of-the Athenians wretched
ἄνθρωπον, ὠστρακισμένον οὐ διὰ δυνάμεως καὶ
man ostracized not because-of power and

ἀξιώματος φόβον, ἀλλὰ διὰ πονηρίαν καὶ αἰσχύνην
dignity fear but because-of villainy and shame
τῆς πόλεως, ἀποκτείνουσι μετὰ Χαρμίνου τε ἑνὸς τῶν
of-the city kill with Charminus both one of-the
στρατηγῶν καί τινων τῶν παρὰ σφίσιν Ἀθηναίων,
generals and some of-the with them Athenians
πίστιν διδόντες αὐτοῖς, καὶ ἄλλα μετ᾽ αὐτῶν τοιαῦτα
pledge giving to-them and other-things with them such
ξυνέπραξαν, τοῖς τε πλέοσιν ὥρμηντο ἐπιτίθεσθαι.
co-operated the both majority they-were-eager to-attack

73.4 οἱ δὲ αἰσθόμενοι τῶν τε στρατηγῶν Λέοντι καὶ
they and having-perceived of-the both generals to-Leon and
Διομέδοντι (οὗτοι γὰρ οὐχ ἑκόντες διὰ τὸ τιμᾶσθαι ὑπὸ
to-Diomedon these for not willingly because-of the to-be-honored by
τοῦ δήμου ἔφερον τὴν ὀλιγαρχίαν) τὸ μέλλον σημαίνουσι
the people bore the oligarchy the coming reveal
καὶ Θρασυβούλῳ καὶ Θρασύλῳ, τῷ μὲν τριηραρχοῦντι,
both to-Thrasybulus and to-Thrasyllus the-one indeed being-trierarch
τῷ δὲ ὁπλιτεύοντι, καὶ ἄλλοις οἳ ἐδόκουν αἰεὶ μάλιστα
the-other and serving-as-hoplite and to-others who seemed always most
ἐναντιοῦσθαι τοῖς ξυνεστῶσιν· καὶ οὐκ ἠξίουν περιδεῖν
to-oppose the conspirators and not they-thought-fit to-allow
αὐτοὺς σφᾶς τε διαφθαρέντας καὶ Σάμον Ἀθηναίοις
them them both destroyed and Samos to-Athenians
ἀλλοτριωθεῖσαν, δι᾽ ἣν μόνον ἡ ἀρχὴ αὐτοῖς ἐς
alienated because-of which alone the empire to-them to
τοῦτο ξυνέμεινεν.
this had-held-together

73.5 οἱ δὲ ἀκούσαντες τῶν τε στρατιωτῶν ἕνα ἕκαστον
they and having-heard of-the both soldiers one each
μετῇσαν μὴ ἐπιτρέπειν, καὶ οὐχ ἥκιστα τοὺς Παράλους,
went-to not to-allow and not least the Paralians

ἄνδρας Ἀθηναίους τε καὶ ἐλευθέρους πάντας ἐν τῇ νηὶ
men Athenians both and free all in the ship
πλέοντας καὶ αἰεὶ δήποτε ὀλιγαρχίᾳ καὶ μὴ παρούσῃ
sailing and always ever oligarchy even not present
ἐπικειμένους· ὅ τε Λέων καὶ ὁ Διομέδων αὐτοῖς ναῦς
attacking — both Leon and — Diomedon to-them ships
τινάς, ὁπότε ποι πλέοιεν, κατέλειπον φύλακας.
some whenever anywhere they-sailed left as-guards
ὥστε ἐπειδὴ αὐτοῖς ἐπετίθεντο οἱ τριακόσιοι, βοηθησάντων 73.6
so-that when them attacked the three-hundred having-helped
πάντων τούτων, μάλιστα δὲ τῶν Παράλων, περιεγένοντο
all these most and the Paralians prevailed
οἱ τῶν Σαμίων πλέονες, καὶ τριάκοντα μέν τινας
the of-the Samians majority and thirty indeed some
ἀπέκτειναν τῶν τριακοσίων, τρεῖς δὲ τοὺς αἰτιωτάτους
killed of-the three-hundred three and the most-guilty
φυγῇ ἐζημίωσαν· τοῖς δ' ἄλλοις οὐ μνησικακοῦντες
with-exile punished with-the and others not bearing-grudges
δημοκρατούμενοι τὸ λοιπὸν ξυνεπολίτευον.
being-governed-democratically the future lived-as-citizens-together
τὴν δὲ Πάραλον ναῦν καὶ Χαιρέαν ἐπ' αὐτῆς τὸν 74.1
the and Paralus ship and Chaereas on it the
Ἀρχεστράτου, ἄνδρα Ἀθηναῖον, γενόμενον ἐς τὴν μετάστασιν
son-of-Archestratus a-man Athenian having-been for the change
πρόθυμον, ἀποπέμπουσιν οἵ τε Σάμιοι καὶ οἱ στρατιῶται
eager send-off the both Samians and the soldiers
κατὰ τάχος ἐς τὰς Ἀθήνας ἀπαγγελοῦντα τὰ γεγενημένα·
with speed to — Athens going-to-report the having-happened
οὐ γὰρ ᾔδεσάν πω τοὺς τετρακοσίους ἄρχοντας.
not for they-knew yet the four-hundred ruling

74.2 καὶ καταπλευσάντων αὐτῶν εὐθέως τῶν μὲν Παράλων
and having-sailed-in them at-once of-the indeed Paralians
τινὰς οἱ τετρακόσιοι δύο ἢ τρεῖς ἔδησαν, τοὺς δὲ ἄλλους
some the four-hundred two or three bound the and others
ἀφελόμενοι τὴν ναῦν καὶ μετεμβιβάσαντες ἐς ἄλλην
having-taken-away the ship and having-transferred into another
στρατιῶτιν ναῦν ἔταξαν φρουρεῖν περὶ Εὔβοιαν.
troop ship they-assigned to-guard about Euboea
74.3 ὁ δὲ Χαιρέας εὐθὺς διαλαθών πως, ὡς εἶδε τὰ
— and Chaereas at-once having-escaped somehow when he-saw the
παρόντα, πάλιν ἐς τὴν Σάμον ἐλθὼν ἀγγέλλει τοῖς
present-things back to — Samos having-come announces to-the
στρατιώταις ἐπὶ τὸ μεῖζον πάντα δεινώσας τὰ
soldiers toward the greater all having-exaggerated the-things
ἐκ τῶν Ἀθηνῶν, ὡς πληγαῖς τε πάντας ζημιοῦσι καὶ
from — Athens that with-blows both all they-punish and
ἀντειπεῖν ἔστιν οὐδὲν πρὸς τοὺς ἔχοντας τὴν πολιτείαν,
to-speak-against there-is nothing against the-ones holding the government
καὶ ὅτι αὐτῶν καὶ γυναῖκες καὶ παῖδες ὑβρίζονται, καὶ
and that their both wives and children are-outraged and
διανοοῦνται, ὁπόσοι ἐν Σάμῳ στρατεύονται μὴ ὄντες
they-intend as-many-as in Samos campaign not being
τῆς σφετέρας γνώμης, τούτων πάντων τοὺς προσήκοντας
of-the their-own opinion of-these all the relatives
λαβόντες εἴρξειν, ἵνα, ἢν μὴ ὑπακούσωσι, τεθνήκωσιν·
having-taken to-imprison so-that if not they-obey they-be-killed
καὶ ἄλλα πολλὰ ἐπικαταψευδόμενος ἔλεγεν.
and other-things many lying-besides said
75.1 οἱ δὲ ἀκούοντες ἐπὶ τοὺς τὴν ὀλιγαρχίαν μάλιστα
they and hearing against the-ones the oligarchy most
ποιήσαντας καὶ ἔτι τῶν ἄλλων τοὺς μετασχόντας
having-made and still of-the others the-ones having-shared

τὸ μὲν πρῶτον ὥρμησαν βάλλειν, ἔπειτα μέντοι ὑπὸ
at-the indeed first rushed to-stone then however by
τῶν διὰ μέσου κωλυθέντες καὶ διδαχθέντες μὴ τῶν
the-ones through middle having-been-prevented and having-been-told lest the
πολεμίων ἀντιπρῴρων ἐγγὺς ἐφορμούντων ἀπολέσωσι τὰ
enemies prow-to-prow near blockading they-should-ruin the
πράγματα, ἐπαύσαντο.
affairs stopped

μετὰ δὲ τοῦτο λαμπρῶς ἤδη ἐς δημοκρατίαν βουλόμενοι 75.2
after and this openly now to democracy wishing
μεταστῆσαι τὰ ἐν τῇ Σάμῳ ὅ τε Θρασύβουλος ὁ τοῦ
to-change the-things in — Samos — both Thrasybulus the —
Λύκου καὶ Θράσυλος (οὗτοι γὰρ μάλιστα προειστήκεσαν
son-of-Lycus and Thrasyllus these for most had-led
τῆς μεταβολῆς) ὤρκωσαν πάντας τοὺς στρατιώτας τοὺς
of-the change bound-by-oath all the soldiers the
μεγίστους ὅρκους, καὶ αὐτοὺς τοὺς ἐκ τῆς ὀλιγαρχίας
greatest oaths and themselves the-ones from the oligarchy
μάλιστα, ἢ μὴν δημοκρατήσεσθαί τε καὶ ὁμονοήσειν καὶ
most truly indeed to-be-democratic both and to-be-of-one-mind and
τὸν πρὸς Πελοποννησίους πόλεμον προθύμως διοίσειν
the against Peloponnesians war eagerly to-carry-through
καὶ τοῖς τετρακοσίοις πολέμιοί τε ἔσεσθαι καὶ οὐδὲν
and to-the four-hundred enemies both to-be and nothing
ἐπικηρυκεύσεσθαι.
to-send-heralds

ξυνώμνυσαν δὲ καὶ Σαμίων πάντες τὸν αὐτὸν ὅρκον οἱ ἐν 75.3
swore-with and also of-Samians all the same oath the-ones in
τῇ ἡλικίᾳ, καὶ τὰ πράγματα πάντα καὶ τὰ ἀποβησόμενα
the age(-of-service) and the affairs all and the outcomes
ἐκ τῶν κινδύνων ξυνεκοινώσαντο οἱ στρατιῶται τοῖς
from the dangers shared the soldiers with-the

Σαμίοις, νομίζοντες οὔτε ἐκείνοις ἀποστροφὴν σωτηρίας
Samians thinking neither for-those refuge of-safety
οὔτε σφίσιν εἶναι, ἀλλ', ἐάν τε οἱ τετρακόσιοι κρατήσωσιν
nor for-them to-be but if both the four-hundred prevail
ἐάν τε οἱ ἐκ Μιλήτου πολέμιοι, διαφθαρήσεσθαι.
if and the from Miletus enemies to-be-going-to-be-destroyed

76.1 ἐς φιλονικίαν τε καθέστασαν τὸν χρόνον τοῦτον οἱ
into rivalry both they-came the time this the-ones
μὲν τὴν πόλιν ἀναγκάζοντες δημοκρατεῖσθαι, οἱ δὲ
indeed the city compelling to-be-democratic the-others and
τὸ στρατόπεδον ὀλιγαρχεῖσθαι.
the army to-be-oligarchic

76.2 ἐποίησαν δὲ καὶ ἐκκλησίαν εὐθὺς οἱ στρατιῶται, ἐν
made and also assembly at-once the soldiers in
ᾗ τοὺς μὲν προτέρους στρατηγούς, καὶ εἴ τινα τῶν
which the indeed former generals and if any of-the
τριηράρχων ὑπώπτευον, ἔπαυσαν, ἄλλους δὲ ἀνθείλοντο
trierarchs they-suspected deposed others and chose-instead
καὶ τριηράρχους καὶ στρατηγούς, ὧν Θρασύβουλός τε
both trierarchs and generals of-whom Thrasybulus both
καὶ Θράσυλλος ὑπῆρχον.
and Thrasyllus were

76.3 καὶ παραινέσεις ἄλλας τε ἐποιοῦντο ἐν σφίσιν αὐτοῖς
and exhortations other both made among them selves
ἀνιστάμενοι καὶ ὡς οὐ δεῖ ἀθυμεῖν ὅτι ἡ πόλις
standing-up and that not it-is-necessary to-lose-heart because the city
αὐτῶν ἀφέστηκεν· τοὺς γὰρ ἐλάσσους ἀπὸ σφῶν τῶν
of-them has-revolted the for fewer from them the
πλεόνων καὶ ἐς πάντα ποριμωτέρων μεθεστάναι.
more and in all more-resourceful to-have-changed

ἐχόντων γὰρ σφῶν τὸ πᾶν ναυτικόν, τάς τε ἄλλας πόλεις 76.4
having for them the whole navy the both other cities
ὧν ἄρχουσιν ἀναγκάσειν τὰ χρήματα ὁμοίως διδόναι καὶ εἰ
which they-rule to-compel the money alike to-give even if
ἐκεῖθεν ὡρμῶντο (πόλιν τε γὰρ σφίσιν ὑπάρχειν Σάμον οὐκ
from-there they-set-out city both for to-them to-be Samos not
ἀσθενῆ, ἀλλ᾽ ἣ παρ᾽ ἐλάχιστον δὴ ἦλθε τὸ Ἀθηναίων
weak but which by least indeed came the of-Athenians
κράτος τῆς θαλάσσης, ὅτε ἐπολέμησεν, ἀφελέσθαι, τούς
power of-the sea when it-made-war to-take-away the
τε πολεμίους ἐκ τοῦ αὐτοῦ χωρίου ἀμυνεῖσθαι οὗπερ
both enemies from the same place to-ward-off where-very
καὶ πρότερον), καὶ δυνατώτεροι εἶναι σφεῖς ἔχοντες τὰς
also before and more-able to-be they having the
ναῦς πορίζεσθαι τὰ ἐπιτήδεια τῶν ἐν τῇ πόλει.
ships to-provide the supplies than-the-ones in the city
καὶ δι᾽ ἑαυτοὺς δὲ ἐν τῇ Σάμῳ προκαθημένους καὶ 76.5
and because-of themselves and in — Samos being-stationed-in-front also
πρότερον αὐτοὺς κρατεῖν τοῦ ἐς τὸν Πειραιᾶ ἔσπλου, καὶ
before them to-control of-the into the Piraeus entrance and
νῦν ἐς τοιοῦτον καταστήσονται μὴ βουλομένων σφίσι πάλιν
now into such they-will-put not wishing to-them back
τὴν πολιτείαν ἀποδοῦναι, ὥστε αὐτοὶ δυνατώτεροι εἶναι
the constitution to-restore so-that themselves more-able to-be
εἴργειν ἐκείνους τῆς θαλάσσης ἢ ὑπ᾽ ἐκείνων εἴργεσθαι.
to-shut-out those from-the sea than by those to-be-shut-out
βραχύ τέ τι εἶναι καὶ οὐδενὸς ἄξιον ὂ πρὸς τὸ 76.6
small both somewhat to-be and of-nothing worth what for the
περιγίγνεσθαι τῶν πολεμίων ἡ πόλις σφίσι χρήσιμος ἦν,
to-prevail-over the enemies the city to-them useful was
καὶ οὐδὲν ἀπολωλεκέναι, οἵ γε μήτε ἀργύριον εἶχον
and nothing to-have-lost who at-least neither silver had

ἔτι πέμπειν, ἀλλ' αὐτοὶ ἐπορίζοντο οἱ στρατιῶται, μήτε
any-longer to-send but themselves provided the soldiers nor
βούλευμα χρηστόν, οὗπερ ἕνεκα πόλις στρατοπέδων
plan good which-very for-the-sake-of city armies
κρατεῖ· ἀλλὰ καὶ ἐν τούτοις τοὺς μὲν ἡμαρτηκέναι τοὺς
controls but also in these the-ones indeed to-have-erred the
πατρίους νόμους καταλύσαντας, αὐτοὶ δὲ σῴζειν καὶ
ancestral laws having-overthrown themselves and to-preserve and
ἐκείνους πειράσεσθαι προσαναγκάζειν, ὥστε οὐδὲ τούτους,
those to-try to-compel so-that not-even these
οἵπερ ἂν βουλεύοιέν τι χρηστόν, παρὰ σφίσι χείρους εἶναι.
who-very — might-advise anything good among them worse to-be
76.7 Ἀλκιβιάδην τε, ἢν αὐτῷ ἄδειάν τε καὶ κάθοδον ποιήσωσιν,
Alcibiades both if for-him immunity both and return they-make
ἄσμενον τὴν παρὰ βασιλέως ξυμμαχίαν παρέξειν. τό τε
gladly the from king alliance to-provide the both
μέγιστον, ἢν ἁπάντων σφάλλωνται, εἶναι αὐτοῖς τοσοῦτον
greatest if in-all they-fail to-be for-them so-great
ἔχουσι ναυτικὸν πολλὰς τὰς ἀποχωρήσεις ἐν αἷς καὶ
having navy many the retreats in which also
πόλεις καὶ γῆν εὑρήσουσιν.
cities and land they-will-find
77.1 τοιαῦτα ἐν ἀλλήλοις ἐκκλησιάσαντες καὶ παραθαρσύναντες
such-things among one-another having-held-assembly and having-encouraged
σφᾶς αὐτοὺς καὶ τὰ τοῦ πολέμου παρεσκευάζοντο
them selves also the-affairs of-the war prepared
οὐδὲν ἧσσον. οἱ δὲ ἀπὸ τῶν τετρακοσίων πεμφθέντες
nothing less the and from the four-hundred sent
ἐς τὴν Σάμον ὡς ταῦτα ἐν τῇ Δήλῳ ἤδη ὄντες
to — Samos when these-things in — Delos already being
ᾐσθάνοντο, ἡσύχαζον αὐτοῦ.
they-perceived kept-quiet there

At Miletus the Peloponnesian sailors complain that Astyochus and Tissaphernes are ruining them, and the fleet offers battle off Samos. Clearchus is sent to Pharnabazus, and Byzantium revolts. Thrasybulus persuades the army to recall Alcibiades, who comes to Samos, boasts of his credit with Tissaphernes, and is elected general. The Peloponnesian sailors, more angry than ever, threaten Astyochus. The Milesians take a fort Tissaphernes had built in their city, and when Lichas rebukes them, they are angry with him too. When he dies, they will not let the Spartans bury him where they wished.

ὑπὸ δὲ τὸν χρόνον τοῦτον καὶ οἱ ἐν τῇ Μιλήτῳ τῶν 78.1
about and the time this also the-ones in — Miletus of-the
Πελοποννησίων ἐν τῷ ναυτικῷ στρατιῶται κατὰ σφᾶς
Peloponnesians in the navy soldiers among them
αὐτοὺς διεβόων ὡς ὑπό τε Ἀστυόχου καὶ Τισσαφέρνους
selves cried-out that by both Astyochus and Tissaphernes
φθείρεται τὰ πράγματα, τοῦ μὲν οὐκ ἐθέλοντος οὔτε
are-being-ruined the affairs the-one indeed not being-willing neither
πρότερον ναυμαχεῖν, ἕως ἔτι αὐτοί τε ἔρρωντο μᾶλλον
before to-fight-at-sea while still themselves both were-strong more
καὶ τὸ ναυτικὸν τῶν Ἀθηναίων ὀλίγον ἦν, οὔτε νῦν,
and the navy of-the Athenians small was nor now
ὅτε στασιάζειν τε λέγονται καὶ αἱ νῆες αὐτῶν οὐδέπω
when to-be-in-faction both they-are-said and the ships of-them not-yet
ἐν τῷ αὐτῷ εἰσίν, ἀλλὰ τὰς παρὰ Τισσαφέρνους
in the same(-place) are but the from Tissaphernes
Φοινίσσας ναῦς μένοντες, ἄλλως ὄνομα καὶ οὐκ ἔργον,
Phoenician ships waiting-for in-vain name and not reality
κινδυνεύσειν διατριβῆναι· τὸν δ' αὖ Τισσαφέρνην τάς
to-risk to-be-worn-out the-other and in-turn Tissaphernes the
τε ναῦς ταύτας οὐ κομίζειν, καὶ τροφὴν ὅτι οὐ ξυνεχῶς
both ships these not to-bring and maintenance because not continuously

οὐδ' ἐντελῆ διδοὺς κακοῖ τὸ ναυτικόν. οὔκουν ἔφασαν
nor full giving harms the navy not-therefore they-said
χρῆναι μέλλειν ἔτι, ἀλλὰ διαναυμαχεῖν.
it-was-necessary to-delay any-longer but to-fight-it-out-at-sea
79.1 καὶ μάλιστα οἱ Συρακόσιοι ἐνῆγον. αἰσθόμενοι δὲ οἱ ξύμμαχοι
and most the Syracusans urged having-perceived and the allies
καὶ ὁ Ἀστύοχος τὸν θροῦν, καὶ δόξαν αὐτοῖς ἀπὸ
and — Astyochus the murmur and it-having-seemed-good to-them from
ξυνόδου ὥστε διαναυμαχεῖν, ἐπειδὴ καὶ ἐσηγγέλλετο αὐτοῖς
meeting so-as to-fight-it-out-at-sea since also was-reported to-them
ἡ ἐν τῇ Σάμῳ ταραχή, ἄραντες ταῖς ναυσὶ πάσαις οὔσαις
the in — Samos disturbance having-set-out with-the ships all being
δώδεκα καὶ ἑκατὸν καὶ τοὺς Μιλησίους πεζῇ κελεύσαντες
twelve and hundred and the Milesians by-land having-ordered
ἐπὶ τῆς Μυκάλης παριέναι ἔπλεον ὡς πρὸς τὴν Μυκάλην.
toward — Mycale to-go-along sailed as toward — Mycale
79.2 οἱ δὲ Ἀθηναῖοι ταῖς ἐκ Σάμου ναυσὶ δυοῖν καὶ
the and Athenians with-the from Samos ships two and
ὀγδοήκοντα, αἳ ἔτυχον ἐν Γλαύκῃ τῆς Μυκάλης ὁρμοῦσαι
eighty which happened at Glauce — of-Mycale lying
(διέχει δὲ ὀλίγον ταύτῃ ἡ Σάμος τῆς ἠπείρου πρὸς
is-distant and little here — Samos from-the mainland toward
τὴν Μυκάλην), ὡς εἶδον τὰς τῶν Πελοποννησίων ναῦς
— Mycale when they-saw the of-the Peloponnesians ships
προσπλεούσας, ὑπεχώρησαν ἐς τὴν Σάμον, οὐ νομίσαντες
sailing-up withdrew to — Samos not having-thought
τῷ πλήθει διακινδυνεῦσαι περὶ τοῦ παντὸς ἱκανοὶ εἶναι.
with-the number to-risk-all about the whole sufficient to-be
79.3 καὶ ἅμα (προῄσθοντο γὰρ αὐτοὺς ἐκ
and at-the-same-time they-had-learned-beforehand for them from
τῆς Μιλήτου ναυμαχησείοντας) προσεδέχοντο καὶ τὸν
— Miletus desiring-to-fight-at-sea they-expected also —

Στρομβιχίδην ἐκ τοῦ Ἑλλησπόντου σφίσι ταῖς ἐκ
Strombichides from — Hellespont to-them with-the from
τῆς Χίου ναυσὶν ἐπ᾽ Ἀβύδου ἀφικομέναις προσβοηθήσειν·
— Chios ships to Abydos having-come to-come-to-help
προυπέπεμπτο γὰρ αὐτῷ ἄγγελος.
had-been-sent-ahead for to-him messenger
καὶ οἱ μὲν οὕτως ἐπὶ τῆς Σάμου ἀνεχώρησαν, οἱ 79.4
and they indeed thus to — Samos withdrew the
δὲ Πελοποννήσιοι καταπλεύσαντες ἐπὶ τῆς Μυκάλης
and Peloponnesians having-put-in at — Mycale
ἐστρατοπεδεύσαντο, καὶ τῶν Μιλησίων καὶ τῶν
encamped and of-the Milesians and of-the
πλησιοχώρων ὁ πεζός.
neighbors the infantry
καὶ τῇ ὑστεραίᾳ μελλόντων αὐτῶν ἐπιπλεῖν τῇ Σάμῳ 79.5
and on-the next-day being-about them to-sail-against — Samos
ἀγγέλλεται ὁ Στρομβιχίδης ταῖς ἀπὸ τοῦ Ἑλλησπόντου
is-announced — Strombichides with-the from — Hellespont
ναυσὶν ἀφιγμένος· καὶ εὐθὺς ἀπέπλεον πάλιν ἐπὶ τῆς
ships having-arrived and at-once they-sailed-back again toward —
Μιλήτου.
Miletus
οἱ δὲ Ἀθηναῖοι προσγενομένων σφίσι τῶν νεῶν ἐπίπλουν 79.6
the and Athenians having-been-added to-them the ships attack
αὐτοὶ ποιοῦνται τῇ Μιλήτῳ ναυσὶν ὀκτὼ καὶ ἑκατὸν
themselves make — on-Miletus with-ships eight and hundred
βουλόμενοι διαναυμαχῆσαι· καὶ ὡς οὐδεὶς αὐτοῖς
wishing to-fight-it-out-at-sea and when no-one against-them
ἀντανήγετο, ἀπέπλευσαν πάλιν ἐς τὴν Σάμον.
put-out sailed-back again to — Samos

80.1 ἐν δὲ τῷ αὐτῷ θέρει μετὰ τοῦτο εὐθὺς οἱ Πελοποννήσιοι,
in and the same summer after this at-once the Peloponnesians
ἐπειδὴ ἀθρόαις ταῖς ναυσὶν οὐκ ἀξιόμαχοι νομίσαντες
since with-collected the ships not a-match having-thought
εἶναι οὐκ ἀντανήγοντο, ἀπορήσαντες ὁπόθεν τοσαύταις
to-be not put-out-against being-at-a-loss from-where for-so-many
ναυσὶ χρήματα ἕξουσιν, ἄλλως τε καὶ Τισσαφέρνους
ships money they-will-have otherwise both and Tissaphernes
κακῶς διδόντος, ἀποστέλλουσιν ὡς τὸν Φαρνάβαζον,
badly giving send-off to — Pharnabazus
ὥσπερ καὶ τὸ πρῶτον ἐκ τῆς Πελοποννήσου προσετάχθη,
as also the first from — Peloponnese had-been-ordered
Κλέαρχον τὸν Ῥαμφίου ἔχοντα ναῦς τεσσαράκοντα.
Clearchus the son-of-Ramphias having ships forty

80.2 ἐπεκαλεῖτό τε γὰρ αὐτοὺς ὁ Φαρνάβαζος καὶ τροφὴν
was-inviting both for them — Pharnabazus and maintenance
ἑτοῖμος ἦν παρέχειν, καὶ ἅμα καὶ τὸ Βυζάντιον
ready was to-provide and at-the-same-time also — Byzantium
ἐπεκηρυκεύετο αὐτοῖς ἀποστῆναι.
sent-heralds to-them to-revolt

80.3 καὶ αἱ μὲν τῶν Πελοποννησίων αὗται νῆες ἀπάρασαι
and the indeed of-the Peloponnesians these ships having-set-out
ἐς τὸ πέλαγος, ὅπως λάθοιεν ἐν τῷ πλῷ
into the open-sea so-that they-might-escape-notice-of in the voyage
τοὺς Ἀθηναίους, χειμασθεῖσαι, καὶ αἱ μὲν Δήλου
the Athenians having-been-storm-tossed and the-ones indeed Delos
λαβόμεναι αἱ πλείους μετὰ Κλεάρχου καὶ ὕστερον πάλιν
having-reached the most with Clearchus and later back
ἐλθοῦσαι ἐς Μίλητον (Κλέαρχος δὲ κατὰ γῆν αὖθις
having-come to Miletus Clearchus and by land again
ἐς τὸν Ἑλλήσποντον κομισθεὶς ἦρχεν), αἱ δὲ
to — Hellespont having-been-conveyed commanded the-others and

μετὰ Ἑλίξου τοῦ Μεγαρέως στρατηγοῦ δέκα ἐς τὸν
with Helixus the Megarian general ten to —
Ἑλλήσποντον διασωθεῖσαι Βυζάντιον ἀφιστᾶσιν.
Hellespont having-come-safely-through Byzantium cause-to-revolt
καὶ μετὰ ταῦτα οἱ ἐκ τῆς Σάμου πέμπουσιν αἰσθόμενοι 80.4
and after these-things the-ones from — Samos send having-perceived
νεῶν βοήθειαν καὶ φυλακὴν ἐς τὸν Ἑλλήσποντον, καί
of-ships help and guard to — Hellespont and
τις καὶ ναυμαχία βραχεῖα γίγνεται πρὸ τοῦ Βυζαντίου
some also sea-battle short happens before — Byzantium
ναυσὶν ὀκτὼ πρὸς ὀκτώ.
with-ships eight against eight
οἱ δὲ προεστῶτες ἐν τῇ Σάμῳ καὶ μάλιστα Θρασύβουλος, 81.1
the and leaders in — Samos and most Thrasybulus
αἰεί γε τῆς αὐτῆς γνώμης ἐχόμενος, ἐπειδὴ μετέστησε
always at-least of-the same opinion holding since he-had-changed
τὰ πράγματα, ὥστε κατάγειν Ἀλκιβιάδην, τέλος ἀπ᾽
the affairs so-as to-restore Alcibiades finally from
ἐκκλησίας ἔπεισε τὸ πλῆθος τῶν στρατιωτῶν, καὶ
assembly persuaded the multitude of-the soldiers and
ψηφισαμένων αὐτῶν Ἀλκιβιάδῃ κάθοδον καὶ ἄδειαν
having-voted them for-Alcibiades return and immunity
πλεύσας ὡς τὸν Τισσαφέρνην κατῆγεν ἐς τὴν Σάμον
having-sailed to — Tissaphernes brought to — Samos
τὸν Ἀλκιβιάδην, νομίζων μόνην σωτηρίαν εἰ Τισσαφέρνην
— Alcibiades thinking only safety if Tissaphernes
αὐτοῖς μεταστήσειεν ἀπὸ Πελοποννησίων.
for-them he-should-bring-over from Peloponnesians
γενομένης δὲ ἐκκλησίας τήν τε ἰδίαν ξυμφορὰν τῆς 81.2
having-happened and assembly the both private misfortune of-the
φυγῆς ἐπητιάσατο καὶ ἀνωλοφύρατο ὁ Ἀλκιβιάδης, καὶ
exile he-complained-of and lamented — Alcibiades and

περὶ τῶν πολιτικῶν πολλὰ εἰπὼν ἐς ἐλπίδας τε αὐτοὺς
about the political-affairs much having-said into hopes both them
οὐ σμικρὰς τῶν μελλόντων καθίστη, καὶ ὑπερβάλλων
not small of-the future put and exaggerating
ἐμεγάλυνε τὴν ἑαυτοῦ δύναμιν παρὰ τῷ Τισσαφέρνει,
magnified the his-own power with — Tissaphernes
ἵνα οἵ τε οἴκοι τὴν ὀλιγαρχίαν ἔχοντες φοβοῖντο αὐτὸν
so-that the both at-home the oligarchy holding might-fear him
καὶ μᾶλλον αἱ ξυνωμοσίαι διαλυθεῖεν καὶ οἱ ἐν τῇ
and more the conspiracies might-be-dissolved and the-ones in —
Σάμῳ τιμιώτερόν τε αὐτὸν ἄγοιεν καὶ αὐτοὶ ἐπὶ πλέον
Samos more-honored both him might-hold and themselves to more
θαρσοῖεν, οἵ τε πολέμιοι τῷ Τισσαφέρνει ὡς μάλιστα
might-take-courage the both enemies — to-Tissaphernes as most
διαβάλλοιντο καὶ τῶν ὑπαρχουσῶν ἐλπίδων ἐκπίπτοιεν.
might-be-slandered and from-the existing hopes might-fall
81.3 ὑπισχνεῖτο δ' οὖν τάδε μέγιστα ἐπικομπῶν ὁ
promised and then the-following greatest boasting —
Ἀλκιβιάδης, ὡς Τισσαφέρνης αὐτῷ ὑπεδέξατο ἦ μήν, ἕως
Alcibiades that Tissaphernes to-him undertook truly indeed while
ἄν τι τῶν ἑαυτοῦ λείπηται, ἢν Ἀθηναίοις πιστεύσῃ, μὴ
— anything of-the his-own is-left if Athenians be-trusts not
ἀπορήσειν αὐτοὺς τροφῆς, οὐδ' ἢν δέῃ τελευτῶντα
to-be-in-want them of-maintenance not-even if it-is-necessary finally
τὴν ἑαυτοῦ στρωμνὴν ἐξαργυρῶσαι, τάς τε ἐν Ἀσπένδῳ
the his-own bedding to-turn-into-money the both at Aspendus
ἤδη οὔσας Φοινίκων ναῦς κομιεῖν Ἀθηναίοις καὶ οὐ
already being of-Phoenicians ships to-bring to-Athenians and not
Πελοποννησίοις· πιστεῦσαι δ' ἂν μόνως Ἀθηναίοις, εἰ
to-Peloponnesians to-trust and — only Athenians if
σῶς αὐτὸς κατελθὼν αὐτῷ ἀναδέξαιτο.
safe himself having-returned to-him should-guarantee

οἱ δὲ ἀκούοντες ταῦτά τε καὶ ἄλλα πολλὰ στρατηγόν 82.1
they and hearing these-things both and other-things many general
τε αὐτὸν εὐθὺς εἵλοντο μετὰ τῶν προτέρων καὶ τὰ
both him at-once chose with the former and the
πράγματα πάντα ἀνετίθεσαν, τήν τε παραυτίκα ἐλπίδα
affairs all entrusted the both immediate hope
ἕκαστος τῆς τε σωτηρίας καὶ τῆς τῶν τετρακοσίων
each of-the both safety and of-the of-the four-hundred
τιμωρίας οὐδενὸς ἂν ἠλλάξαντο, καὶ ἑτοῖμοι ἤδη ἦσαν
vengeance for-nothing — would-have-exchanged and ready now they-were
διὰ τὸ αὐτίκα τούς τε παρόντας πολεμίους ἐκ τῶν
because-of the immediate the both present enemies from the-things
λεχθέντων καταφρονεῖν καὶ πλεῖν ἐπὶ τὸν Πειραιᾶ.
said to-despise and to-sail to the Piraeus
ὁ δὲ τὸ μὲν ἐπὶ τὸν Πειραιᾶ πλεῖν τοὺς ἐγγυτέρω πολεμίους 82.2
he and the indeed to the Piraeus to-sail the nearer enemies
ὑπολιπόντας καὶ πάνυ διεκώλυσε, πολλῶν ἐπειγομένων,
having-left-behind also very-much prevented many pressing
τὰ δὲ τοῦ πολέμου πρῶτον ἔφη, ἐπειδὴ καὶ στρατηγὸς
the-affairs and of-the war first he-said since also general
ᾑρητο, πλεύσας ὡς Τισσαφέρνην πράξειν.
he-had-been-chosen having-sailed to Tissaphernes to-manage
καὶ ἀπὸ ταύτης τῆς ἐκκλησίας εὐθὺς ᾤχετο, ἵνα δοκῇ 82.3
and from this the assembly at-once went so-that he-might-seem
πάντα μετ᾽ ἐκείνου κοινοῦσθαι, καὶ ἅμα βουλόμενος
all with that-man to-share and at-the-same-time wishing
αὐτῷ τιμιώτερός τε εἶναι καὶ ἐνδείκνυσθαι ὅτι καὶ στρατηγὸς
to-him more-honored both to-be and to-show that also general
ἤδη ᾑρηται καὶ εὖ καὶ κακῶς οἷός τέ ἐστιν αὐτὸν
already he-has-been-chosen and well and badly able — he-is him

ποιεῖν. ξυνέβαινε δὲ τῷ Ἀλκιβιάδῃ τῷ μὲν Τισσαφέρνει
to-do it-happened and — to-Alcibiades — indeed to-Tissaphernes
τοὺς Ἀθηναίους φοβεῖν, ἐκείνοις δὲ τὸν Τισσαφέρνην.
the Athenians to-frighten to-those and — Tissaphernes
83.1 οἱ δὲ Πελοποννήσιοι ἐν τῇ Μιλήτῳ πυνθανόμενοι τὴν
the and Peloponnesians in — Miletus learning the
τοῦ Ἀλκιβιάδου κάθοδον, καὶ πρότερον τῷ Τισσαφέρνει
— of-Alcibiades return and before — to-Tissaphernes
ἀπιστοῦντες πολλῷ δὴ μᾶλλον ἔτι διεβέβληντο.
distrusting much indeed more still were-set-against(-him)
83.2 ξυνηνέχθη γὰρ αὐτοῖς κατὰ τὸν ἐπὶ τὴν Μίλητον τῶν
it-happened for to-them during the against — Miletus of-the
Ἀθηναίων ἐπίπλουν, ὡς οὐκ ἠθέλησαν ἀνταναγαγόντες
Athenians attack when not they-wished having-put-out-against
ναυμαχῆσαι, πολλῷ ἐς τὴν μισθοδοσίαν τὸν Τισσαφέρνην
to-fight-at-sea much in the pay — Tissaphernes
ἀρρωστότερον γενόμενον καὶ ἐς τὸ μισεῖσθαι ὑπ᾽ αὐτῶν
slacker having-become and into the to-be-hated by them
πρότερον ἔτι τούτων διὰ τὸν Ἀλκιβιάδην ἐπιδεδωκέναι.
before still than-these because-of — Alcibiades to-have-increased
83.3 καὶ ξυνιστάμενοι κατ᾽ ἀλλήλους οἷάπερ καὶ πρότερον οἱ
and gathering by one-another such-things-as also before the
στρατιῶται ἀνελογίζοντο καί τινες καὶ τῶν ἄλλων τῶν ἀξίων
soldiers reckoned and some also of-the others of-the worthy
λόγου ἀνθρώπων καὶ οὐ μόνον τὸ στρατιωτικόν, ὡς οὔτε
of-account men and not only the soldiery that neither
μισθὸν ἐντελῆ πώποτε λάβοιεν, τό τε διδόμενον βραχὺ
pay full ever they-had-received the both given small
καὶ οὐδὲ τοῦτο ξυνεχῶς· καὶ εἰ μή τις ἢ διαναυμαχήσει
and not-even this continuously and if not anyone either will-fight-it-out-at-sea
ἢ ἀπαλλάξεται ὅθεν τροφὴν ἕξει, ἀπολείψειν τοὺς
or will-move-away whence maintenance he-will-have to-desert the

ἀνθρώπους τὰς ναῦς· πάντων τε Ἀστύοχον εἶναι αἴτιον
men the ships of-all both Astyochus to-be responsible
ἐπιφέροντα ὀργὰς Τισσαφέρνει διὰ ἴδια κέρδη.
indulging tempers to-Tissaphernes because-of private gains
ὄντων δ' αὐτῶν ἐν τοιούτῳ ἀναλογισμῷ ξυνηνέχθη καὶ 84.1
being and them in such reckoning it-happened also
τοιόσδε τις θόρυβος περὶ τὸν Ἀστύοχον.
such some uproar about — Astyochus
τῶν γὰρ Συρακοσίων καὶ Θουρίων ὅσῳ μάλιστα 84.2
of-the for Syracusans and Thurians by-as-much-as most
καὶ ἐλεύθεροι ἦσαν τὸ πλῆθος οἱ ναῦται, τοσούτῳ καὶ
also free were the multitude the sailors by-so-much also
θρασύτατα προσπεσόντες τὸν μισθὸν ἀπῄτουν. ὁ δὲ
most-boldly having-assailed the pay demanded he and
αὐθαδέστερόν τέ τι ἀπεκρίνατο καὶ ἠπείλησε καὶ
rather-arrogantly both somewhat answered and threatened and
τῷ γε Δωριεῖ ξυναγορεύοντι τοῖς ἑαυτοῦ ναύταις καὶ
— at-least to-Dorieus supporting the his-own sailors also
ἐπανήρατο τὴν βακτηρίαν.
raised the staff
τὸ δὲ πλῆθος τῶν στρατιωτῶν ὡς εἶδον, οἷα δὴ 84.3
the and multitude of-the soldiers when they-saw such-as indeed
ναῦται, ὥρμησαν ἐκραγέντες ἐπὶ τὸν Ἀστύοχον ὥστε
sailors rushed having-broken-out against — Astyochus so-as
βάλλειν· ὁ δὲ προϊδὼν καταφεύγει ἐπὶ βωμόν τινα.
to-stone he and having-foreseen flees to altar a-certain
οὐ μέντοι ἐβλήθη γε, ἀλλὰ διελύθησαν ἀπ' ἀλλήλων.
not however was-bit at-least but they-parted from one-another
ἔλαβον δὲ καὶ τὸ ἐν τῇ Μιλήτῳ ἐνῳκοδομημένον τοῦ 84.4
took and also the in — Miletus built-in —
Τισσαφέρνους φρούριον οἱ Μιλήσιοι λάθρᾳ ἐπιπεσόντες,
of-Tissaphernes fort the Milesians secretly having-attacked

καὶ τοὺς ἐνόντας φύλακας αὐτοῦ ἐκβάλλουσιν· ξυνεδόκει
and the inside guards of-it expel it-seemed-good
δὲ καὶ τοῖς ἄλλοις ξυμμάχοις ταῦτα καὶ οὐχ ἥκιστα
and also to-the other allies these-things and not least
τοῖς Συρακοσίοις.
to-the Syracusans

84.5 ὁ μέντοι Λίχας οὔτε ἠρέσκετο αὐτοῖς ἔφη τε χρῆναι
— however Lichas neither was-pleased with-them said both it-was-necessary
Τισσαφέρνει καὶ δουλεύειν Μιλησίους καὶ τοὺς ἄλλους
to-Tissaphernes both to-be-subject Milesians and the others
τοὺς ἐν τῇ βασιλέως τὰ μέτρια καὶ ἐπιθεραπεύειν, ἕως
the in the of-king the-things moderate and to-court until
ἂν τὸν πόλεμον εὖ θῶνται. οἱ δὲ Μιλήσιοι ὠργίζοντό τε
— the war well they-settle the and Milesians were-angry both
αὐτῷ καὶ διὰ ταῦτα καὶ δι᾽ ἄλλα τοιουτότροπα
with-him and because-of these-things and because-of other-things of-such-kind
καὶ νόσῳ ὕστερον ἀποθανόντα αὐτὸν οὐκ εἴασαν θάψαι
and of-disease later having-died him not allowed to-bury
οὗ ἐβούλοντο οἱ παρόντες τῶν Λακεδαιμονίων.
where wished the present of-the Lacedaemonians

Mindarus succeeds Astyochus as admiral. Hermocrates, exiled from Syracuse, accuses Tissaphernes before Sparta. The envoys of the Four Hundred come to Samos, and the soldiers want to sail at once against the Piraeus. Alcibiades restrains them, and Thucydides counts this his first and greatest service to the city, since otherwise the enemy would at once have held Ionia and the Hellespont. He tells the envoys that he does not oppose the five thousand but bids the Four Hundred resign. Tissaphernes goes to Aspendus to bring the Phoenician fleet, and Thucydides weighs why it never came. Alcibiades sails off toward Phaselis and Caunus.

κατὰ δὴ τοιαύτην διαφορὰν ὄντων αὐτοῖς τῶν πραγμάτων 85.1
by indeed such disagreement being for-them the affairs
πρός τε τὸν Ἀστύοχον καὶ τὸν Τισσαφέρνην Μίνδαρος
with both — Astyochus and — Tissaphernes Mindarus
διάδοχος τῆς Ἀστυόχου ναυαρχίας ἐκ Λακεδαίμονος ἐπῆλθε
successor of-the of-Astyochus admiralty from Lacedaemon came
καὶ παραλαμβάνει τὴν ἀρχήν· ὁ δὲ Ἀστύοχος ἀπέπλει.
and takes-over the command — and Astyochus sailed-away
ξυνέπεμψε δὲ καὶ Τισσαφέρνης αὐτῷ πρεσβευτὴν 85.2
sent-with and also Tissaphernes him envoy
τῶν παρ' ἑαυτοῦ, Γαυλίτην ὄνομα, Κᾶρα δίγλωσσον,
of-the-ones with himself Gaulites by-name a-Carian bilingual
κατηγορήσοντα τῶν τε Μιλησίων περὶ τοῦ φρουρίου
going-to-accuse the both Milesians about the fort
καὶ περὶ αὑτοῦ ἅμα ἀπολογησόμενον, εἰδὼς τούς
and about himself at-the-same-time going-to-defend knowing the
τε Μιλησίους πορευομένους ἐπὶ καταβοῇ τῇ αὑτοῦ
both Milesians going for denunciation the of-himself
μάλιστα καὶ τὸν Ἑρμοκράτη μετ' αὐτῶν, ὃς ἔμελλε τὸν
most and — Hermocrates with them who was-about —

Τισσαφέρνην ἀποφαίνειν φθείροντα τῶν Πελοποννησίων
Tissaphernes to-show ruining of-the Peloponnesians
τὰ πράγματα μετὰ Ἀλκιβιάδου καὶ ἐπαμφοτερίζοντα.
the affairs with Alcibiades and playing-both-sides
85.3 ἔχθρα δὲ πρὸς αὐτὸν ἦν αὐτῷ αἰεί ποτε περὶ τοῦ
enmity and toward him was to-him always ever about the
μισθοῦ τῆς ἀποδόσεως· καὶ τὰ τελευταῖα φυγόντος ἐκ
pay of-the payment and at-the last having-been-exiled from
Συρακουσῶν τοῦ Ἑρμοκράτους καὶ ἑτέρων ἡκόντων ἐπὶ
Syracuse — Hermocrates and other having-come to
τὰς ναῦς τῶν Συρακοσίων ἐς τὴν Μίλητον στρατηγῶν,
the ships of-the Syracusans at — Miletus generals
Ποτάμιδος καὶ Μύσκωνος καὶ Δημάρχου, ἐνέκειτο ὁ
Potamis and Myscon and Demarchus pressed —
Τισσαφέρνης φυγάδι ὄντι ἤδη τῷ Ἑρμοκράτει πολλῷ ἔτι
Tissaphernes exile being already — on-Hermocrates much still
μᾶλλον καὶ κατηγόρει ἄλλα τε καὶ ὡς χρήματά ποτε
more and accused other-things both and that money once
αἰτήσας αὑτὸν καὶ οὐ τυχὼν τὴν ἔχθραν οἱ προθοῖτο.
having-asked himself and not having-obtained the enmity to-him he-had-displayed
85.4 ὁ μὲν οὖν Ἀστύοχος καὶ οἱ Μιλήσιοι καὶ ὁ Ἑρμοκράτης
— indeed then Astyochus and the Milesians and — Hermocrates
ἀπέπλευσαν ἐς τὴν Λακεδαίμονα. ὁ δὲ Ἀλκιβιάδης διεβεβήκει
sailed-off to — Lacedaemon — and Alcibiades had-crossed
πάλιν ἤδη παρὰ τοῦ Τισσαφέρνους ἐς τὴν Σάμον.
back already from — Tissaphernes to — Samos
86.1 καὶ οἱ ἐκ τῆς Δήλου ἀπὸ τῶν τετρακοσίων, οὓς
and the-ones from — Delos from the four-hundred whom
τότε ἔπεμψαν παραμυθησομένους καὶ ἀναδιδάξοντας τοὺς
then they-sent going-to-console and going-to-explain-again the-ones

ἐν τῇ Σάμῳ, ἀφικνοῦνται παρόντος τοῦ Ἀλκιβιάδου, καὶ
in — Samos arrive being-present — Alcibiades and
ἐκκλησίας γενομένης λέγειν ἐπεχείρουν.
assembly having-happened to-speak attempted
οἱ δὲ στρατιῶται τὸ μὲν πρῶτον οὐκ ἤθελον ἀκούειν, 86.2
the and soldiers at-the indeed first not were-willing to-hear
ἀλλ' ἀποκτείνειν ἐβόων τοὺς τὸν δῆμον καταλύοντας,
but to-kill shouted the-ones the people overthrowing
ἔπειτα μέντοι μόλις ἡσυχάσαντες ἤκουσαν.
then however with-difficulty having-quieted heard
οἱ δ' ἀπήγγελλον ὡς οὔτε ἐπὶ διαφθορᾷ τῆς πόλεως 86.3
they and reported that neither for destruction of-the city
ἡ μετάστασις γίγνοιτο, ἀλλ' ἐπὶ σωτηρίᾳ, οὔθ' ἵνα τοῖς
the change was-happening but for safety nor so-that to-the
πολεμίοις παραδοθῇ (ἐξεῖναι γάρ, ὅτε ἐσέβαλον ἤδη
enemies it-be-handed-over to-be-possible for when they-invaded already
σφῶν ἀρχόντων, τοῦτο ποιῆσαι), τῶν τε πεντακισχιλίων
them ruling this to-do of-the both five-thousand
ὅτι πάντες ἐν τῷ μέρει μεθέξουσιν, οἵ τε οἰκεῖοι αὐτῶν
that all in the turn will-share the both relatives of-them
οὔθ' ὑβρίζονται, ὥσπερ Χαιρέας διαβάλλων ἀπήγγειλεν,
neither are-outraged as Chaereas slandering reported
οὔτε κακὸν ἔχουσιν οὐδέν, ἀλλ' ἐπὶ τοῖς σφετέροις αὐτῶν
nor harm have none but on the their-own selves
ἕκαστοι κατὰ χώραν μένουσιν.
each in place remain
ἄλλα τε πολλὰ εἰπόντων οὐδὲν μᾶλλον ἐσήκουον, ἀλλ' 86.4
other-things both many having-said nothing more listened but
ἐχαλέπαινον καὶ γνώμας ἄλλοι ἄλλας ἔλεγον, μάλιστα δὲ
were-angry and opinions others other said most and
ἐπὶ τὸν Πειραιᾶ πλεῖν. καὶ δοκεῖ Ἀλκιβιάδης πρῶτον τότε
to the Piraeus to-sail and seems Alcibiades first then

καὶ οὐδενὸς ἔλασσον τὴν πόλιν ὠφελῆσαι· ὡρμημένων
also than-no-one less the city to-have-helped being-set
γὰρ τῶν ἐν Σάμῳ Ἀθηναίων πλεῖν ἐπὶ σφᾶς αὐτούς, ἐν
for of-the in Samos Athenians to-sail against them selves in
ᾧ σαφέστατα Ἰωνίαν καὶ Ἑλλήσποντον εὐθὺς εἶχον
which most-clearly Ionia and Hellespont at-once would-hold
οἱ πολέμιοι, κωλυτὴς γενέσθαι.
the enemies preventer to-have-become

86.5 καὶ ἐν τῷ τότε ἄλλος μὲν οὐδ' ἂν εἷς ἱκανὸς
and in the then(-moment) other indeed not-even — one sufficient
ἐγένετο κατασχεῖν τὸν ὄχλον, ἐκεῖνος δὲ τοῦ
would-have-been to-restrain the crowd that-one and from-the
τ' ἐπίπλου ἔπαυσε καὶ τοὺς ἰδίᾳ τοῖς πρέσβεσιν
both attack stopped and the-ones privately with-the envoys
ὀργιζομένους λοιδορῶν ἀπέτρεπεν.
being-angry rebuking turned-back

86.6 αὐτὸς δὲ ἀποκρινάμενος αὐτοῖς ἀπέπεμπεν, ὅτι τοὺς
himself and having-answered them sent-off that the
μὲν πεντακισχιλίους οὐ κωλύοι ἄρχειν, τοὺς μέντοι
indeed five-thousand not he-would-prevent to-rule the however
τετρακοσίους ἀπαλλάσσειν ἐκέλευεν αὐτοὺς καὶ καθιστάναι
four-hundred to-get-rid-of he-ordered them and to-establish
τὴν βουλὴν ὥσπερ καὶ πρότερον, τοὺς πεντακοσίους·
the council as also before the five-hundred
εἰ δὲ ἐς εὐτέλειάν τι ξυντέτμηται ὥστε τοὺς
if and toward economy anything has-been-cut so-that the-ones
στρατευομένους μᾶλλον ἔχειν τροφήν, πάνυ ἐπαινεῖν.
campaigning more to-have maintenance very to-praise

86.7 καὶ τἆλλα ἐκέλευεν ἀντέχειν καὶ μηδὲν ἐνδιδόναι τοῖς
and the-rest he-ordered to-hold-out and nothing to-yield to-the
πολεμίοις· πρὸς μὲν γὰρ σφᾶς αὐτοὺς σῳζομένης τῆς
enemies with indeed for them selves being-saved the

πόλεως πολλὴν ἐλπίδα εἶναι καὶ ξυμβῆναι, εἰ δὲ ἅπαξ
city much hope to-be also to-come-to-terms if but once
τὸ ἕτερον σφαλήσεται, ἢ τὸ ἐν Σάμῳ ἢ ἐκεῖνοι, οὐδ᾽
the one will-fail either the at Samos or those not-even
ὅτῳ διαλλαγήσεταί τις ἔτι ἔσεσθαι.
with-whom will-be-reconciled anyone any-longer to-be
παρῆσαν δὲ καὶ Ἀργείων πρέσβεις, ἐπαγγελλόμενοι τῷ 86.8
were-present and also of-Argives envoys offering to-the
ἐν τῇ Σάμῳ τῶν Ἀθηναίων δήμῳ ὥστε βοηθεῖν· ὁ δὲ
in — Samos of-the Athenians people so-as to-help — and
Ἀλκιβιάδης ἐπαινέσας αὐτοὺς καὶ εἰπὼν ὅταν τις
Alcibiades having-praised them and having-said whenever anyone
καλῇ παρεῖναι οὕτως ἀπέπεμπεν.
calls to-be-present thus sent-off
ἀφίκοντο δὲ οἱ Ἀργεῖοι μετὰ τῶν Παράλων, οἳ 86.9
arrived and the Argives with the Paralians who
τότε ἐτάχθησαν ἐν τῇ στρατιώτιδι νηὶ ὑπὸ τῶν
then were-assigned in the troop ship by the
τετρακοσίων περιπλεῖν Εὔβοιαν, καὶ ἄγοντες Ἀθηναίων ἐς
four-hundred to-sail-round Euboea and bringing of-Athenians to
Λακεδαίμονα ἀπὸ τῶν τετρακοσίων πρέσβεις, Λαισποδίαν
Lacedaemon from the four-hundred envoys Laespodias
καὶ Ἀριστοφῶντα καὶ Μελησίαν, ἐπειδὴ ἐγένοντο πλέοντες
and Aristophon and Melesias when they-came sailing
κατ᾽ Ἄργος, τοὺς μὲν πρέσβεις ξυλλαβόντες τοῖς Ἀργείοις
off Argos the indeed envoys having-seized to-the Argives
παρέδοσαν ὡς τῶν οὐχ ἥκιστα καταλυσάντων τὸν
handed-over as of-the-ones not least having-overthrown the
δῆμον ὄντας, αὐτοὶ δὲ οὐκέτι ἐς τὰς Ἀθήνας ἀφίκοντο,
people being themselves and no-longer to — Athens arrived

ἀλλ᾽ ἄγοντες ἐκ τοῦ Ἄργους ἐς τὴν Σάμον τοὺς πρέσβεις
but bringing from — Argos to — Samos the envoys
ἀφικνοῦνται ᾗπερ εἶχον τριήρει.
arrive in-which-very they-had trireme

87.1 τοῦ δ᾽ αὐτοῦ θέρους Τισσαφέρνης, κατὰ τὸν καιρὸν τοῦτον
in-the and same summer Tissaphernes about the time this
ἐν ᾧ μάλιστα διά τε τἆλλα καὶ διὰ τὴν Ἀλκιβιάδου
in which most because-of both the-rest and because-of the of-Alcibiades
κάθοδον ἤχθοντο αὐτῷ οἱ Πελοποννήσιοι ὡς φανερῶς ἤδη
return were-angry with-him the Peloponnesians as openly already
ἀττικίζοντι, βουλόμενος, ὡς ἐδόκει δή, ἀπολύεσθαι πρὸς
atticizing wishing as it-seemed indeed to-clear-away toward
αὐτοὺς τὰς διαβολάς, παρεσκευάζετο πορεύεσθαι ἐπὶ τὰς
them the slanders prepared to-go to the
Φοινίσσας ναῦς ἐς Ἄσπενδον, καὶ τὸν Λίχαν ξυμπορεύεσθαι
Phoenician ships to Aspendus and — Lichas to-go-with
ἐκέλευεν· τῇ δὲ στρατιᾷ προστάξειν ἔφη Τάμων ἑαυτοῦ
ordered to-the and army to-assign said Tamos of-himself
ὕπαρχον, ὥστε τροφὴν ἐν ὅσῳ ἂν αὐτὸς ἀπῇ διδόναι.
lieutenant so-that maintenance in while — himself be-away to-give

87.2 λέγεται δὲ οὐ κατὰ ταὐτό, οὐδὲ ῥᾴδιον εἰδέναι τίνι
it-is-said and not in the-same-way nor easy to-know with-what
γνώμῃ παρῆλθεν ἐς τὴν Ἄσπενδον καὶ παρελθὼν οὐκ
intent he-went to — Aspendus and having-gone not
ἤγαγε τὰς ναῦς.
he-brought the ships

87.3 ὅτι μὲν γὰρ αἱ Φοίνισσαι νῆες ἑπτὰ καὶ τεσσαράκοντα
that indeed for the Phoenician ships seven and forty
καὶ ἑκατὸν μέχρι Ἀσπένδου ἀφίκοντο σαφές ἐστι, διότι
and hundred as-far-as Aspendus arrived clear is why
δὲ οὐκ ἦλθον πολλαχῇ εἰκάζεται. οἱ μὲν γὰρ ἵνα
but not they-came in-many-ways is-conjectured the-ones indeed for so-that

διατρίβῃ ἀπελθών, ὥσπερ καὶ διενοήθη, τὰ τῶν
he-might-wear-out having-gone-away as also he-had-intended the-affairs of-the
Πελοποννησίων (τροφὴν γοῦν οὐδὲν βέλτιον, ἀλλὰ καὶ
Peloponnesians maintenance at-any-rate nothing better but even
χεῖρον ὁ Τάμως, ᾧ προσετάχθη, παρεῖχεν), οἱ
worse — Tamos to-whom it-was-assigned provided the-others
δὲ ἵνα τοὺς Φοίνικας προαγαγὼν ἐς τὴν Ἄσπενδον
and so-that the Phoenicians having-brought-forward to — Aspendus
ἐκχρηματίσαιτο ἀφείς (καὶ γὰρ ὡς αὐτοῖς οὐδὲν
he-might-extract-money having-released even for so them nothing
ἔμελλε χρήσεσθαι), ἄλλοι δ' ὡς καταβοῆς ἕνεκα τῆς
he-was-going to-use others and as of-outcry for-the-sake the
ἐς Λακεδαίμονα, τοῦ λέγεσθαι ὡς οὐκ ἀδικεῖ, ἀλλὰ καὶ
to Lacedaemon of-the to-be-said that not he-does-wrong but even
σαφῶς οἴχεται ἐπὶ τὰς ναῦς ἀληθῶς πεπληρωμένας.
clearly he-goes to the ships truly manned
ἐμοὶ μέντοι δοκεῖ σαφέστατον εἶναι διατριβῆς ἕνεκα καὶ 87.4
to-me however seems clearest to-be of-wearing-out for-the-sake and
ἀνοκωχῆς τῶν Ἑλληνικῶν τὸ ναυτικὸν οὐκ ἀγαγεῖν, φθορᾶς
of-holding-back of-the Greek(-affairs) the navy not to-have-brought of-ruin
μέν, ἐν ὅσῳ παρῄει ἐκεῖσε καὶ διέμελλεν, ἀνισώσεως δέ,
indeed in while he-went thither and delayed of-equalizing and
ὅπως μηδετέροις προσθέμενος ἰσχυροτέρους ποιήσῃ, ἐπεί,
so-that to-neither having-joined stronger he-might-make since
εἴ γε ἐβουλήθη, διαπολεμῆσαι ἂν ἐπιφανὲς δήπου οὐκ
if at-least he-had-wished to-fight-it-out — having-appeared surely not
ἐνδοιαστῶς· κομίσας γὰρ ἂν Λακεδαιμονίοις τὴν νίκην κατὰ
doubtfully having-brought for — to-Lacedaemonians the victory by
τὸ εἰκὸς ἔδωκεν, οἵ γε καὶ ἐν τῷ παρόντι ἀντιπάλως
the likely he-would-have-given who at-least also in the present evenly
μᾶλλον ἢ ὑποδεεστέρως τῷ ναυτικῷ ἀνθώρμουν.
rather than inferiorly with-the navy lay-opposite

87.5 καταφωρᾷ δὲ μάλιστα καὶ ἣν εἶπε πρόφασιν οὐ
betrays(-him) and most also which he-gave pretext not
κομίσας τὰς ναῦς. ἔφη γὰρ αὐτὰς ἐλάσσους ἢ ὅσας
having-brought the ships he-said for them fewer than as-many-as
βασιλεὺς ἔταξε ξυλλεγῆναι· ὁ δὲ χάριν ἂν δήπου ἐν
king ordered to-be-collected he but favor — surely in
τούτῳ μείζω ἔτι ἔσχεν, οὔτ' ἀναλώσας πολλὰ τῶν
this greater still would-have-had neither having-spent much of-the
βασιλέως τά τε αὐτὰ ἀπ' ἐλασσόνων πράξας.
of-king the-things both same from fewer having-done

87.6 ἐς δ' οὖν τὴν Ἄσπενδον ἡτινιδὴ γνώμῃ ὁ Τισσαφέρνης
to and then — Aspendus with-whatever intent — Tissaphernes
ἀφικνεῖται καὶ τοῖς Φοίνιξι ξυγγίγνεται· καὶ οἱ
arrives and with-the Phoenicians associates and the
Πελοποννήσιοι ἔπεμψαν ὡς ἐπὶ τὰς ναῦς κελεύσαντος
Peloponnesians sent as to the ships having-ordered
αὐτοῦ Φίλιππον ἄνδρα Λακεδαιμόνιον δύο τριήρεσιν.
him Philip a-man Lacedaemonian with-two triremes

88.1 Ἀλκιβιάδης δὲ ἐπειδὴ καὶ τὸν Τισσαφέρνην ᾔσθετο
Alcibiades and when also — Tissaphernes he-perceived
παριόντα ἐπὶ τῆς Ἀσπένδου, ἔπλει καὶ αὐτὸς λαβὼν
going toward — Aspendus sailed also himself having-taken
τρεῖς καὶ δέκα ναῦς, ὑποσχόμενος τοῖς ἐν τῇ Σάμῳ
three and ten ships having-promised to-the-ones in — Samos
ἀσφαλῆ καὶ μεγάλην χάριν (ἢ γὰρ αὐτὸς ἄξειν Ἀθηναίοις
safe and great favor either for himself to-bring to-Athenians
τὰς Φοινίσσας ναῦς ἢ Πελοποννησίοις γε κωλύσειν
the Phoenician ships or for-Peloponnesians at-least to-prevent
ἐλθεῖν), εἰδώς, ὡς εἰκός, ἐκ πλέονος τὴν Τισσαφέρνους
to-come knowing as likely from longer(-time) the of-Tissaphernes
γνώμην ὅτι οὐκ ἄξειν ἔμελλε, καὶ βουλόμενος αὐτὸν
intention that not to-bring he-was-about and wishing him

τοῖς Πελοποννησίοις ἐς τὴν ἑαυτοῦ καὶ Ἀθηναίων φιλίαν
to-the Peloponnesians for the his-own and of-Athenians friendship
ὡς μάλιστα διαβάλλειν, ὅπως μᾶλλον δι᾽ αὐτὸ σφίσιν
as most to-discredit so-that more because-of it to-them
ἀναγκάζοιτο προσχωρεῖν. καὶ ὁ μὲν ἄρας εὐθὺ
he-might-be-compelled to-come-over and he indeed having-set-out straight-for
τῆς Φασήλιδος καὶ Καύνου ἄνω τὸν πλοῦν ἐποιεῖτο.
— Phaselis and Caunus up the voyage made

XX · EETIONEA

The envoys' report divides the Four Hundred. Theramenes, Aristocrates, and others demand that the five thousand be made real and turn against the oligarchy. The extreme leaders send envoys to Sparta for peace on any terms and fortify the mole at Eetionea, where they could admit the enemy. Phrynichus is murdered in the market. When the Peloponnesian fleet appears off Epidaurus and Aegina, the hoplites working on Eetionea arrest Alexicles, demolish the wall, and call for the five thousand. The Four Hundred promise to name the five thousand, and an assembly in the theater of Dionysus is called to settle the city's concord.

οἱ δ᾽ ἐκ τῆς Σάμου ἀπὸ τῶν τετρακοσίων πεμφθέντες 89.1
the and from — Samos from the four-hundred sent
πρέσβεις ἐπειδὴ ἀφικόμενοι ἐς τὰς Ἀθήνας ἀπήγγειλαν
envoys when having-arrived at — Athens reported
τὰ παρὰ τοῦ Ἀλκιβιάδου, ὡς κελεύει τε ἀντέχειν
the-things from — Alcibiades that he-urges both to-hold-out
καὶ μηδὲν ἐνδιδόναι τοῖς πολεμίοις, ἐλπίδας τε ὅτι
and nothing to-yield to-the enemies hopes both that
πολλὰς ἔχει κἀκείνοις τὸ στράτευμα διαλλάξειν καὶ
many he-has also-with-those the army to-reconcile and
Πελοποννησίων περιέσεσθαι, ἀχθομένους καὶ πρότερον τοὺς
Peloponnesians to-prevail-over being-vexed also before the

πολλοὺς τῶν μετεχόντων τῆς ὀλιγαρχίας καὶ ἡδέως ἂν
many of-the sharing of-the oligarchy and gladly —
ἀπαλλαγέντας πῃ ἀσφαλῶς τοῦ πράγματος πολλῷ
being-freed somehow safely from-the affair much
δὴ μᾶλλον ἐπέρρωσαν.
indeed more strengthened

89.2 καὶ ξυνίσταντό τε ἤδη καὶ τὰ πράγματα διεμέμφοντο,
and they-combined both now and the affairs blamed
ἔχοντες ἡγεμόνας τῶν πάνυ τῶν ἐν τῇ ὀλιγαρχίᾳ καὶ
having leaders of-the very of-the in the oligarchy and
ἐν ἀρχαῖς ὄντων, οἷον Θηραμένη τε τὸν Ἄγνωνος καὶ
in offices being such-as Theramenes both the son-of-Hagnon and
Ἀριστοκράτη τὸν Σκελίου καὶ ἄλλους, οἳ μετέσχον μὲν
Aristocrates the son-of-Sceilius and others who shared indeed
ἐν τοῖς πρῶτοι τῶν πραγμάτων, φοβούμενοι δέ, ὡς
among the first of-the affairs fearing but as
ἔφασαν, τό τε ἐν τῇ Σάμῳ στράτευμα καὶ τὸν Ἀλκιβιάδην
they-said the both in — Samos army and — Alcibiades
σπουδῇ πάνυ, τούς τε ἐς τὴν Λακεδαίμονα πρεσβευομένους,
eagerly very the-ones both to — Lacedaemon going-as-envoys
μή τι ἄνευ τῶν πλεόνων κακὸν δράσωσι τὴν πόλιν,
lest something without the majority harm they-should-do the city
οὐ τὸ †ἀπαλλαξείειν τοῦ ἄγαν ἐς ὀλίγους ἐλθεῖν, ἀλλὰ
not the to-get-rid-of the too-much into few to-come but
τοὺς πεντακισχιλίους ἔργῳ καὶ μὴ ὀνόματι χρῆναι
the five-thousand in-deed and not in-name it-was-necessary
ἀποδεικνύναι καὶ τὴν πολιτείαν ἰσαιτέραν καθιστάναι.
to-appoint and the constitution more-equal to-establish

89.3 ἦν δὲ τοῦτο μὲν σχῆμα πολιτικὸν τοῦ λόγου αὐτοῖς,
was and this indeed pretext political of-the word for-them
κατ' ἰδίας δὲ φιλοτιμίας οἱ πολλοὶ αὐτῶν τῷ τοιούτῳ
by private but ambitions the many of-them to-the such

προσέκειντο, ἐν ᾧπερ καὶ μάλιστα ὀλιγαρχία ἐκ
were-devoted in which-very also most oligarchy from
δημοκρατίας γενομένη ἀπόλλυται· πάντες γὰρ αὐθημερὸν
democracy having-arisen perishes all for on-the-same-day
ἀξιοῦσιν οὐχ ὅπως ἴσοι, ἀλλὰ καὶ πολὺ πρῶτος αὐτὸς
claim not that equal but also by-far first himself
ἕκαστος εἶναι· ἐκ δὲ δημοκρατίας αἱρέσεως γιγνομένης
each to-be from but democracy election happening
ῥᾷον τὰ ἀποβαίνοντα ὡς οὐκ ἀπὸ τῶν ὁμοίων
more-easily the results as not from the equals
ἐλασσούμενός τις φέρει.
being-worsted one bears
σαφέστατα δ' αὐτοὺς ἐπῆρε τὰ ἐν τῇ Σάμῳ τοῦ 89.4
most-clearly and them elated the-things in — Samos —
Ἀλκιβιάδου ἰσχυρὰ ὄντα καὶ ὅτι αὐτοῖς οὐκ ἐδόκει μόνιμον
of-Alcibiades strong being and that to-them not seemed lasting
τὸ τῆς ὀλιγαρχίας ἔσεσθαι· ἠγωνίζετο οὖν εἷς ἕκαστος
the of-the oligarchy to-be strove then one each
αὐτὸς πρῶτος προστάτης τοῦ δήμου γενέσθαι.
himself first leader of-the people to-become
οἱ δὲ τῶν τετρακοσίων μάλιστα ἐναντίοι ὄντες τῷ τοιούτῳ 90.1
the and of-the four-hundred most opposed being to-the such
εἴδει καὶ προεστῶτες Φρύνιχός τε, ὃς καὶ στρατηγήσας ἐν τῇ
form and leaders Phrynichus both who also having-been-general in —
Σάμῳ τῷ Ἀλκιβιάδῃ τότε διηνέχθη, καὶ Ἀρίσταρχος, ἀνὴρ
Samos — with-Alcibiades then quarreled and Aristarchus a-man
ἐν τοῖς μάλιστα καὶ ἐκ πλείστου ἐναντίος τῷ δήμῳ, καὶ
among the most and from longest opposed to-the people and
Πείσανδρος καὶ Ἀντιφῶν καὶ ἄλλοι οἱ δυνατώτατοι, πρότερόν
Pisander and Antiphon and others the most-powerful before
τε, ἐπεὶ τάχιστα κατέστησαν καὶ ἐπειδὴ τὰ ἐν τῇ Σάμῳ
both when soonest they-were-established and when the-things in — Samos

σφῶν ἐς δημοκρατίαν ἀπέστη, πρέσβεις τε ἀπέστελλον
from-them to democracy revolted envoys both sent
σφῶν ἐς τὴν Λακεδαίμονα καὶ τὴν ὁμολογίαν προυθυμοῦντο
of-them to — Lacedaemon and the agreement were-eager-for
καὶ τὸ ἐν τῇ Ἠετιωνείᾳ καλουμένῃ τεῖχος ἐποιοῦντο,
and the in — Eetionea called wall made
πολλῷ τε μᾶλλον ἔτι, ἐπειδὴ καὶ οἱ ἐκ τῆς Σάμου
much both more still when also the from — Samos
πρέσβεις σφῶν ἦλθον, ὁρῶντες τούς τε πολλοὺς καὶ σφῶν
envoys of-them came seeing the both many and of-them
τοὺς δοκοῦντας πρότερον πιστοὺς εἶναι μεταβαλλομένους.
the-ones seeming before trustworthy to-be changing
90.2 καὶ ἀπέστειλαν μὲν Ἀντιφῶντα καὶ Φρύνιχον καὶ ἄλλους
and sent indeed Antiphon and Phrynichus and others
δέκα κατὰ τάχος, φοβούμενοι καὶ τὰ αὐτοῦ καὶ τὰ
ten with speed fearing both the-things there and the-things
ἐκ τῆς Σάμου, ἐπιστείλαντες παντὶ τρόπῳ ὅστις καὶ
from — Samos having-instructed in-every way whatever even
ὁπωσοῦν ἀνεκτὸς ξυναλλαγῆναι πρὸς τοὺς Λακεδαιμονίους,
in-any-way tolerable to-come-to-terms with the Lacedaemonians
90.3 ᾠκοδόμουν δὲ ἔτι προθυμότερον τὸ ἐν τῇ Ἠετιωνείᾳ
built and still more-eagerly the in — Eetionea
τεῖχος. ἦν δὲ τοῦ τείχους ἡ γνώμη αὕτη, ὡς ἔφη
wall was and of-the wall the intention this as said
Θηραμένης καὶ οἱ μετ' αὐτοῦ, οὐχ ἵνα τοὺς ἐν Σάμῳ,
Theramenes and the-ones with him not so-that the-ones in Samos
ἢν βίᾳ ἐπιπλέωσι, μὴ δέξωνται ἐς τὸν Πειραιᾶ, ἀλλ'
if by-force they-sail-against not they-may-receive into the Piraeus but
ἵνα τοὺς πολεμίους μᾶλλον, ὅταν βούλωνται, καὶ ναυσὶ
so-that the enemies rather when they-wish both with-ships
καὶ πεζῷ δέξωνται.
and with-infantry they-may-receive

χηλὴ γάρ ἐστι τοῦ Πειραιῶς ἡ Ἠετιωνεία, καὶ παρ' αὐτὴν 90.4
mole for is of-the Piraeus — Eetionea and beside it
εὐθὺς ὁ ἔσπλους ἐστίν. ἐτειχίζετο οὖν οὕτω ξὺν τῷ
straight the entrance is was-being-fortified then thus with the
πρότερον πρὸς ἤπειρον ὑπάρχοντι τείχει, ὥστε καθεζομένων
before toward mainland existing wall so-that sitting
ἐς αὐτὸ ἀνθρώπων ὀλίγων ἄρχειν τοῦ ἔσπλου· ἐπ' αὐτὸν
in it men few to-control the entrance at very
γὰρ τὸν ἐπὶ τῷ στόματι τοῦ λιμένος στενοῦ ὄντος τὸν
for the at the mouth of-the harbor narrow being the
ἕτερον πύργον ἐτελεύτα τό τε παλαιὸν τὸ πρὸς ἤπειρον
other tower ended the both old the toward mainland
καὶ τὸ ἐντὸς τὸ καινὸν τεῖχος τειχιζόμενον πρὸς θάλασσαν.
and the inner the new wall being-built toward sea
διῳκοδόμησαν δὲ καὶ στοάν, ἥπερ ἦν μεγίστη καὶ 90.5
they-walled-off and also stoa which-very was greatest and
ἐγγύτατα τούτου εὐθὺς ἐχομένη ἐν τῷ Πειραιεῖ, καὶ
nearest to-this immediately adjoining in the Piraeus and
ἦρχον αὐτοὶ αὐτῆς, ἐς ἣν καὶ τὸν σῖτον ἠνάγκαζον
controlled themselves it into which also the grain they-compelled
πάντας τὸν ὑπάρχοντά τε καὶ τὸν ἐσπλέοντα ἐξαιρεῖσθαι
all the existing both and the sailing-in to-unload
καὶ ἐντεῦθεν προαιροῦντας πωλεῖν.
and from-there taking-out-first to-sell
ταῦτ' οὖν ἐκ πλέονός τε ὁ Θηραμένης διεθρόει 91.1
these-things then from longer(-time) both — Theramenes spread-about
καὶ ἐπειδὴ οἱ ἐκ τῆς Λακεδαίμονος πρέσβεις οὐδὲν
and when the-ones from — Lacedaemon envoys nothing
πράξαντες ἀνεχώρησαν τοῖς ξύμπασι ξυμβατικόν, φάσκων
having-accomplished withdrew for-the all conciliatory saying
κινδυνεύσειν τὸ τεῖχος τοῦτο καὶ τὴν πόλιν διαφθεῖραι.
to-be-likely the wall this also the city to-destroy

91.2 ἅμα γὰρ καὶ ἐκ τῆς Πελοποννήσου ἐτύγχανον
at-the-same-time for also from — Peloponnese happened
Εὐβοέων ἐπικαλουμένων κατὰ τὸν αὐτὸν χρόνον τοῦτον
Euboeans inviting at the same time this
δύο καὶ τεσσαράκοντα νῆες, ὧν ἦσαν καὶ ἐκ Τάραντος
two and forty ships of-which were also from Taras
καὶ Λοκρῶν Ἰταλιώτιδες καὶ Σικελικαί τινες, ὁρμοῦσαι
and Locrians Italian and Sicilian some lying
ἤδη ἐπὶ Λᾷ τῆς Λακωνικῆς καὶ παρασκευαζόμεναι τὸν
already at Las — of-Laconia and preparing the
ἐς τὴν Εὔβοιαν πλοῦν (ἦρχε δὲ αὐτῶν Ἀγησανδρίδας
to — Euboea voyage commanded and them Agesandridas
Ἀγησάνδρου Σπαρτιάτης)· ἃς ἔφη Θηραμένης οὐκ Εὐβοίᾳ
of-Agesander a-Spartiate which said Theramenes not to-Euboea
μᾶλλον ἢ τοῖς τειχίζουσι τὴν Ἠετιωνείαν προσπλεῖν,
rather than to-the-ones fortifying — Eetionea to-sail-against
καὶ εἰ μή τις ἤδη φυλάξεται, λήσειν διαφθαρέντας.
and if not anyone now will-be-on-guard to-escape-notice having-been-destroyed

91.3 ἦν δέ τι καὶ τοιοῦτον ἀπὸ τῶν τὴν κατηγορίαν
was and something also such from the-ones the accusation
ἐχόντων, καὶ οὐ πάνυ διαβολὴ μόνον τοῦ λόγου. ἐκεῖνοι
holding and not altogether slander only of-the word those
γὰρ μάλιστα μὲν ἐβούλοντο ὀλιγαρχούμενοι ἄρχειν καὶ
for most indeed wished being-oligarchic to-rule also
τῶν ξυμμάχων, εἰ δὲ μή, τάς τε ναῦς καὶ τὰ τείχη ἔχοντες
the allies if but not the both ships and the walls holding
αὐτονομεῖσθαι, ἐξειργόμενοι δὲ καὶ τούτου μὴ οὖν ὑπὸ τοῦ
to-be-independent being-shut-out but also from-this not then by the
δήμου γε αὖθις γενομένου αὐτοὶ πρὸ τῶν ἄλλων
people at-least again having-become(-master) themselves before the others
μάλιστα διαφθαρῆναι, ἀλλὰ καὶ τοὺς πολεμίους ἐσαγαγόμενοι
most to-be-destroyed but even the enemies having-brought-in

ἄνευ τειχῶν καὶ νεῶν ξυμβῆναι καὶ ὁπωσοῦν τὰ
without walls and ships to-come-to-terms and in-any-way the-affairs
τῆς πόλεως ἔχειν, εἰ τοῖς γε σώμασι σφῶν ἄδεια ἔσται.
of-the city to-have if for-the at-least bodies of-them security will-be
διόπερ καὶ τὸ τεῖχος τοῦτο καὶ πυλίδας ἔχον καὶ ἐσόδους 92.1
wherefore also the wall this both posterns having and entrances
καὶ ἐπεσαγωγὰς τῶν πολεμίων ἐτείχιζόν τε προθύμως
and admissions of-the enemies fortified both eagerly
καὶ φθῆναι ἐβούλοντο ἐξεργασάμενοι.
and to-anticipate wished having-completed
πρότερον μὲν οὖν κατ᾽ ὀλίγους τε καὶ κρύφα μᾶλλον 92.2
before indeed then by few both and secretly rather
τὰ λεγόμενα ἦν· ἐπειδὴ δὲ ὁ Φρύνιχος ἥκων ἐκ τῆς
the-things being-said were when and — Phrynichus coming from the
ἐς Λακεδαίμονα πρεσβείας πληγεὶς ὑπ᾽ ἀνδρὸς τῶν
to Lacedaemon embassy having-been-struck by a-man of-the
περιπόλων τινὸς ἐξ ἐπιβουλῆς ἐν τῇ ἀγορᾷ πληθούσῃ
patrols a-certain from plot in the agora full
καὶ οὐ πολὺ ἀπὸ τοῦ βουλευτηρίου ἀπελθὼν ἀπέθανε
and not far from the council-chamber having-gone-away died
παραχρῆμα, καὶ ὁ μὲν πατάξας διέφυγεν, ὁ δὲ ξυνεργὸς
immediately and the indeed having-struck escaped the and accomplice
Ἀργεῖος ἄνθρωπος ληφθεὶς καὶ βασανιζόμενος ὑπὸ
an-Argive man having-been-caught and being-tortured by
τῶν τετρακοσίων οὐδενὸς ὄνομα τοῦ κελεύσαντος εἶπεν
the four-hundred of-no-one name of-the having-ordered said
οὐδὲ ἄλλο τι ἢ ὅτι εἰδείη πολλοὺς ἀνθρώπους καὶ
nor other anything than that he-knew many men both
ἐς τοῦ περιπολάρχου καὶ ἄλλοσε κατ᾽ οἰκίας ξυνιόντας,
at the of-patrol-commander and elsewhere in houses meeting
τότε δὴ οὐδενὸς γεγενημένου ἀπ᾽ αὐτοῦ νεωτέρου καὶ ὁ
then indeed nothing having-happened from it new also —

Θηραμένης ἤδη θρασύτερον καὶ Ἀριστοκράτης καὶ ὅσοι
Theramenes now more-boldly and Aristocrates and as-many-as
ἄλλοι τῶν τετρακοσίων αὐτῶν καὶ τῶν ἔξωθεν ἦσαν
others of-the four-hundred themselves and of-the outside were
ὁμογνώμονες ἦσαν ἐπὶ τὰ πράγματα.
of-like-mind went to the affairs

92.3 ἅμα γὰρ καὶ ἀπὸ τῆς Λᾶς αἱ νῆες ἤδη
at-the-same-time for also from — Las the ships already
περιπεπλευκυῖαι καὶ ὁρμισάμεναι ἐς τὴν Ἐπίδαυρον τὴν
having-sailed-round and having-anchored at — Epidaurus —
Αἴγιναν κατεδεδραμήκεσαν· καὶ οὐκ ἔφη ὁ Θηραμένης
Aegina had-overrun and not said — Theramenes
εἰκὸς εἶναι ἐπ' Εὔβοιαν πλεούσας αὐτὰς ἐς Αἴγιναν
likely to-be to Euboea sailing them into Aegina
κατακολπίσαι καὶ πάλιν ἐν Ἐπιδαύρῳ ὁρμεῖν, εἰ μὴ
to-turn-into-the-gulf and again at Epidaurus to-lie if not
παρακληθεῖσαι ἥκοιεν ἐφ' οἷσπερ καὶ αὐτὸς αἰεὶ
having-been-invited they-had-come for which-very also himself always
κατηγόρει· οὐκέτι οὖν οἷόν τε εἶναι ἡσυχάζειν.
accused no-longer then possible — to-be to-keep-quiet

92.4 τέλος δὲ πολλῶν καὶ στασιωτικῶν λόγων καὶ ὑποψιῶν
finally and many and factional words and suspicions
προσγενομένων καὶ ἔργῳ ἤδη ἥπτοντο τῶν πραγμάτων·
having-arisen also in-deed already they-took-hold of-the affairs
οἱ γὰρ ἐν τῷ Πειραιεῖ τὸ τῆς Ἠετιωνείας τεῖχος ὁπλῖται
the for in the Piraeus the — of-Eetionea wall hoplites
οἰκοδομοῦντες, ἐν οἷς καὶ ὁ Ἀριστοκράτης ἦν ταξιαρχῶν
building among whom also — Aristocrates was being-taxiarch
καὶ τὴν ἑαυτοῦ φυλὴν ἔχων, ξυλλαμβάνουσιν Ἀλεξικλέα
and the his-own tribe having seize Alexicles

στρατηγὸν ὄντα ἐκ τῆς ὀλιγαρχίας καὶ μάλιστα πρὸς
general being from the oligarchy and most toward
τοὺς ἑταίρους τετραμμένον, καὶ ἐς οἰκίαν ἀγαγόντες εἶρξαν.
the clubs inclined and to house having-brought shut-up
ξυνεπελάβοντο δὲ αὐτοῖς ἅμα καὶ ἄλλοι καὶ Ἕρμων 92.5
joined and with-them at-the-same-time also others and Hermon
τις τῶν περιπόλων τῶν Μουνιχίασι τεταγμένων ἄρχων·
a-certain of-the patrols the at-Munychia stationed commander
τὸ δὲ μέγιστον, τῶν ὁπλιτῶν τὸ στῖφος ταῦτα ἐβούλετο.
the and greatest(-part) of-the hoplites the mass these-things wished
ὡς δὲ ἐσηγγέλθη τοῖς τετρακοσίοις (ἔτυχον δὲ ἐν 92.6
when and it-was-reported to-the four-hundred happened and in
τῷ βουλευτηρίῳ ξυγκαθήμενοι), εὐθύς, πλὴν ὅσοις μὴ
the council-chamber sitting-together at-once except as-many-as not
βουλομένοις ταῦτ' ἦν, ἑτοῖμοι ἦσαν ἐς τὰ ὅπλα ἰέναι
wishing these-things were ready they-were to the arms to-go
καὶ τῷ Θηραμένει καὶ τοῖς μετ' αὐτοῦ ἠπείλουν. ὁ
and — to-Theramenes and to-the-ones with him they-threatened he
δὲ ἀπολογούμενος ἑτοῖμος ἔφη εἶναι ξυναφαιρησόμενος
and defending-himself ready said to-be going-to-help-rescue
ἰέναι ἤδη. καὶ παραλαβὼν ἕνα τῶν στρατηγῶν ὃς ἦν
to-go now and having-taken-along one of-the generals who was
αὐτῷ ὁμογνώμων ἐχώρει ἐς τὸν Πειραιᾶ· ἐβοήθει δὲ
with-him of-like-mind went to the Piraeus came-to-help and
καὶ Ἀρίσταρχος καὶ τῶν ἱππέων νεανίσκοι.
also Aristarchus and of-the cavalry young-men
ἦν δὲ θόρυβος πολὺς καὶ ἐκπληκτικός· οἵ τε γὰρ 92.7
was and uproar great and alarming the-ones both for
ἐν τῷ ἄστει ἤδη ᾤοντο τόν τε Πειραιᾶ κατειλῆφθαι
in the city already thought the both Piraeus to-have-been-seized

καὶ τὸν ξυνειλημμένον τεθνάναι, οἵ τε ἐν τῷ Πειραιεῖ
and the having-been-arrested to-have-died the-ones both in the Piraeus
τοὺς ἐκ τοῦ ἄστεως ὅσον οὔπω ἐπὶ σφᾶς παρεῖναι.
the-ones from the city all-but not-yet against them to-be-present
92.8 μόλις δὲ τῶν τε πρεσβυτέρων διακωλυόντων τοὺς ἐν τῷ
with-difficulty and of-the both older restraining the-ones in the
ἄστει διαθέοντας καὶ ἐπὶ τὰ ὅπλα φερομένους καὶ Θουκυδίδου
city running-about and to the arms rushing and Thucydides
τοῦ Φαρσαλίου τοῦ προξένου τῆς πόλεως παρόντος καὶ
the Pharsalian the proxenus of-the city being-present and
προθύμως ἐμποδών τε ἑκάστοις γιγνομένου καὶ ἐπιβοωμένου
eagerly in-the-way both to-each becoming and shouting
μὴ ἐφεδρευόντων ἐγγὺς τῶν πολεμίων ἀπολέσαι τὴν
not being-in-wait near the enemies to-destroy the
πατρίδα, ἡσύχασάν τε καὶ σφῶν αὐτῶν ἀπέσχοντο.
fatherland kept-quiet both and of-them selves kept-hands-off
92.9 καὶ ὁ μὲν Θηραμένης ἐλθὼν ἐς τὸν Πειραιᾶ (ἦν δὲ
and — indeed Theramenes having-come to the Piraeus was and
καὶ αὐτὸς στρατηγός), ὅσον καὶ ἀπὸ βοῆς ἕνεκα,
also himself general as-much-as also from shouting for-the-sake
ὠργίζετο τοῖς ὁπλίταις· ὁ δὲ Ἀρίσταρχος καὶ οἱ ἐναντίοι
was-angry with-the hoplites — and Aristarchus and the opponents
τῷ ἀληθεῖ ἐχαλέπαινον.
in-the reality were-indignant
92.10 οἱ δὲ ὁπλῖται ὁμόσε τε ἐχώρουν οἱ πλεῖστοι τῷ ἔργῳ
the and hoplites to-close both went the most to-the work
καὶ οὐ μετεμέλοντο, καὶ τὸν Θηραμένη ἠρώτων εἰ
and not repented and — Theramenes asked whether
δοκεῖ αὐτῷ ἐπ᾽ ἀγαθῷ τὸ τεῖχος οἰκοδομεῖσθαι καὶ
it-seems to-him for good the wall to-be-built and
εἰ ἄμεινον εἶναι καθαιρεθέν. ὁ δέ, εἴπερ καὶ ἐκείνοις
whether better to-be pulled-down he and if-indeed also to-those

δοκεῖ καθαιρεῖν, καὶ ἑαυτῷ ἔφη ξυνδοκεῖν. καὶ ἐντεῦθεν
it-seems to-demolish also to-himself said to-agree and from-there
εὐθὺς ἀναβάντες οἵ τε ὁπλῖται καὶ πολλοὶ τῶν ἐκ τοῦ
at-once having-gone-up the both hoplites and many of-the from the
Πειραιῶς ἀνθρώπων κατέσκαπτον τὸ τείχισμα.
Piraeus men demolished the fort
ἦν δὲ πρὸς τὸν ὄχλον ἡ παράκλησις ὡς χρή, ὅστις τοὺς 92.11
was and to the crowd the appeal that it-is-necessary whoever the
πεντακισχιλίους βούλεται ἄρχειν ἀντὶ τῶν τετρακοσίων,
five-thousand wishes to-rule instead-of the four-hundred
ἰέναι ἐπὶ τὸ ἔργον. ἐπεκρύπτοντο γὰρ ὅμως ἔτι τῶν
to-go to the work they-were-hiding for nevertheless still of-the
πεντακισχιλίων τῷ ὀνόματι, μὴ ἄντικρυς δῆμον ὅστις
five-thousand behind-the name not outright people whoever
βούλεται ἄρχειν ὀνομάζειν, φοβούμενοι μὴ τῷ ὄντι ὦσι καὶ
wishes to-rule to-name fearing lest in-the reality they-be and
πρός τινα εἰπών τίς τι ἀγνοίᾳ σφαλῇ. καὶ οἱ
to someone having-spoken anyone something through-ignorance might-fail and the
τετρακόσιοι διὰ τοῦτο οὐκ ἤθελον τοὺς πεντακισχιλίους
four-hundred because-of this not were-willing the five-thousand
οὔτε εἶναι οὔτε μὴ ὄντας δήλους εἶναι, τὸ μὲν καταστῆσαι
neither to-exist nor not existing evident to-be the indeed to-establish
μετόχους τοσούτους ἄντικρυς ἂν δῆμον ἡγούμενοι, τὸ δ'
sharers so-many outright — people thinking the and
αὖ ἀφανὲς φόβον ἐς ἀλλήλους παρέξειν.
in-turn obscure fear toward one-another to-provide
τῇ δ' ὑστεραίᾳ οἱ μὲν τετρακόσιοι ἐς τὸ βουλευτήριον 93.1
on-the and next-day the indeed four-hundred into the council-chamber
ὅμως καὶ τεθορυβημένοι ξυνελέγοντο· οἱ δ' ἐν τῷ
nevertheless even having-been-disturbed assembled the and in the
Πειραιεῖ ὁπλῖται τόν τε Ἀλεξικλέα ὃν ξυνέλαβον ἀφέντες
Piraeus hoplites the both Alexicles whom they-had-seized having-released

καὶ τὸ τείχισμα καθελόντες ἐς τὸ πρὸς τῇ Μουνιχίᾳ
and the fort having-pulled-down into the near — Munychia
Διονυσιακὸν θέατρον ἐλθόντες καὶ θέμενοι τὰ ὅπλα
Dionysian theater having-gone and having-grounded the arms
ἐξεκλησίασαν, καὶ δόξαν αὐτοῖς εὐθὺς ἐχώρουν ἐς
held-assembly and it-having-seemed-good to-them at-once advanced to
τὸ ἄστυ καὶ ἔθεντο αὖ ἐν τῷ Ἀνακείῳ τὰ ὅπλα.
the city and grounded again in the Anaceum the arms
93.2 ἐλθόντες δὲ ἀπὸ τῶν τετρακοσίων τινὲς ᾑρημένοι πρὸς
having-come and from the four-hundred some chosen to
αὐτοὺς ἀνὴρ ἀνδρὶ διελέγοντό τε καὶ ἔπειθον οὓς ἴδοιεν
them man to-man conversed both and persuaded whom they-saw
ἀνθρώπους ἐπιεικεῖς αὐτούς τε ἡσυχάζειν καὶ τοὺς ἄλλους
men reasonable themselves both to-keep-quiet and the others
παρακατέχειν, λέγοντες τούς τε πεντακισχιλίους ἀποφανεῖν,
to-restrain saying the both five-thousand to-reveal
καὶ ἐκ τούτων ἐν μέρει ᾗ ἂν τοῖς πεντακισχιλίοις
and from these in turn in-whatever-way — to-the five-thousand
δοκῇ τοὺς τετρακοσίους ἔσεσθαι, τέως δὲ τὴν πόλιν
seem-good the four-hundred to-be meanwhile and the city
μηδενὶ τρόπῳ διαφθείρειν μηδ' ἐς τοὺς πολεμίους ἀνῶσαι.
in-no way to-destroy nor into the enemies to-push
93.3 τὸ δὲ πᾶν πλῆθος τῶν ὁπλιτῶν ἀπὸ πολλῶν καὶ πρὸς
the and whole multitude of-the hoplites from many and to
πολλοὺς λόγων γιγνομένων ἠπιώτερον ἦν ἢ πρότερον καὶ
many talks happening milder was than before and
ἐφοβεῖτο μάλιστα περὶ τοῦ παντὸς πολιτικοῦ· ξυνεχώρησάν
feared most about the whole polity agreed
τε ὥστε ἐς ἡμέραν ῥητὴν ἐκκλησίαν ποιῆσαι ἐν τῷ
both so-that on day fixed assembly to-hold in the
Διονυσίῳ περὶ ὁμονοίας.
Dionysium about concord

As the assembly meets, Agesandridas' ships are reported off Salamis, and the whole city runs to the Piraeus. The fleet sails past Sunium to Oropus, and the Athenians man ships in haste and send them to Eretria. There the Eretrians signal the enemy, who attack while the crews are in the town, and the Athenians are beaten. All Euboea except Oreus revolts, a greater panic than after Sicily. The Athenians depose the Four Hundred, hand power to the five thousand, and vote pay for no office, and Thucydides judges this the best government of his time. They also vote to recall Alcibiades and urge the army at Samos to take charge. Pisander and Alexicles flee to Decelea, and Aristarchus betrays Oenoe to the Boeotians.

ἐπειδὴ δὲ ἐπῆλθεν ἡ ἐκκλησία καὶ ὅσον οὐ ξυνειλεγμένοι 94.1
when and came the assembly and all-but not having-assembled
ἦσαν, ἀγγέλλονται αἱ δύο καὶ τεσσαράκοντα νῆες καὶ ὁ
they-were are-announced the two and forty ships and —
Ἀγησανδρίδας ἀπὸ τῶν Μεγάρων τὴν Σαλαμῖνα παραπλεῖν·
Agesandridas from — Megara — Salamis sailing-along
καὶ πᾶς τις αὐτὸ τοῦτο ἐνόμιζεν εἶναι τὸ πάλαι λεγόμενον
and every one very this thought to-be the long-ago said
ὑπὸ Θηραμένους καὶ τῶν μετ' αὐτοῦ, ὡς ἐς τὸ τείχισμα
by Theramenes and of-the-ones with him that to the fort
ἔπλεον αἱ νῆες, καὶ χρησίμως ἐδόκει καταπεπτωκέναι.
sailed the ships and usefully it-seemed to-have-been-demolished
ὁ δὲ Ἀγησανδρίδας τάχα μέν τι καὶ ἀπὸ ξυγκειμένου 94.2
— and Agesandridas perhaps indeed somewhat also from agreed
λόγου περί τε τὴν Ἐπίδαυρον καὶ ταύτῃ ἀνεστρέφετο,
plan about both — Epidaurus and there was-moving-about
εἰκὸς δ' αὐτὸν καὶ πρὸς τὸν παρόντα στασιασμὸν
likely and him also with-regard-to the present faction

τῶν Ἀθηναίων, δι' ἐλπίδος ὡς κἂν ἐς δέον
of-the Athenians through hope that also at the-right(-moment)
παραγένοιτο, ταύτῃ ἀνέχειν.
he-might-arrive there to-hold-on

94.3 οἱ δ' αὖ Ἀθηναῖοι, ὡς ἠγγέλθη αὐτοῖς, εὐθὺς δρόμῳ
the and in-turn Athenians when it-was-announced to-them at-once at-a-run
ἐς τὸν Πειραιᾶ πανδημεὶ ἐχώρουν, ὡς τοῦ ἰδίου πολέμου
to the Piraeus in-full-force went as than-the private war
μείζονος ἀπὸ τῶν πολεμίων οὐχ ἑκάς, ἀλλὰ πρὸς τῷ
greater from the enemies not far but at the
λιμένι ὄντος. καὶ οἱ μὲν ἐς τὰς παρούσας ναῦς
harbor being and the-ones indeed into the present ships
ἐσέβαινον, οἱ δὲ ἄλλας καθεῖλκον, οἱ δέ τινες
embarked the-others and others launched the-others and some
ἐπὶ τὰ τείχη καὶ τὸ στόμα τοῦ λιμένος παρεβοήθουν.
to the walls and the mouth of-the harbor came-to-help

95.1 αἱ δὲ τῶν Πελοποννησίων νῆες παραπλεύσασαι καὶ
the and of-the Peloponnesians ships having-sailed-along and
περιβαλοῦσαι Σούνιον ὁρμίζονται μεταξὺ Θορικοῦ τε καὶ
having-rounded Sunium anchor between Thoricus both and
Πρασιῶν, ὕστερον δὲ ἀφικνοῦνται ἐς Ὠρωπόν.
Prasiae later and arrive at Oropus

95.2 Ἀθηναῖοι δὲ κατὰ τάχος καὶ ἀξυγκροτήτοις πληρώμασιν
Athenians and with speed and with-untrained crews
ἀναγκασθέντες χρήσασθαι, οἷα πόλεώς τε στασιαζούσης
having-been-compelled to-use as-of city both being-in-faction
καὶ περὶ τοῦ μεγίστου ἐν τάχει βουλόμενοι βοηθῆσαι
and about the greatest in haste wishing to-help
(Εὔβοια γὰρ αὐτοῖς ἀποκεκλημένης τῆς Ἀττικῆς πάντα
Euboea for to-them having-been-shut-off — Attica everything
ἦν), πέμπουσι Θυμοχάρη στρατηγὸν καὶ ναῦς ἐς Ἐρετρίαν,
was send Thymochares general and ships to Eretria

ὧν ἀφικομένων ξὺν ταῖς πρότερον ἐν Εὐβοίᾳ οὔσαις ἓξ 95.3
which having-arrived with the before at Euboea being six
καὶ τριάκοντα ἐγένοντο. καὶ εὐθὺς ναυμαχεῖν ἠναγκάζοντο·
and thirty became and at-once to-fight-at-sea were-compelled
ὁ γὰρ Ἀγησανδρίδας ἀριστοποιησάμενος ἐκ τοῦ Ὠρωποῦ
— for Agesandridas having-taken-breakfast from — Oropus
ἀνήγαγε τὰς ναῦς· ἀπέχει δὲ μάλιστα ὁ Ὠρωπὸς τῆς
put-out the ships is-distant and about — Oropus from-the
τῶν Ἐρετριῶν πόλεως θαλάσσης μέτρον ἑξήκοντα σταδίους.
of-the Eretrians city of-sea measure sixty stades
ὡς οὖν ἐπέπλει, εὐθὺς ἐπλήρουν καὶ οἱ Ἀθηναῖοι τὰς ναῦς, 95.4
when then he-sailed-against at-once manned also the Athenians the ships
οἰόμενοι σφίσι παρὰ ταῖς ναυσὶ τοὺς στρατιώτας εἶναι·
thinking for-them beside the ships the soldiers to-be
οἱ δὲ ἔτυχον οὐκ ἐκ τῆς ἀγορᾶς ἄριστον ἐπισιτιζόμενοι
they and happened not from the market breakfast getting
(οὐδὲν γὰρ ἐπωλεῖτο ἀπὸ προνοίας τῶν Ἐρετριῶν), ἀλλ'
nothing for was-sold from design of-the Eretrians but
ἐκ τῶν ἐπ' ἔσχατα τοῦ ἄστεως οἰκιῶν, ὅπως σχολῇ
from the at edges of-the town houses so-that slowly
πληρουμένων φθάσειαν οἱ πολέμιοι προσπεσόντες καὶ
being-manned might-anticipate the enemies having-fallen-upon and
ἐξαναγκάσειαν τοὺς Ἀθηναίους οὕτως ὅπως τύχοιεν
might-force the Athenians thus as they-happened
ἀνάγεσθαι. σημεῖον δὲ αὐτοῖς ἐς τὸν Ὠρωπὸν ἐκ τῆς
to-put-out signal and to-them to — Oropus from —
Ἐρετρίας, ὁπότε χρὴ ἀνάγεσθαι, ἤρθη.
Eretria when it-is-necessary to-put-out was-raised
διὰ τοιαύτης δὴ παρασκευῆς οἱ Ἀθηναῖοι ἀναγαγόμενοι 95.5
through such indeed preparation the Athenians having-put-out
καὶ ναυμαχήσαντες ὑπὲρ τοῦ λιμένος τῶν Ἐρετριῶν
and having-fought-at-sea off the harbor of-the Eretrians

ὀλίγον μέν τινα χρόνον ὅμως καὶ ἀντέσχον, ἔπειτα ἐς
little indeed some time nevertheless also held-out then to
φυγὴν τραπόμενοι καταδιώκονται ἐς τὴν γῆν.
flight having-turned are-pursued to the land

95.6 καὶ ὅσοι μὲν αὐτῶν πρὸς τὴν πόλιν τῶν Ἐρετριῶν ὡς
and as-many-as indeed of-them to the city of-the Eretrians as
φιλίαν καταφεύγουσι, χαλεπώτατα ἔπραξαν φονευόμενοι
friendly flee most-wretchedly fared being-slaughtered
ὑπ᾽ αὐτῶν· οἳ δὲ ἐς τὸ τείχισμα τὸ ἐν τῇ Ἐρετρίᾳ,
by them the-others and to the fort the in — Eretria
ὃ εἶχον αὐτοί, περιγίγνονται καὶ ὅσαι ἐς Χαλκίδα
which held themselves survive and as-many-as to Chalcis
ἀφικνοῦνται τῶν νεῶν.
arrive of-the ships

95.7 λαβόντες δὲ οἱ Πελοποννήσιοι δύο καὶ εἴκοσι ναῦς τῶν
having-taken and the Peloponnesians two and twenty ships of-the
Ἀθηναίων καὶ ἄνδρας τοὺς μὲν ἀποκτείναντες, τοὺς δὲ
Athenians and men the-ones indeed having-killed the-others and
ζωγρήσαντες τροπαῖον ἔστησαν. καὶ ὕστερον οὐ πολλῷ
having-taken-alive trophy set-up and later not much
Εὔβοιαν ἅπασαν ἀποστήσαντες πλὴν Ὠρεοῦ (ταύτην δὲ
Euboea all having-caused-to-revolt except Oreus this and
αὐτοὶ Ἀθηναῖοι εἶχον) καὶ τἆλλα τὰ περὶ αὐτὴν
themselves Athenians held and the-rest the-things about it
καθίσταντο.
settled

96.1 τοῖς δὲ Ἀθηναίοις ὡς ἦλθε τὰ περὶ τὴν Εὔβοιαν
to-the and Athenians when came the-things about — Euboea
γεγενημένα, ἔκπληξις μεγίστη δὴ τῶν πρὶν παρέστη.
having-happened dismay greatest indeed of-the before was-present

οὔτε γὰρ ἡ ἐν τῇ Σικελίᾳ ξυμφορά, καίπερ μεγάλη τότε
neither for the in — Sicily disaster although great then
δόξασα εἶναι, οὔτε ἄλλο οὐδέν πω οὕτως ἐφόβησεν.
having-seemed to-be nor other nothing ever thus frightened
ὅπου γὰρ στρατοπέδου τε τοῦ ἐν Σάμῳ ἀφεστηκότος 96.2
where for army both the at Samos having-revolted
ἄλλων τε νεῶν οὐκ οὐσῶν οὐδὲ τῶν ἐσβησομένων αὐτῶν
other both ships not being nor of-the going-to-embark themselves
τε στασιαζόντων καὶ ἄδηλον ὂν ὁπότε σφίσιν αὐτοῖς
both being-in-faction and unclear being when with-them selves
ξυρράξουσι, τοσαύτη ἡ ξυμφορὰ ἐπεγεγένητο, ἐν ᾗ ναῦς
they-will-clash so-great the disaster had-come-on in which ships
τε καὶ τὸ μέγιστον Εὔβοιαν ἀπωλωλέκεσαν, ἐξ ἧς πλείω
both and the greatest Euboea they-had-lost from which more
ἢ τῆς Ἀττικῆς ὠφελοῦντο, πῶς οὐκ εἰκότως ἠθύμουν;
than — Attica they-were-benefited how not reasonably were-they-despondent
μάλιστα δ' αὐτοὺς καὶ δι' ἐγγυτάτου ἐθορύβει, εἰ οἱ 96.3
most and them also through nearest troubled if the
πολέμιοι τολμήσουσι νενικηκότες εὐθὺ σφῶν ἐπὶ τὸν
enemies will-dare having-won straight-for them against the
Πειραιᾶ ἐρῆμον ὄντα νεῶν πλεῖν· καὶ ὅσον οὐκ ἤδη
Piraeus empty being of-ships to-sail and all-but not already
ἐνόμιζον αὐτοὺς παρεῖναι.
they-thought them to-be-present
ὅπερ ἄν, εἰ τολμηρότεροι ἦσαν, ῥᾳδίως ἂν ἐποίησαν, 96.4
which-very — if bolder they-were easily — they-would-have-done
καὶ ἢ διέστησαν ἂν ἔτι μᾶλλον τὴν πόλιν
and either they-would-have-divided — still more the city
ἐφορμοῦντες ἤ, εἰ ἐπολιόρκουν μένοντες, καὶ τὰς ἀπ'
lying-off or if they-besieged remaining also the from
Ἰωνίας ναῦς ἠνάγκασαν ἂν καίπερ πολεμίας οὔσας
Ionia ships they-would-have-compelled — although hostile being

τῇ ὀλιγαρχίᾳ τοῖς σφετέροις οἰκείοις καὶ τῇ ξυμπάσῃ
to-the oligarchy for-the their-own relatives and for-the whole
πόλει βοηθῆσαι· καὶ ἐν τούτῳ Ἑλλήσποντός τε ἂν
city to-help and in this Hellespont both —
ἦν αὐτοῖς καὶ Ἰωνία καὶ αἱ νῆσοι καὶ τὰ
would-have-been for-them and Ionia and the islands and the-places
μέχρι Εὐβοίας καὶ ὡς εἰπεῖν ἡ Ἀθηναίων ἀρχὴ πᾶσα.
as-far-as Euboea and so to-speak the of-Athenians empire all
96.5 ἀλλ᾽ οὐκ ἐν τούτῳ μόνῳ Λακεδαιμόνιοι Ἀθηναίοις πάντων
but not in this only Lacedaemonians to-Athenians of-all
δὴ ξυμφορώτατοι προσπολεμῆσαι ἐγένοντο, ἀλλὰ καὶ
indeed most-convenient to-war-against became but also
ἐν ἄλλοις πολλοῖς· διάφοροι γὰρ πλεῖστον ὄντες τὸν
in other many different for most being the
τρόπον, οἱ μὲν ὀξεῖς, οἱ δὲ βραδεῖς, καὶ οἱ μὲν
character the-ones indeed quick the-others and slow and the-ones indeed
ἐπιχειρηταί, οἱ δὲ ἄτολμοι, ἄλλως τε καὶ ἐν ἀρχῇ
enterprising the-others and timid otherwise both and in empire
ναυτικῇ πλεῖστα ὠφέλουν. ἔδειξαν δὲ οἱ Συρακόσιοι· μάλιστα
naval most they-helped showed and the Syracusans most
γὰρ ὁμοιότροποι γενόμενοι ἄριστα καὶ προσεπολέμησαν.
for similar-in-character having-become best also fought-against(-them)
97.1 ἐπὶ δ᾽ οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι ναῦς τε εἴκοσιν
on and then the announced(-things) the Athenians ships both twenty
ὅμως ἐπλήρουν καὶ ἐκκλησίαν ξυνέλεγον, μίαν μὲν
nevertheless manned and assembly convened one indeed
εὐθὺς τότε πρῶτον ἐς τὴν Πύκνα καλουμένην, οὗπερ καὶ
at-once then first into the Pnyx called where-very also
ἄλλοτε εἰώθεσαν, ἐν ᾗπερ καὶ τοὺς τετρακοσίους
at-other-times they-were-accustomed in which-very also the four-hundred
καταπαύσαντες τοῖς πεντακισχιλίοις ἐψηφίσαντο τὰ
having-deposed to-the five-thousand they-voted the

πράγματα παραδοῦναι (εἶναι δὲ αὐτῶν ὁπόσοι καὶ ὅπλα
affairs to-hand-over to-be and of-them as-many-as also arms
παρέχονται) καὶ μισθὸν μηδένα φέρειν μηδεμιᾷ ἀρχῇ· εἰ
provide and pay none to-receive in-no office if
δὲ μή, ἐπάρατον ἐποιήσαντο.
but not accursed they-made(-it)
ἐγίγνοντο δὲ καὶ ἄλλαι ὕστερον πυκναὶ ἐκκλησίαι, ἀφ' ὧν 97.2
were-held and also other later frequent assemblies from which
καὶ νομοθέτας καὶ τἆλλα ἐψηφίσαντο ἐς τὴν πολιτείαν.
also law-makers and the-rest they-voted for the constitution
καὶ οὐχ ἥκιστα δὴ τὸν πρῶτον χρόνον ἐπί γε ἐμοῦ
and not least indeed the first time in at-least my-time
Ἀθηναῖοι φαίνονται εὖ πολιτεύσαντες· μετρία γὰρ ἥ τε
Athenians appear well having-governed moderate for the both
ἐς τοὺς ὀλίγους καὶ τοὺς πολλοὺς ξύγκρασις ἐγένετο καὶ
toward the few and the many blending happened and
ἐκ πονηρῶν τῶν πραγμάτων γενομένων τοῦτο πρῶτον
from bad the affairs having-become this first
ἀνήνεγκε τὴν πόλιν.
raised-up the city
ἐψηφίσαντο δὲ καὶ Ἀλκιβιάδην καὶ ἄλλους μετ' αὐτοῦ 97.3
voted and also Alcibiades and others with him
κατιέναι καὶ παρά τε ἐκεῖνον καὶ παρὰ τὸ ἐν Σάμῳ
to-return and to both that-man and to the in Samos
στρατόπεδον πέμψαντες διεκελεύοντο ἀνθάπτεσθαι τῶν
army having-sent urged to-take-hold of-the
πραγμάτων.
affairs
ἐν δὲ τῇ μεταβολῇ ταύτῃ εὐθὺς οἱ μὲν περὶ τὸν 98.1
in and the change this at-once the-ones indeed around —
Πείσανδρον καὶ Ἀλεξικλέα καὶ ὅσοι ἦσαν τῆς ὀλιγαρχίας
Pisander and Alexicles and as-many-as were of-the oligarchy

μάλιστα ὑπεξέρχονται ἐς τὴν Δεκέλειαν· Ἀρίσταρχος δὲ
most withdraw to — Decelea Aristarchus and
αὐτῶν μόνος (ἔτυχε γὰρ καὶ στρατηγῶν) λαβὼν κατὰ
of-them alone happened for also being-general having-taken with
τάχος τοξότας τινὰς τοὺς βαρβαρωτάτους ἐχώρει πρὸς
speed archers some the most-barbarous went to
τὴν Οἰνόην.
— Oenoe

98.2 ἦν δὲ Ἀθηναίων ἐν μεθορίοις τῆς Βοιωτίας τεῖχος,
was and of-Athenians on borders — of-Boeotia fort
ἐπολιόρκουν δ' αὐτὸ διὰ ξυμφορὰν σφίσιν ἐκ τῆς
were-besieging and it because-of disaster to-them from —
Οἰνόης γενομένην ἀνδρῶν ἐκ Δεκελείας ἀναχωρούντων
Oenoe having-happened of-men from Decelea withdrawing
διαφθορᾶς οἱ Κορίνθιοι ἐθελοντηδόν, προσπαρακαλέσαντες
destruction the Corinthians voluntarily having-called-in-besides
τοὺς Βοιωτούς.
the Boeotians

98.3 κοινολογησάμενος οὖν αὐτοῖς ὁ Ἀρίσταρχος ἀπατᾷ τοὺς
having-communicated then with-them — Aristarchus deceives the-ones
ἐν τῇ Οἰνόῃ, λέγων ὡς καὶ οἱ ἐν τῇ πόλει τἆλλα
in — Oenoe saying that also the-ones in the city the-rest
ξυμβεβήκασι Λακεδαιμονίοις, κἀκείνους δεῖ Βοιωτοῖς
have-come-to-terms with-Lacedaemonians and-those it-is-necessary to-Boeotians
τὸ χωρίον παραδοῦναι· ἐπὶ τούτοις γὰρ ξυμβεβάσθαι.
the place to-hand-over on these(-terms) for to-have-been-agreed
οἱ δὲ πιστεύσαντες ὡς ἀνδρὶ στρατηγῷ καὶ οὐκ εἰδότες
they and having-trusted as a-man general and not knowing
οὐδὲν διὰ τὸ πολιορκεῖσθαι ὑπόσπονδοι ἐξέρχονται.
nothing because-of the to-be-besieged under-truce come-out

τούτῳ μὲν τῷ τρόπῳ Οἰνόην τε ληφθεῖσαν Βοιωτοὶ 98.4
in-this indeed the way Oenoe both taken Boeotians
κατέλαβον καὶ ἡ ἐν ταῖς Ἀθήναις ὀλιγαρχία καὶ στάσις
occupied and the in — Athens oligarchy and faction
ἐπαύσατο.
stopped

XXII · CYNOSSEMA

With no pay and no Phoenician ships, Mindarus sails secretly from Miletus to the Hellespont at Pharnabazus' invitation. Thrasyllus sails after him and besieges Eresus, which has revolted on Lesbos. Mindarus provisions at Chios, slips past Lesbos along the mainland, and reaches the Hellespont by night. The Athenian squadron at Sestus slips out to sea and loses four ships, Thrasyllus hurries from Eresus to join it at Elaeus, and the fleets fight off Cynossema. The Athenian center is driven ashore by the Peloponnesian attack, but Thrasybulus turns on the scattered victors and routs them, and the rest of the enemy flee. The victory restores Athenian confidence in the fleet, and the news of it gives Athens new heart after Euboea and its strife.

ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου καὶ 99.1
about and the same times of-the summer this also
οἱ ἐν τῇ Μιλήτῳ Πελοποννήσιοι, ὡς τροφήν τε οὐδεὶς
the in — Miletus Peloponnesians as maintenance both no-one
ἐδίδου τῶν ὑπὸ Τισσαφέρνους τότε προσταχθέντων, καὶ αἱ
gave of-the by Tissaphernes then appointed and the
Φοίνισσαι νῆες οὐδὲ ὁ Τισσαφέρνης τέως που ἦκον,
Phoenician ships nor — Tissaphernes meanwhile anywhere came
ὅ τε Φίλιππος ὁ ξυμπεμφθεὶς αὐτῷ ἐπεστάλκει Μινδάρῳ
— both Philip the sent-with him had-written to-Mindarus
τῷ ναυάρχῳ καὶ ἄλλος Ἱπποκράτης, ἀνὴρ Σπαρτιάτης καὶ
the admiral and another Hippocrates a-man Spartiate and

ὢν ἐν Φασήλιδι, ὅτι οὔτε αἱ νῆες παρέσοιντο πάντα τε
being in Phaselis that neither the ships would-be-present in-all both
ἀδικοῖντο ὑπὸ Τισσαφέρνους, Φαρνάβαζός τε ἐπεκαλεῖτο
they-were-wronged by Tissaphernes Pharnabazus both was-inviting
αὐτοὺς καὶ ἦν πρόθυμος κομίσας τὰς ναῦς καὶ αὐτὸς
them and was eager having-brought the ships also himself
τὰς λοιπὰς ἔτι πόλεις τῆς ἑαυτοῦ ἀρχῆς ἀποστῆσαι
the remaining still cities of-the his-own province to-cause-to-revolt
τῶν Ἀθηναίων, ὥσπερ καὶ ὁ Τισσαφέρνης, ἐλπίζων
from-the Athenians as also — Tissaphernes hoping
πλέον τι σχήσειν ἀπ᾽ αὐτοῦ, οὕτω δὴ ὁ Μίνδαρος
more something to-have from it thus indeed — Mindarus
πολλῷ κόσμῳ καὶ ἀπὸ παραγγέλματος αἰφνιδίου, ὅπως
with-much order and from command sudden so-that
λάθοι τοὺς ἐν Σάμῳ, ἄρας ἀπὸ τῆς Μιλήτου
he-might-escape-notice-of the-ones in Samos having-set-out from — Miletus
ναυσὶ τρισὶ καὶ ἑβδομήκοντα ἔπλει ἐπὶ τὸν Ἑλλήσποντον
with-ships three and seventy sailed toward — Hellespont
(πρότερον δὲ ἐν τῷ αὐτῷ θέρει τῷδε ἑκκαίδεκα ἐς αὐτὸν
before and in the same summer this sixteen into it
νῆες ἐσέπλευσαν, αἳ καὶ τῆς Χερσονήσου τι μέρος
ships sailed-in which also — of-Chersonese some part
κατέδραμον)· χειμασθεὶς δὲ ἀνέμῳ καὶ ἀναγκασθεὶς
overran having-been-storm-tossed and by-wind and having-been-compelled
καταίρει ἐς τὴν Ἴκαρον, καὶ μείνας ἐν αὐτῇ ὑπὸ
puts-in at — Icarus and having-remained in it through
ἀπλοίας πέντε ἢ ἓξ ἡμέρας ἀφικνεῖται ἐς τὴν Χίον.
bad-sailing five or six days arrives at — Chios

100.1 ὁ δὲ Θράσυλος ἐκ τῆς Σάμου, ἐπειδὴ ἐπύθετο αὐτὸν
— and Thrasyllus from — Samos when he-learned him
ἐκ τῆς Μιλήτου ἀπηρκότα, ἔπλει καὶ αὐτὸς ναυσὶν εὐθὺς
from — Miletus having-set-out sailed also himself with-ships at-once

πέντε καὶ πεντήκοντα, ἐπειγόμενος μὴ φθάσῃ ἐς τὸν
five and fifty hastening lest he-get-ahead into —
Ἑλλήσποντον ἐσπλεύσας.
Hellespont having-sailed-in
αἰσθόμενος δὲ ὅτι ἐν τῇ Χίῳ εἴη καὶ νομίσας αὐτὸν 100.2
having-perceived and that in — Chios he-was and having-thought him
καθέξειν αὐτοῦ, σκοποὺς μὲν κατεστήσατο καὶ ἐν τῇ
to-stay there scouts indeed stationed both on —
Λέσβῳ καὶ ἐν τῇ ἀντιπέρας ἠπείρῳ, εἰ ἄρα ποι κινοῖντο
Lesbos and on the opposite mainland if then anywhere should-move
αἱ νῆες, ὅπως μὴ λάθοιεν, αὐτὸς δὲ ἐς τὴν
the ships so-that not they-might-escape-notice himself and to —
Μήθυμναν παραπλεύσας ἄλφιτά τε καὶ τἆλλα ἐπιτήδεια
Methymna having-sailed-along barley-meal both and the-other supplies
παρασκευάζειν ἐκέλευεν ὡς, ἢν πλείων χρόνος γίγνηται,
to-prepare ordered as if more time should-be
ἐκ τῆς Λέσβου τοὺς ἐπίπλους τῇ Χίῳ ποιησόμενος.
from — Lesbos the attacks — on-Chios going-to-make
ἅμα δὲ (Ἔρεσος γὰρ τῆς Λέσβου ἀφειστήκει) 100.3
at-the-same-time and Eresus for — of-Lesbos had-revolted
ἐβούλετο ἐπ᾽ αὐτὴν πλεύσας, εἰ δύναιτο, ἐξελεῖν.
he-wished against it having-sailed if he-could to-take-out
Μηθυμναίων γὰρ οὐχ οἱ ἀδυνατώτατοι φυγάδες
of-Methymnaeans for not the least-powerful exiles
διακομίσαντες ἔκ τε τῆς Κύμης προσεταιριστοὺς ὁπλίτας
having-brought-over from both — Cyme sworn-associate hoplites
ὡς πεντήκοντα καὶ τῶν ἐκ τῆς ἠπείρου μισθωσάμενοι,
about fifty and of-the from the mainland having-hired
ξύμπασιν ὡς τριακοσίοις, Ἀναξάνδρου Θηβαίου κατὰ
with-all about three-hundred Anaxander a-Theban by
τὸ ξυγγενὲς ἡγουμένου, προσέβαλον πρῶτον Μηθύμνῃ,
the kinship leading attacked first Methymna

καὶ ἀποκρουσθέντες τῆς πείρας διὰ τοὺς ἐκ τῆς
and having-been-repulsed from-the attempt because-of the from —
Μυτιλήνης Ἀθηναίων φρουροὺς προελθόντας αὖθις ἔξω
Mytilene of-Athenians guards having-advanced again outside
μάχῃ ἀπωσθέντες καὶ διὰ τοῦ ὄρους κομισθέντες
in-battle having-been-pushed-back and through the mountain having-been-conveyed
ἀφιστᾶσι τὴν Ἔρεσον.
cause-to-revolt — Eresus

100.4 πλεύσας οὖν ὁ Θράσυλος ἐπ᾽ αὐτὴν πάσαις ταῖς ναυσὶ
having-sailed then — Thrasyllus against it with-all the ships
διενοεῖτο προσβολὴν ποιεῖσθαι· προαφιγμένος δὲ αὐτόσε
intended attack to-make having-arrived-first and thither
ἦν καὶ ὁ Θρασύβουλος πέντε ναυσὶν ἐκ τῆς Σάμου,
was also — Thrasybulus with-five ships from — Samos
ὡς ἠγγέλθη αὐτοῖς ἡ τῶν φυγάδων αὕτη διάβασις·
when was-announced to-them the of-the exiles this crossing
ὑστερήσας δ᾽ ἐπὶ τὴν Ἔρεσον ἐφώρμει ἐλθών.
having-come-too-late but at — Eresus lay-at-anchor having-come

100.5 προσεγένοντο δὲ καὶ ἐκ τοῦ Ἑλλησπόντου τινὲς δύο νῆες
were-added and also from — Hellespont some two ships
ἐπ᾽ οἴκου ἀνακομιζόμεναι καὶ Μηθυμναῖαι πέντε· καὶ αἱ
to home returning and Methymnaean five and the
πᾶσαι νῆες παρῆσαν ἑπτὰ καὶ ἑξήκοντα, ἀφ᾽ ὧν τῷ
all ships were-present seven and sixty from which with-the
στρατεύματι παρεσκευάζοντο ὡς κατὰ κράτος μηχαναῖς τε
army prepared as by force with-engines both
καὶ παντὶ τρόπῳ, ἢν δύνωνται, αἱρήσοντες τὴν Ἔρεσον.
and in-every way if they-can going-to-take — Eresus

101.1 ὁ δὲ Μίνδαρος ἐν τούτῳ καὶ ἐκ τῆς Χίου τῶν
— and Mindarus in this(-time) also from — Chios of-the
Πελοποννησίων αἱ νῆες ἐπισιτισάμεναι δυοῖν ἡμέραιν
Peloponnesians the ships having-provisioned-themselves in-two days

καὶ λαβόντες παρὰ τῶν Χίων τρεῖς τεσσαρακοστὰς
and having-received from the Chians three fortieths
ἕκαστος Χίας τῇ τρίτῃ διὰ ταχέων ἀπαίρουσιν ἐκ τῆς
each Chian on-the third with speed set-out from —
Χίου οὐ πελάγιαι, ἵνα μὴ περιτύχωσι ταῖς ἐν τῇ
Chios not on-the-open-sea so-that not they-might-fall-in-with the in —
Ἐρέσῳ ναυσίν, ἀλλὰ ἐν ἀριστερᾷ τὴν Λέσβον ἔχοντες
Eresus ships but on left — Lesbos keeping
ἔπλεον ἐπὶ τὴν ἤπειρον.
sailed toward the mainland
καὶ προσβαλόντες τῆς Φωκαΐδος ἐς τὸν ἐν Καρτερίοις 101.2
and having-put-in — of-Phocaea to the in Carteria
λιμένα καὶ ἀριστοποιησάμενοι, παραπλεύσαντες τὴν
harbor and having-breakfasted having-sailed-past —
Κυμαίαν δειπνοποιοῦνται ἐν Ἀργινούσαις τῆς ἠπείρου,
Cymaean(-coast) take-supper at Arginusae of-the mainland
ἐν τῷ ἀντιπέρας τῆς Μυτιλήνης.
in the opposite(-shore) — of-Mytilene
ἐντεῦθεν δὲ ἔτι πολλῆς νυκτὸς παραπλεύσαντες καὶ 101.3
from-there and still much night having-sailed-along and
ἀφικόμενοι τῆς ἠπείρου ἐς Ἁρματοῦντα καταντικρὺ
having-arrived of-the mainland at Harmatus opposite
Μηθύμνης, ἀριστοποιησάμενοι διὰ ταχέων παραπλεύσαντες
Methymna having-breakfasted with speed having-sailed-past
Λεκτὸν καὶ Λάρισαν καὶ Ἁμαξιτὸν καὶ τὰ ταύτῃ χωρία
Lectum and Larisa and Hamaxitus and the there places
ἀφικνοῦνται ἐς Ῥοίτειον ἤδη τοῦ Ἑλλησπόντου πρωίτερον
arrive at Rhoeteum already — of-Hellespont earlier-than
μέσων νυκτῶν. εἰσὶ δ' αἳ τῶν νεῶν καὶ ἐς Σίγειον
mid night there-are and which of-the ships also at Sigeum
κατῆραν καὶ ἄλλοσε τῶν ταύτῃ χωρίων.
put-in and elsewhere of-the there places

102.1 οἱ δὲ Ἀθηναῖοι ἐν τῇ Σηστῷ δυοῖν δεούσαις εἴκοσι
the and Athenians in — Sestus two lacking twenty
ναυσὶν ὄντες, ὡς αὐτοῖς οἵ τε φρυκτωροὶ ἐσήμαινον
ships being when to-them the both beacon-watchers signaled
καὶ ᾐσθάνοντο τὰ πυρὰ ἐξαίφνης πολλὰ ἐν τῇ πολεμίᾳ
and they-perceived the fires suddenly many in the hostile(-land)
φανέντα, ἔγνωσαν ὅτι ἐσπλέουσιν οἱ Πελοποννήσιοι. καὶ
having-appeared realized that are-sailing-in the Peloponnesians and
τῆς αὐτῆς ταύτης νυκτὸς ὡς εἶχον τάχους ὑπομείξαντες
of-the same this night as they-had of-speed having-closed-with
τῇ Χερσονήσῳ παρέπλεον ἐπ᾽ Ἐλαιοῦντος, βουλόμενοι
— Chersonese sailed-along toward Elaeus wishing
ἐκπλεῦσαι ἐς τὴν εὐρυχωρίαν τὰς τῶν πολεμίων ναῦς.
to-sail-out into the open-water the of-the enemy ships
102.2 καὶ τὰς μὲν ἐν Ἀβύδῳ ἑκκαίδεκα ναῦς ἔλαθον,
and the indeed in Abydos sixteen ships they-escaped-notice-of
προειρημένης φυλακῆς τῷ φιλίῳ ἐπίπλῳ, ὅπως αὐτῶν
having-been-ordered-before watch to-the friendly approach that of-them
ἀνακῶς ἔξουσιν, ἢν ἐκπλέωσιν· τὰς δὲ μετὰ τοῦ
carefully they-would-keep if they-sail-out the but with —
Μινδάρου ἅμα τῇ ἕῳ κατιδόντες, τὴν δίωξιν εὐθὺς
Mindarus together-with the dawn having-sighted the pursuit immediately
ποιουμένων οὐ φθάνουσι πάσαις, ἀλλ᾽ αἱ μὲν πλείους ἐπὶ
making not they-get-ahead all but the indeed more to
τῆς Ἴμβρου καὶ Λήμνου διέφυγον, τέσσαρες δὲ τῶν νεῶν αἱ
— Imbros and Lemnos escaped four and of-the ships the
ὕσταται πλέουσαι καταλαμβάνονται παρὰ τὸν Ἐλαιοῦντα.
last sailing are-caught off — Elaeus

καὶ μίαν μὲν ἐποκείλασαν κατὰ τὸ ἱερὸν τοῦ Πρωτεσιλάου 102.3
and one indeed having-run-aground by the temple — of-Protesilaus
αὐτοῖς ἀνδράσι λαμβάνουσι, δύο δὲ ἑτέρας ἄνευ τῶν
with-their-very men they-take two and other without the
ἀνδρῶν· τὴν δὲ μίαν πρὸς τῇ Ἴμβρῳ κενὴν κατακαίουσιν.
men the and one near — Imbros empty they-burn
μετὰ δὲ τοῦτο ταῖς τε ἐξ Ἀβύδου ξυμμιγείσαις καὶ 103.1
after and this with-the both from Abydos having-joined and
ταῖς ἄλλαις ξυμπάσαις ἓξ καὶ ὀγδοήκοντα πολιορκήσαντες
the others all-together six and eighty having-besieged
Ἐλαιοῦντα ταύτην τὴν ἡμέραν, ὡς οὐ προσεχώρει,
Elaeus this the day when not it-came-over
ἀπέπλευσαν ἐς Ἄβυδον.
they-sailed-away to Abydos
οἱ δ' Ἀθηναῖοι ψευσθέντες τῶν σκοπῶν καὶ οὐκ ἂν 103.2
the and Athenians having-been-deceived-in the scouts and not —
οἰόμενοι σφᾶς λαθεῖν τὸν παράπλουν τῶν πολεμίων
thinking them to-escape-notice the sailing-past of-the enemy
νεῶν, ἀλλὰ καθ' ἡσυχίαν τειχομαχοῦντες, ὡς ᾔσθοντο,
ships but at leisure attacking-the-wall when they-perceived
εὐθὺς ἀπολιπόντες τὴν Ἔρεσον κατὰ τάχος ἐβοήθουν
immediately having-left — Eresus with speed went-to-help
ἐς τὸν Ἑλλήσποντον·
to — Hellespont
καὶ δύο τε ναῦς τῶν Πελοποννησίων αἱροῦσιν, αἳ πρὸς 103.3
and two both ships of-the Peloponnesians they-take which toward
τὸ πέλαγος τότε θρασύτερον ἐν τῇ διώξει ἀπάρασαι
the open-sea then too-boldly in the pursuit having-put-out
περιέπεσον αὐτοῖς, καὶ ἡμέρᾳ ὕστερον ἀφικόμενοι
fell-in-with them and by-a-day later having-arrived
ὁρμίζονται ἐς τὸν Ἐλαιοῦντα καὶ τὰς ἐκ τῆς Ἴμβρου
anchor at — Elaeus and the from — Imbros

ὅσαι κατέφυγον κομίζονται καὶ ἐς τὴν ναυμαχίαν
as-many-as had-fled-for-refuge bring-in and for the sea-battle
πέντε ἡμέρας παρεσκευάζοντο.
five days prepared

104.1 μετὰ δὲ τοῦτο ἐναυμάχουν τρόπῳ τοιῷδε. οἱ Ἀθηναῖοι
after and this they-fought-at-sea in-manner such the Athenians
παρέπλεον ἐπὶ κέρως ταξάμενοι παρ᾽ αὐτὴν τὴν γῆν
sailed-along in column having-been-drawn-up along very the land
ἐπὶ τῆς Σηστοῦ, οἱ δὲ Πελοποννήσιοι αἰσθόμενοι ἐκ
toward — Sestus the and Peloponnesians having-perceived from
τῆς Ἀβύδου ἀντανῆγον καὶ αὐτοί.
— Abydos put-out-against also themselves

104.2 καὶ ὡς ἔγνωσαν ναυμαχήσοντες, παρέτειναν τὸ κέρας
and when they-knew going-to-fight-at-sea extended the wing
οἱ μὲν Ἀθηναῖοι παρὰ τὴν Χερσόνησον, ἀρξάμενοι ἀπὸ
the indeed Athenians along — Chersonese having-begun from
Ἰδάκου μέχρι Ἀρριανῶν, νῆες ἓξ καὶ ἑβδομήκοντα, οἱ δ᾽
Idacus as-far-as Arrhiani ships six and seventy the and
αὖ Πελοποννήσιοι ἀπὸ Ἀβύδου μέχρι Δαρδάνου, νῆες
in-turn Peloponnesians from Abydos as-far-as Dardanus ships
ἓξ καὶ ὀγδοήκοντα.
six and eighty

104.3 κέρας δὲ τοῖς μὲν Πελοποννησίοις εἶχον τὸ μὲν δεξιὸν
wing and for-the indeed Peloponnesians held the indeed right
Συρακόσιοι, τὸ δ᾽ ἕτερον αὐτὸς Μίνδαρος καὶ τῶν νεῶν
Syracusans the and other himself Mindarus and of-the ships
αἱ ἄριστα πλέουσαι, Ἀθηναίοις δὲ τὸ μὲν ἀριστερὸν
the best sailing for-Athenians and the indeed left
Θράσυλος, ὁ δὲ Θρασύβουλος τὸ δεξιόν· οἱ δὲ ἄλλοι
Thrasyllus — and Thrasybulus the right the and other
στρατηγοὶ ὡς ἕκαστοι διετάξαντο.
generals as each were-posted

ἐπειγομένων δὲ τῶν Πελοποννησίων πρότερόν τε 104.4
hastening and the Peloponnesians before both
ξυμμεῖξαι, καὶ κατὰ μὲν τὸ δεξιὸν τῶν Ἀθηναίων
to-engage and on indeed the right of-the Athenians
ὑπερσχόντες αὐτοὶ τῷ εὐωνύμῳ ἀποκλῆσαι τοῦ ἔξω
having-overlapped themselves with-the left to-shut-off from-the outward
αὐτοὺς ἔκπλου, εἰ δύναιντο, κατὰ δὲ τὸ μέσον ἐξῶσαι
them sailing-out if they-could in and the center to-push-out
πρὸς τὴν γῆν οὐχ ἑκὰς οὖσαν, οἱ Ἀθηναῖοι γνόντες,
toward the land not far being the Athenians having-realized
ᾗ μὲν ἐβούλοντο ἀποφάρξασθαι αὐτοὺς οἱ ἐναντίοι,
where indeed they-wished to-fence-off them the opponents
ἀντεπεξῆγον καὶ περιεγίγνοντο τῷ πλῷ,
extended-against and got-the-better in-the sailing
τὸ δ' εὐώνυμον αὐτοῖς ὑπερεβεβλήκει ἤδη τὴν ἄκραν 104.5
the and left for-them had-passed already the headland
ἣ Κυνὸς σῆμα καλεῖται. τῷ δὲ μέσῳ, τοιούτου
which Dog's tomb is-called to-the and center such
ξυμβαίνοντος, ἀσθενέσι καὶ διεσπασμέναις ταῖς ναυσὶ
happening weak and scattered the ships
καθίσταντο, ἄλλως τε καὶ ἐλάσσοσι χρώμενοι τὸ πλῆθος
they-were-placed otherwise both and fewer using the number
καὶ τοῦ χωρίου τοῦ περὶ τὸ Κυνὸς σῆμα ὀξεῖαν καὶ
and the place the around the Dog's tomb sharp and
γωνιώδη τὴν περιβολὴν ἔχοντος, ὥστε τὰ ἐν τῷ
angular the outline having so-that the-things in the
ἐπέκεινα αὐτοῦ γιγνόμενα μὴ κάτοπτα εἶναι.
beyond of-it happening not visible to-be

105.1 προσπεσόντες οὖν οἱ Πελοποννήσιοι κατὰ τὸ μέσον
having-fallen-upon then the Peloponnesians at the center
ἐξέωσάν τε ἐς τὸ ξηρὸν τὰς ναῦς τῶν Ἀθηναίων καὶ
pushed both onto the dry(-land) the ships of-the Athenians and
ἐς τὴν γῆν ἐπεξέβησαν, τῷ ἔργῳ πολὺ περισχόντες.
onto the land disembarked-in-pursuit in-the action far having-prevailed
105.2 ἀμῦναι δὲ τῷ μέσῳ οὔθ' οἱ περὶ τὸν Θρασύβουλον
to-help and the center neither the-ones around — Thrasybulus
ἀπὸ τοῦ δεξιοῦ ὑπὸ πλήθους τῶν ἐπικειμένων νεῶν
from the right by number of-the pressing ships
ἐδύναντο οὔθ' οἱ περὶ τὸν Θράσυλον ἀπὸ τοῦ εὐωνύμου
were-able nor the-ones around — Thrasyllus from the left
(ἀφανές τε γὰρ ἦν διὰ τὴν ἄκραν τὸ Κυνὸς σῆμα,
out-of-sight both for it-was because-of the headland the Dog's tomb
καὶ ἅμα οἱ Συρακόσιοι καὶ οἱ ἄλλοι οὐκ ἐλάσσους
and at-the-same-time the Syracusans and the others not fewer
ἐπιτεταγμένοι εἶργον αὐτούς), πρὶν οἱ Πελοποννήσιοι
posted-against kept-off them until the Peloponnesians
διὰ τὸ κρατήσαντες ἀδεῶς ἄλλοι ἄλλην ναῦν διώκειν
because-of the having-won fearlessly one another ship to-pursue
ἤρξαντο μέρει τινὶ σφῶν ἀτακτότεροι γενέσθαι.
began in-part some of-them more-disordered to-become
105.3 γνόντες δὲ οἱ περὶ τὸν Θρασύβουλον τὰς ἐπὶ σφίσι
having-realized and the-ones around — Thrasybulus the upon them
ναῦς ἐπεχούσας παυσάμενοι τῆς ἐπεξαγωγῆς ἤδη τοῦ κέρως
ships bearing-down having-stopped the extending now of-the wing
καὶ ἐπαναστρέψαντες εὐθὺς ἠμύναντό τε καὶ τρέπουσι,
and having-turned-back immediately resisted both and rout
καὶ τὰς κατὰ τὸ νικῆσαν τῶν Πελοποννησίων μέρος
and the at the victorious of-the Peloponnesians part
ὑπολαβόντες πεπλανημένας ἔκοπτόν τε καὶ ἐς φόβον τὰς
having-caught wandering struck both and into fear the

πλείους ἀμαχεὶ καθίστασαν. οἵ τε Συρακόσιοι ἐτύγχανον
more without-fighting put the and Syracusans happened
καὶ αὐτοὶ ἤδη τοῖς περὶ τὸν Θράσυλον ἐνδεδωκότες καὶ
also themselves already to-the-ones around — Thrasyllus having-given-way and
μᾶλλον ἐς φυγὴν ὁρμήσαντες, ἐπειδὴ καὶ τοὺς ἄλλους ἑώρων.
more to flight having-rushed since also the others they-saw
γεγενημένης δὲ τῆς τροπῆς καὶ καταφυγόντων τῶν 106.1
having-happened and the rout and having-fled the
Πελοποννησίων πρὸς τὸν Μείδιον μάλιστα ποταμὸν τὸ
Peloponnesians to — Meidius chiefly river the
πρῶτον, ὕστερον δὲ ἐς Ἄβυδον, ναῦς μὲν ὀλίγας ἔλαβον
first later and to Abydos ships indeed few took
οἱ Ἀθηναῖοι (στενὸς γὰρ ὢν ὁ Ἑλλήσποντος βραχείας
the Athenians narrow for being — Hellespont short
τὰς ἀποφυγὰς τοῖς ἐναντίοις παρεῖχε), τὴν μέντοι νίκην
the escapes to-the opponents provided the however victory
ταύτην τῆς ναυμαχίας ἐπικαιροτάτην δὴ ἔσχον.
this of-the sea-battle most-timely indeed they-had
φοβούμενοι γὰρ τέως τὸ τῶν Πελοποννησίων ναυτικὸν διά 106.2
fearing for till-then the of-the Peloponnesians fleet because-of
τε τὰ κατὰ βραχὺ σφάλματα καὶ διὰ τὴν ἐν τῇ Σικελίᾳ
both the in small(-things) failures and because-of the in — Sicily
ξυμφοράν, ἀπηλλάγησαν τοῦ σφᾶς τε αὐτοὺς καταμέμφεσθαι
disaster they-were-freed-from the them both selves to-blame
καὶ τοὺς πολεμίους ἔτι ἀξίους του ἐς τὰ ναυτικὰ νομίζειν.
and the enemy still worth anything in the naval-matters to-think
ναῦς μέντοι τῶν ἐναντίων λαμβάνουσι Χίας μὲν ὀκτώ, 106.3
ships however of-the opponents they-take Chian indeed eight
Κορινθίας δὲ πέντε, Ἀμπρακιώτιδας δὲ δύο καὶ Βοιωτίας
Corinthian and five Ambraciot and two and Boeotian
δύο, Λευκαδίων δὲ καὶ Λακεδαιμονίων καὶ Συρακοσίων
two of-Leucadians and and of-Lacedaemonians and of-Syracusans

καὶ Πελληνέων μίαν ἑκάστων· αὐτοὶ δὲ πέντε καὶ δέκα
and of-Pellenians one of-each themselves and five and ten
ναῦς ἀπολλύασιν.
ships lose

106.4 στήσαντες δὲ τροπαῖον ἐπὶ τῇ ἄκρᾳ οὗ τὸ Κυνὸς
having-set-up and trophy on the headland where the Dog's
σῆμα καὶ τὰ ναυάγια προσαγαγόμενοι καὶ νεκροὺς τοῖς
tomb and the wrecks having-brought-in and dead to-the
ἐναντίοις ὑποσπόνδους ἀποδόντες ἀπέστειλαν καὶ ἐς τὰς
opponents under-truce having-given-back sent also to —
Ἀθήνας τριήρη ἄγγελον τῆς νίκης.
Athens trireme messenger of-the victory

106.5 οἱ δὲ ἀφικομένης τῆς νεὼς καὶ ἀνέλπιστον τὴν εὐτυχίαν
they and having-arrived the ship and unhoped-for the good-fortune
ἀκούσαντες ἐπί τε ταῖς περὶ τὴν Εὔβοιαν ἄρτι ξυμφοραῖς
having-heard after both the around — Euboea recent disasters
καὶ κατὰ τὴν στάσιν γεγενημέναις πολὺ ἐπερρώσθησαν
and in the faction having-happened much took-heart
καὶ ἐνόμισαν σφίσιν ἔτι δυνατὰ εἶναι τὰ πράγματα, ἢν
and thought for-them still possible to-be the affairs if
προθύμως ἀντιλαμβάνωνται, περιγενέσθαι.
eagerly they-take-hold to-prevail

Four days after the battle the Athenians sail from Sestus to Cyzicus, which has revolted, capture eight ships from Byzantium, and recover the unwalled city. Alcibiades returns to Samos, claiming to have turned the Phoenician ships away from the Peloponnesians, raises money at Halicarnassus, and fortifies Cos. At Antandrus the Aeolians expel the Persian garrison of Arsaces, who had massacred the Delians at Atramyttium at a meal. Tissaphernes, fearing to be blamed for this and for the Phoenician ships, sets out for the Hellespont and first sacrifices to Artemis at Ephesus.

μετὰ δὲ τὴν ναυμαχίαν ἡμέρᾳ τετάρτῃ ὑπὸ σπουδῆς 107.1
after and the sea-battle on-day fourth with haste
ἐπισκευάσαντες τὰς ναῦς οἱ ἐν τῇ Σηστῷ Ἀθηναῖοι ἔπλεον
having-repaired the ships the in — Sestus Athenians sailed
ἐπὶ Κύζικον ἀφεστηκυῖαν· καὶ κατιδόντες κατὰ Ἁρπάγιον
against Cyzicus having-revolted and having-sighted off Harpagium
καὶ Πρίαπον τὰς ἀπὸ τοῦ Βυζαντίου ὀκτὼ ναῦς ὁρμούσας,
and Priapus the from — Byzantium eight ships lying-at-anchor
ἐπιπλεύσαντες καὶ μάχῃ κρατήσαντες τοὺς ἐν τῇ γῇ ἔλαβον
having-sailed-against and in-battle having-defeated the-ones on the land took
τὰς ναῦς. ἀφικόμενοι δὲ καὶ ἐπὶ τὴν Κύζικον ἀτείχιστον
the ships having-arrived and also at — Cyzicus unwalled
οὖσαν προσηγάγοντο πάλιν καὶ χρήματα ἀνέπραξαν.
being brought-over again and money exacted
ἔπλευσαν δὲ ἐν τούτῳ καὶ οἱ Πελοποννήσιοι ἐκ τῆς 107.2
sailed and in this(-time) also the Peloponnesians from —
Ἀβύδου ἐπὶ τὸν Ἐλαιοῦντα καὶ τῶν σφετέρων νεῶν τῶν
Abydos to — Elaeus and of-the their-own ships the
αἰχμαλώτων ὅσαι ἦσαν ὑγιεῖς ἐκομίσαντο (τὰς δὲ ἄλλας
captured as-many-as were sound recovered the and others

Ἐλαιούσιοι κατέκαυσαν), καὶ ἐς τὴν Εὔβοιαν ἀπέπεμψαν
Elaeusians burned and to — Euboea sent-off
Ἱπποκράτη καὶ Ἐπικλέα κομιοῦντας τὰς ἐκεῖθεν ναῦς.
Hippocrates and Epicles to-bring the from-there ships
108.1 κατέπλευσε δὲ ὑπὸ τοὺς αὐτοὺς χρόνους τούτους καὶ
sailed-back and about the same times these also
ὁ Ἀλκιβιάδης ταῖς τρισὶ καὶ δέκα ναυσὶν ἀπὸ τῆς
— Alcibiades with-the three and ten ships from —
Καύνου καὶ Φασήλιδος ἐς τὴν Σάμον, ἀγγέλλων ὅτι τάς
Caunus and Phaselis to — Samos announcing that the
τε Φοινίσσας ναῦς ἀποστρέψειε Πελοποννησίοις ὥστε μὴ
both Phoenician ships he-had-turned-back for-Peloponnesians so-as not
ἐλθεῖν καὶ τὸν Τισσαφέρνην ὅτι φίλον πεποιήκοι μᾶλλον
to-come and — Tissaphernes that friend he-had-made more
Ἀθηναίοις ἢ πρότερον.
to-Athenians than before
108.2 καὶ πληρώσας ναῦς ἐννέα πρὸς αἷς εἶχεν Ἁλικαρνασσέας
and having-manned ships nine besides which he-had Halicarnassians
τε πολλὰ χρήματα ἐξέπραξε καὶ Κῶν ἐτείχισεν. ταῦτα
both much money exacted and Cos fortified these-things
δὲ πράξας καὶ ἄρχοντα ἐν τῇ Κῷ καταστήσας πρὸς
and having-done and governor in — Cos having-established toward
τὸ μετόπωρον ἤδη ἐς τὴν Σάμον κατέπλευσεν.
the autumn already to — Samos sailed-back
108.3 καὶ ὁ Τισσαφέρνης ἀπὸ τῆς Ἀσπένδου, ὡς ἐπύθετο τὰς τῶν
and — Tissaphernes from — Aspendus when he-learned the of-the
Πελοποννησίων ναῦς ἐκ τῆς Μιλήτου ἐς τὸν Ἑλλήσποντον
Peloponnesians ships from — Miletus to — Hellespont
πεπλευκυίας, ἀναζεύξας ἤλαυνεν ἐπὶ τῆς Ἰωνίας.
having-sailed having-broken-camp marched toward — Ionia

ὄντων δὲ τῶν Πελοποννησίων ἐν τῷ Ἑλλησπόντῳ, 108.4
being and the Peloponnesians in — Hellespont
Ἀντάνδριοι (εἰσὶ δὲ Αἰολῆς) παρακομισάμενοι ἐκ τῆς
Antandrians are and Aeolians having-brought-along from —
Ἀβύδου πεζῇ διὰ τῆς Ἴδης τοῦ ὄρους ὁπλίτας ἐσηγάγοντο
Abydos by-land through — Ida the mountain hoplites brought-in
ἐς τὴν πόλιν, ὑπὸ Ἀρσάκου τοῦ Πέρσου Τισσαφέρνους
into the city by Arsaces the Persian of-Tissaphernes
ὑπάρχου ἀδικούμενοι, ὅσπερ καὶ Δηλίους τοὺς Ἀτραμύττιον
lieutenant being-wronged who also Delians the-ones Atramyttium
κατοικήσαντας ὅτε ὑπ' Ἀθηναίων Δήλου καθάρσεως
having-settled when by Athenians of-Delos purification
ἕνεκα ἀνέστησαν, ἔχθραν προσποιησάμενος ἄδηλον καὶ
for-sake-of they-were-removed enmity having-pretended secret and
ἐπαγγείλας στρατιὰν αὐτῶν τοῖς βελτίστοις, ἐξαγαγὼν ὡς
having-proclaimed expedition of-them the best having-led-out as
ἐπὶ φιλίᾳ καὶ ξυμμαχίᾳ, τηρήσας ἀριστοποιουμένους
on friendship and alliance having-watched-for breakfasting
καὶ περιστήσας τοὺς ἑαυτοῦ κατηκόντισεν.
and having-surrounded(-them-with) the of-himself shot-down
φοβούμενοι οὖν αὐτὸν διὰ τοῦτο τὸ ἔργον μήποτε καὶ 108.5
fearing then him because-of this the deed lest-ever also
περὶ σφᾶς τι παρανομήσῃ, καὶ ἄλλα ἐπιβάλλοντος
toward them something he-commit-outrage and other-things imposing
αὐτοῦ ἃ φέρειν οὐκ ἐδύναντο, ἐκβάλλουσι τοὺς φρουροὺς
him which to-bear not they-were-able they-expel the garrison
αὐτοῦ ἐκ τῆς ἀκροπόλεως.
of-him from the acropolis
ὁ δὲ Τισσαφέρνης αἰσθόμενος καὶ τοῦτο τῶν Πελοποννησίων 109.1
— and Tissaphernes having-perceived also this of-the Peloponnesians
τὸ ἔργον καὶ οὐ μόνον τὸ ἐν τῇ Μιλήτῳ καὶ Κνίδῳ
the deed and not only the in — Miletus and Cnidus

(καὶ ἐνταῦθα γὰρ αὐτοῦ ἐξεπεπτώκεσαν οἱ φρουροί),
also there for-of-him had-been-expelled the garrisons
διαβεβλῆσθαί τε νομίσας αὐτοῖς σφόδρα καὶ δείσας μὴ
to-have-been-slandered both having-thought to-them greatly and having-feared lest
καὶ ἄλλο τι ἔτι βλάπτωσι, καὶ ἅμα ἀχθόμενος
also other something still they-harm and at-the-same-time being-vexed
εἰ Φαρνάβαζος ἐξ ἐλάσσονος χρόνου καὶ δαπάνης δεξάμενος
if Pharnabazus in less time and expense having-received
αὐτοὺς κατορθώσει τι μᾶλλον τῶν πρὸς τοὺς Ἀθηναίους,
them will-succeed something more of-the against the Athenians
πορεύεσθαι διενοεῖτο πρὸς αὐτοὺς ἐπὶ τοῦ Ἑλλησπόντου,
to-travel intended to them to — Hellespont
ὅπως μέμψηταί τε τῶν περὶ τὴν Ἄνταν̓δρον γεγενημένων
so-that he-might-complain both of-the around — Antandrus having-happened
καὶ τὰς διαβολὰς καὶ περὶ τῶν Φοινισσῶν νεῶν καὶ τῶν
and the charges also about the Phoenician ships and the
ἄλλων ὡς εὐπρεπέστατα ἀπολογήσηται. καὶ ἀφικόμενος
other(-matters) as most-plausibly he-might-defend and having-arrived
πρῶτον ἐς Ἔφεσον θυσίαν ἐποιήσατο τῇ Ἀρτέμιδι.
first at Ephesus sacrifice made — to-Artemis
